ΔΗΜΟΣ Ι. Π. ΜΕΣΟΛΟΓΓΙΟΥ

ΒΑΛΒΕΙΟΣ
ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΤΡΟΠΟΣ ΑΠΟΚΤΗΣΗΣ:
ΔΩΡΕΑ
ΠΑΛΑΜΑΪΚΗΣ ΣΧΟΛΗΣ
ΗΜΕΡ. ΕΙΣΑΓΩΓΗΣ:
22-01-13
ΑΡΙΘΜΟΣ ΕΙΣΑΓΩΓΗΣ:
22.938
ΑΡΙΘ. ΤΑΞΙΝΟΜΗΣΗΣ:

[illegible] 176 · [illegible] 75 · [illegible] 90.

# ΕΥΡΙΠΙΔΗΣ.

Α.ε. 22.938

# ΕΥΡΙΠΙΔΗΣ.

## ΠΑΡΑΦΡΑΣΘΕΙΣ, ΣΧΟΛΙΑΣΘΕΙΣ ΤΕ ΚΑΙ ΕΚΔΟΘΕΙΣ

Ὑπὸ

ΝΕΟΦΥΤΟΥ ΔΟΥΚΑ

ΕΙΣ ΤΟΜΟΥΣ ΕΞ.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.



ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
ΒΑΛΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΕΝ ΑΙΓΙΝΗι,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΑΝΔΡΕΟΥ ΚΟΡΟΜΗΛΑ.

1834.

ΤΩ

ΕΥΕΡΓΕΤΙΚΩΤΑΤΩ

Τῶν

ΦΙΛΕΛΛΗΝΩΝ ΤΟΙΣ ΕΛΛΗΣΙ ΓΕΓΟΝΟΤΙ

# Ι. Γ. ΕΫΝΑΡΔΩι.

» *Βίβλον τήνδ' εὐγνωμονέων γε*
*μάλ' ἄνθετο Δούκας,*
» *Ἄνδρ' ἀγαθὸν τιμῶν, φίλον*
*Ἑλλάδος, ἔξοχ' ἁπάντων*
» *Δωροδότην, μεγάλα σμικρῶν*
*τῶνδ' ἔργματ' ἀμείβων,*
» *Χρύσεα χαλκείων ἑκατόμβοι'*
*ἐννεαβοίων.*

*Εὐνάρδῳ ἀνδρὶ φιλέλληνι φιλανθρώπῳ τε καὶ ζηλωτῇ τῶν καλῶν Νεόφυτος Δούκας εὖ πράττειν.*

ΝΟΜΟΥ ἀρχαίου πάντας, ὑφ' ὧντις καὶ ὁπωσοῦν εὐηργέτηται, τιμᾷντε καὶ σέβειν διαγορεύοντος, πῶς ἂν εἴη μοι παρελθεῖν σιωπῇ Εὐνάρδον, ἄνδρ' ἀγαθὸν ἐν μεγίστοις καιροῖς γεγενημένον τοῖς Ἕλλησι; Σὺ γὰρ ὡς ἐν φωτὶ λαμπρῷ ὑφ' ἁπάσης μεμαρτύρησαι τῆς Εὐρώπης, καὶ τῶν πραγμάτων κατηγορούντων, τὰ μέγιστ' εὖ πεποιηκέναι οὐχ ἕνα, οὐδὲ δύο, ἀλλὰ σύμπαν τὸ Ἑλληνικὸν, αὐτός τ' ἀφθόνῳ χειρὶ αὐτοῖς ἐπαρκέσας, καὶ τοὺς ἄλλους, ὅσα ἔθνη, τῷτε σαυτοῦ διδάξας παραδείγματι, καὶ λόγῳ δικαίῳ προτρέψας πρὸς τὴν βοήθειαν, δίκαιον καὶ πρὸς θεοῦ καὶ πρὸς ἀνθρώπων τοῦθ' ἡγούμενος εἶναι· Οὐκοῦν ὀφείλεταί σοι παρ' ἡμῶν ἁπάντων τὸ εὔγνωμον. Ἐπειδὴ οὖν πρῶτος αὐτὸς ἀναστὰς ἐθρασυνάμην μὲν τὰ δίκαια τοῖς δικαίοις ἀμείψασθαι, οὐχ ὁρῶ δὲ τοῦτο δυνατόν μοι γιγνόμενον, ὡς καὶ ἀπὸ φωνῆς ἰσχνῆς, καὶ ἀπὸ χειρὸς ἀβληχρᾶς ὁρμωμένῳ, ἐξικνεῖσθαι πρὸς ταῦτα, τί χρή με δρᾷν; καὶ ὅ,τι ποτ' ἀπ' ἐλαχίστων πρὸς μέγιστα φθέγξωμαι; καὶ ὅπως ὁ πολλοστὸς τὸν πολὺν, καὶ ὁ ἴδιος τὸν κοινὸν, ὁ μόνος τὸν ὅλον ἔθνος τὸ ἑαυτοῦ μέρος ἐν μεγίστοις κινδύνοις, τούτων τ' αὐτῶν ἐξαρπάσαι σπουδάσαντα, καὶ τὴν ἐλευθερίαν αὐτῷ περιποιῆσαι προῃρημένον, καὶ τὴν προαίρεσιν μετὰ μεγίστων σημείων τῇ πράξει ἐπισφραγήσαντα, τοῦτον αὐτόν, φημι, πῶς ἂν ἐξαρκέσαιμι μόνος αὐτὸς

ἀξίως ἀμείψασθαι, ὥστε τοὺς λόγους ἐξισῶσαι τοῖς ἔργοις; Ἀλλὰ τὸ μὲν κατ' ἀξίαν σοι, Εὐεργέτα, ἐποφειλόμενον οὐ παρ' ἰδιώτου σοί ἐστι προσδοκώμενον· ἀλλὰ ψήφῳ τῶν Ἑλλήνων κοινῇ, εἴτις μνήμη αὐτοῖς, παρ' ὧν καὶ ὧν εὖ τυγχάνουσι πεπονθότες, ἐπειδὰν ποτ' αὐτοῖς ὁ θεὸς παράσχῃ πρὸς ταῦτα εὐμάρειαν, δικαιότατον κρίνεται· Νῦν δὲ δέξαιμοι ἐπιεικῶς, ἄνερ ἀγαθὲ, τοῦθ' ὅπερ σοὶ ἰδίᾳ ἰδιώτης ἀνὴρ ἀνατίθησι, τὴν τοῦ ἀρίστου τῶν Τραγῳδῶν Μοῦσαν τῷ τὴν ἐκείνου πατρίδα λόγῳτε τρανῷ καὶ χειρὶ μεγαλοδώρῳ εὐεργετήσαντι. Καίτοι ὅσον μὲν τοὐμὸν οἶδα γλίσχρον ὡς παρὰ γλίσχρου Ἀνδρί σοι ἁβρῷ καὶ τὰ πάντα εὐθηνουμένῳ ἀφοσιούμενον· ἀλλ' οὐκ ἂν ἀπαξιώσειας, φιλέλλην ὢν ἀτρεκῶς, καὶ λιτὸν γ' οὕτω μετ' εὐμενείας προσίεσθαι, πρὸς τὴν προαίρεσιν τὴν ἐμὴν εὐγνωμοσύνην ἐπιμετρούμενος. Θεὸς δέ σοι ὁ τὰ πάντ' ἐφορῶν, καὶ τὰ πάντα κρίνων δικαίως τὸ παρ' ἡμῶν ἐλλιπὲς ἀναπληρώσειε κατ' ἀξίαν, ὡς οἶδε καὶ βούλεται. Ἔῤῥωσο.

Ἐν Αἰγίνῃ, τῇ ιέ Νοεμβρίου ᾳωλδʹ.

# ΕΚΑΒΗ.

# ΥΠΟΘΕΣΙΣ ΕΚΑΒΗΣ.

Μετὰ τὴν Τροίας ἅλωσιν ἄραντες οἱ Ἕλληνες, καθωρμίσθησαν ἐν τῇ ἀντιπέραν Χεῤῥονήσῳ τῆς Θράκης, ἧς Πολυμήστωρ ἦρχεν· οὗ δὴ καὶ κενοτάφιον ἔχωσαν Ἀχιλλεῖ, ἐν Τροίᾳ ταφέντι· διατρίψαντες δὲ ἐκεῖ ἡμέρας δή τινας, ἐφ' ᾧ τὰ αὐτῶν εὖ διαθήσονται, ἐπεὶ ἀναχθήσεσθαι ἔμελλον, φανὲν τὸ τοῦ Ἀχιλλέως εἴδωλον ἐπὶ τοῦ τάφου, ἐπέσχε τοὺς Ἀχαιοὺς τῆς ἀναγωγῆς, αἰτοῦν γέρας αὐτῷ δοθῆναι τὴν παῖδα Πριάμου Πολυξένην, τὴν καὶ πρότερον κατεγγυηθεῖσαν αὐτῷ ὑπὸ τοῦ πατρὸς, δι' ἣν καὶ ὑπὸ Πάριδος καὶ Δηϊφόβου τοξευθεὶς, ὄλωλεν, ὅτε τὰς ἐγγύας πρὸς τοῦτον πληροῦν ἔμελλε Πρίαμος. Ἕλληνες μὲν οὖν, ὧν εὖ ἔπαθον ὑπ' αὐτοῦ, μεμνημένοι καὶ τιμῶντες τὴν ἀρετὴν τοῦ ἀνδρὸς, ἐψηφίσαντο σφάξαι τὴν Πολυξένην ἐπὶ τῷ τάφῳ τοῦ Ἥρωος· ἔπεμψαν δὲ τὸν Λαέρτου Ὀδυσσέα πρὸς τὴν μητέρα αὐτῆς Ἑκάβην, ὡς ἂν τήν τε παρθένον λάβῃ, καὶ τῷ ποικίλῳ τῶν λόγων (τοιοῦτος γὰρ ἦν ὁ ἀνὴρ) πείσῃ Ἑκάβην μὴ δυσχερῶς σχεῖν ἐπὶ τῇ τῆς παιδὸς ἀφαιρέσει. Ἐλθὼν οὖν Ὀδυσσεὺς, τήν τε κόρην συναιρομένην εὗρεν αὐτῷ τῆς σπουδῆς, καὶ πείθουσαν τὴν μητέρα, ὡς τεθνήξεσθαι μᾶλλον αὐτῇ προσῆκον, ἢ ζῆν παρ' ἀξίαν· σφαγείσης δὲ τῆς παρθένου, Ἑκάβη θεράπαιναν αὐτῆς ἔπεμψε παρὰ τὰς ἀκτὰς, ἐφ' ᾧ ὕδωρ ἐκεῖθεν κομίσαι πρὸς λουτρὸν Πολυξένης· εὗρε δὲ Πολύδωρον ἐκεῖ κείμενον· ἁλοῦσαν γὰρ ὡς ἔγνω τὴν Τροίαν Πολυμήστωρ, σφάξας αὐτὸν, ἔῤῥιψεν εἰς τὴν

# ΕΚΑΒΗ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΚΕΙΜΕΝΟΝ

ΠΟΛΥΔΟΡΟΣ, ΕΚΑΒΗ, ΧΟΡΟΣ, ΠΟΛΥΞΕΝΗ, ΟΔΥΣΣΕΥΣ.

Ηκω, νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
Λιπὼν, ἵν' Ἅδης χωρὶς ᾤκισται θεῶν,
Πολύδωρος, Ἑκάβης παῖς γεγὼς τῆς Κισσέως,
Πριάμου τε πατρός· ὅς μ', ἐπεὶ Φρυγῶν πόλιν
Κίνδυνος ἔσχε δορὶ πεσεῖν Ἑλληνικῷ,
Δείσας, ὑπεξέπεμψε Τρωϊκῆς χθονὸς
Πολυμήστορος πρὸς δῶμα, Θρῃκίου ξένου,
Ὃς τὴν ἀρίστην Χερσονησίαν πλάκα
Σπείρει, φίλιππον λαὸν εὐθύνων δορί.
Πολὺν δὲ σὺν ἐμοὶ χρυσὸν ἐκπέμπει λάθρα
Πατὴρ, ἵν', εἴ ποτ' Ἰλίου τείχη πέσοι,
Τοῖς ζῶσιν εἴη παισὶ μὴ σπάνις βίου.

---

1 Ἥκω] προλογίζων Πωλύδωρος, τό,τε καθ' ἑαυτὸν καὶ τὴν πάσης τῆς Τραγῳδίας ἐν ὀλίγοις ἐξηγεῖται ὑπόθεσιν· νόμος γὰρ οὗτος τοῖς ποιηταῖς, ὥσπερ καὶ τοῖς ῥήτορσιν ἐν τοῖς τῶν λόγων προοιμίοις, ὑποδηλοῦν ἐν τοῖς προλόγοις τὰ τῆς ὅλης πραγματείας κεφάλαια· λέγει δὲ ταῦτα αἰωρούμενος κατὰ τὸν αἰ-

# ΕΚΑΒΗ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΠΑΡΑΦΡΑΣΙΣ.

### ΠΟΛΥΔΩΡΟΣ, ΕΚΑΒΗ, ΧΟΡΟΣ, ΠΟΛΥΞΕΝΗ, ΟΔΥΣΣΕΥΣ

ΠΟΛΥΔΩΡΟΣ ὁ Πριάμου καὶ Ἑκάβης γενόμενος, καταλιπὼν τὸν κευθμῶνα τῶν νεκρῶν καὶ τὰς πύλας τοῦ σκότους, ἔνθ᾽ ὁ Ἅδης ἄνευ τῶν οὐρανίων ἄρχει Θεῶν, ἀνῆλθον τήμερον εἰς τὸ φῶς· ὁ γὰρ πατὴρ, τὴν τῆς Τροίας ὑφορώμενος ἅλωσιν, καὶ δείσας περὶ ἐμοὶ, κομιδῇ νέῳ ὄντι, ὑπεξέθετό με τῆς φίλης πατρίδος, Πολυμήστορι, τῷ τῶν φιλίππων Χεῤῥονησιτῶν ἡγεμόνι, ἐμπιςεύσας τὴν ἐμὴν σωτηρίαν, πολύν θ᾽ ἅμα καὶ χρυσὸν, ὄνησιν τοῖς εἰσέπειτα, εἴτι νῦν τὸ Ἴλιον πάθοι, τοῖς γε σωζομένοις τῶν παίδων ἐσόμενον, συνεξέπεμψεν. Ἔπραξε δὲ

---

θέρα ἄνευ σώματος, τῆς Ἑκάβης κατακειμένης ὑπὸ τὴν σκηνήν. 2. Χωρὶς ᾤκιςαι θεῶν] πότερον ὁ τόπος τοῦ Ἅδου. ἢ ὁ Ἅδης αὐτὸς ὁ Πλούτων; εἰ μὲν τὸ πρῶτον, ὑπὸ τίνος ᾤκιςαι; ὑπὸ τῶν νεκρῶν, ἢ ὑπὸ τοῦ Πλούτωνος αὐτοῦ χωρὶς τῶν ἐν οὐρανῷ; εἰδὲ τὸ δεύτερον, ληπτέον τὸ ᾤκισται ἀντὶ τοῦ κατῴκηται. ἵνα ᾖ, ἔνθ᾽ ὁ Πλούτων ἀποκατέςη, βασιλεύων μακρὰν τῶν οὐρανίων θεῶν. 5. Πλάκα] περίφρασις ποιητικὴ, ἀντὶ τοῦ ἀρίστην γῆν, πλατεῖαν, ἐπίπεδον· οὐχὶ

Νεώτατος δ' ἦν Πριαμιδῶν· ὃ καί με γῆς
Ὑπεξέπεμψεν· οὔτε γὰρ φέρειν ὅπλα,
Οὔτ' ἔγχος οἷός τ' ἦν νέῳ βραχίονι.
Ἕως μὲν οὖν γῆς ὄρθ' ἔκειθ' ὁρίσματα,
Πύργοι τ' ἄθραυστοι Τρωϊκῆς ἦσαν χθονὸς,
Ἕκτωρ τ' ἀδελφὸς οὑμὸς εὐτύχει δορὶ,
Καλῶς παρ' ἀνδρὶ Θρῃκὶ, πατρῴῳ ξένῳ,
Τροφαῖσιν, ὥς τις πτόρθος, ηὐξόμην τάλας.
Ἐπεὶ δὲ Τροία θ' Ἕκτορός τ' ἀπόλλυται
Ψυχὴ, πατρῴα θ' ἑστία κατεσκάφη,
Αὐτός τε βωμῷ πρὸς θεοδμήτῳ πιτνεῖ,
Σφαγεὶς Ἀχιλλέως παιδὸς ἐκ μιαιφόνου,
Κτείνει με χρυσοῦ τὸν ταλαίπωρον χάριν
Ξένος πατρῷος, καὶ κτανὼν ἐς οἶδμ' ἁλὸς
Μεθῆχ', ἵν' αὐτὸς χρυσὸν ἐν δόμοις ἔχῃ·
Κεῖμαι δ' ἐπ' ἀκταῖς, ἄλλοτ' ἐν πόντου σάλῳ,
Πολλοῖς διαύλοις κυμάτων φορούμενος,
Ἄκλαυστος, ἄταφος· νῦν δ' ὑπὲρ μητρὸς φίλης
Ἑκάβης ἀΐσσω, σῶμ' ἐρημώσας ἐμὸν,
Τριταῖον ἤδη φέγγος αἰωρούμενος,
Ὅσονπερ ἐν γῇ τῇδε Χερσονησίᾳ
Μήτηρ ἐμὴ δύστηνος ἐκ Τροίας πάρα.
Πάντες δ' Ἀχαιοὶ ναῦς ἔχοντες, ἥσυχοι
Θάσσουσ' ἐπ' ἀκταῖς τῆσδε Θρηκίας χθονός·
Ὁ Πηλέως γὰρ παῖς, ὑπὲρ τύμβου φανεὶς,
Κατέσχ' Ἀχιλλεὺς πᾶν στράτευμ' Ἑλληνικόν·
Πρὸς οἶκον εὐθύνοντας ἐναλίαν πλάτην·
Αἰτεῖ δ' ἀδελφὴν τὴν ἐμὴν Πολυξένην
Τύμβῳ φίλον πρόσφαγμα καὶ γέρας λαβεῖν·
Καὶ τεύξεται τοῦδ', οὐδ' ἀδώρητος φίλων

ταῦτα διὰ τὸ πάντων ἐμὲ νεώτατον εἶναι, ὡς μήθ' ὅπλα φέρειν, μήτε δόρυ ἐκ νέου βραχίονός πω προβαλέσθαι δυνάμενον. Μέχρι μὲν οὖν καλῶς προὐχώρει ἡμῖν τὰ πράγματα, εὐτυχοῦντος ἐν ταῖς μάχαις τοῦ Ἕκτορος, καλῶς παρὰ τῷ πατρῴῳ ξένῳ ἐτρεφόμην ὁ τάλας, ὥσπερ νέον αὐξόμενος βλάστημα· ὡς δὲ τὰ πράγμαθ' ἡμῖν ἀντιπεριέστηκεν εἰς πᾶν τοὐναντίον, τοῦ θ' Ἕκτορος καταστρέψαντος, καὶ τοῦ πατρὸς ἐν ἁλώσει ἤδη τῆς πόλεως ἀποθανόντος ὑπὸ Νεοπτολέμου ἐν τῷ ναῷ, οὕτω τῶν πάντων ἀνατραπέντων, τόθ' ὁ ξένος, ἵνα κύριος γένηται τοῦ χρυσοῦ, ἀνελών με, κατέρριψεν ὑποβρύχιον ἐς τὴν θάλασσαν· ἔνθ' οὑμὸς νεκρὸς νῦν κεῖται ἐπὶ τῆς ἀκτῆς ἄκλαυστος, ἄταφος, ἄλλοτ' ἄλλως μεταφερόμενος ὑπὸ τῶν κυμάτων· ἐγὼ δὲ τρίτην ταύτην ἡμέραν αἰωρούμενος, ζητῶ παραστῆναι τῇ φίλῃ μητρὶ, μέχρις ἂν ἐνταῦθα ποιῆται τὰς διατριβὰς, τῶν Ἑλλήνων ἀναχθῆναι μὴ δυναμένων· Ἀχιλλεὺς γὰρ ἐπιφανεὶς ἐπὶ τοῦ τάφου, κατέσχε πάντα τὸν στρατὸν μὴ πρότερον ἀποπλεῦσαι, πρὶν ἂν Πολυξένην τὴν ἐμὴν ἀδελφὴν γέρας αὐτῷ προσαγάγωσι· καὶ οὐκ ἂν ἀτυχήσειεν, οἶμαι, τούτου φίλων πρὸς ἀνδρῶν,

---

ρὲ ὑπόλιθον, ἵνα μὴ ᾖ ἀντιφατικὸν πρὸς τὸ Ἀρίστη, καὶ τὸ Σπείρει. 13. Ὅ δὲ ὁ. ἢ ἀποδοτέον τοῦτο ὡς εὐθεῖαν εἰς τὸ Ὑπεξέπεμψεν· ἀλλ' ἄμεινον τὸ πρῶτον. 16. Ὁρίσματα] αἱ στῆλαι καὶ τὰ ὁροθέσια, ἃ ἐτίθοντο ἐν τοῖς ὁρίοις τῆς χώρας ἕκαστον ἔθνος. πύργους δ' αὖ αὐτὰ τὰ τείχη λέγει. 22. Ἕκτορός τε ψυχή] τὸ Ψυχὴ συχνὸν ἐν τῷ λόγῳ καὶ παρὰ τοῖς λογογράφοις ἀντὶ τοῦ Ζωὴ, ὡς καὶ, ὁ κίνδυνος ἡμῶν ἐστι περὶ ψυχῆς. περὶ τοῦ ζῆν. 23. Θεοδμήτῳ] ὃν ἔκτισαν τῇ Θεῷ Ἀθηνᾷ, ἢ Διῒ Ἑρκίῳ. 28. Κεῖμαι] ὅ ἐστι, τὸ σῶμα αὐτοῦ κεῖται ἔτι ἐπὶ τῶν ἀκτῶν, ἐκβρασθὲν ὑπὸ τοῦ κλυδωνίου. 31. Αἴσσω] ἀνορμῶ, οἷον ἱπτάμενος

Ἔσται πρὸς ἀνδρῶν· ἡ πεπρωμένη δ' ἄγει
Θανεῖν ἀδελφὴν τῷδ' ἐμὴν ἐν ἤματι.
Δυοῖν δὲ παίδοιν δύο νεκρὼ κατόψεται
Μήτηρ, ἐμοῦ τε, τῆς τε δυστήνου κόρης.
Φανήσομαι γὰρ, ὡς τάφου τλήμων τύχω,
Δούλης ποδῶν πάροιθεν ἐν κλυδωνίῳ·
Τοὺς γὰρ κάτω σθένοντας ἐξῃτησάμην
Τύμβου κυρῆσαι, κεἰς χέρας μητρὸς πεσεῖν.
Τοὐμὸν μὲν οὖν, ὅσονπερ ἤθελον τυχεῖν,
Ἔσται· γεραιᾷ δ' ἐκποδῶν χωρήσομαι
Ἑκάβῃ· περᾷ γὰρ ἥδ' ὑπὸ σκηνῆς πόδα
Ἀγαμέμνονος, φάντασμα δειμαίνουσ' ἐμόν.
Φεῦ, ὦ μῆτερ, ἥτις ἐκ τυραννικῶν δόμων
Δούλειον ἦμαρ εἶδες, ὡς πράσσεις κακῶς,
Ὅσονπερ εὖποτ'· ἀντισηκώσας δέ σε
Φθείρει θεῶν τις τῆς πάροιθ' εὐπραξίας·
ΕΚ. Ἄγετ', ὦ παῖδες, τὴν γραῦν πρὸ δόμων,
Ἄγετ' ὀρθοῦσαι τὴν ὁμόδουλον,
Τρῳάδες, ὑμῖν, πρόσθε δ' ἄνασσαν,
Λάβετε, φέρετε, πέμπετ', ἀείρετέ μου δέμας,
Γεραιᾶς χειρὸς προσλαζύμεναι·
Κἀγὼ σκολιῷ σκίπωνι χερὸς
Διερειδομένα, σπεύσω βραδύπουν

νος. 54. Πάρα.] πάρεστι. 51. Ὅσον] καθ' ὅσον, ἀπόδος τοῦτο μᾶλλον εἰς τὸ Ἤθελον· τὸ γὰρ τυχεῖν ἀπαιτεῖ γενικήν. 53. Ὑπὸ σκηνῆς] ἐν ἄλλοις κεῖται ὑπὸ σκηνήν. καὶ ἄλλοις, ὑπὲρ σκηνήν· εἴη δ' ἂν τὸ ὑπὸ σκηνῆς ἀντὶ τοῦ πρὸς τὴν σκηνὴν τοῦ Ἀγαμέμνονος, ὅποι ὥρμηται ζητήσουσα Κασάδραν· καί τοι εἰ ἐννοοῖμεν σκηνὴν ταύτην δὴ, ἐν ᾗ ἔκειτο ἡ Ἑκάβη (καὶ γὰρ Ἀγαμέμνονος ἦν καὶ αὕτη) ἐξηγηθήσεται ἄμεινον τὰ ἀκόλουθα· τὸ γὰρ ὑπο σκηνὴν περᾷ τον ποδα, δυοῖν θάτερον βούλε-

καὶ ταῦτα τῆς Μοίρας ἐπικλωσάσης τοῦτο· ἡ δὲ τάλαινα μήτηρ αὐτίκα μάλ' ὄψεται ἅμα δυοῖν παίδοιν τοὺς νεκροὺς προκειμένους· ἀνάγκη γὰρ, ἐφ' ᾧ με τύμβου τυχεῖν, φανερόν με γενέσθαι τῇ θεραπαίνῃ παρ' αὐτὰς τὰς ἀκτάς· τοῦτο γὰρ ἐδεήθην τῶν κάτω, ταφῆς τυχεῖν πρὸς τῆς φίλης μητρός· καὶ τὸ μὲν ἐμὸν ἔσται, οἷόν μοι ἦν βουλομένῳ. Ἀλλὰ νῦν ὁρῶν τὴν μητέρα ἐνταυθὶ, τοὐμὸν ἤδη φάντασμα φοβουμένην, ὡρμημένην ὑπὸ τὴν σκηνὴν ἐγερθῆναι, ἐκποδῶν αὐτῇ μεταστήσομαι· φεῦ, ὦ μῆτερ, οἵ' ἀνθ' οἵων σοι τὰ πράγματ' ἀντιπεριέστη· ἐς τοσοῦτον γὰρ δυστυχίας κεχώρηκας νῦν, ὅσον πρὶν ἐτύγχανες εὐτυχοῦσα· Θεῶν γάρ τις, ὡς ἔοικεν, ἀντισηκῶσαί σε τῆς πρότερον εὐδαιμονίας βουλόμενος, ἐς τοῦτό σε ἤλασε τῶν κακῶν.

ΕΚ. Ἄγετ', ὦ παῖδες, τὴν γραῦν, ἐξαγάγετέ με ταυτησὶ τῆς σκηνῆς ἀνεγείρασαι, τὴν σύνδουλον μὲν ὑμῖν νῦν, πρόσθεν δὲ βασίλισσαν οὖσαν· λάβεσθέ μου, φέρετε, ἀνακουφίσατέ μου τὸ σῶμα, γηραιᾶς χειρὸς προσλαβόμεναι· ἔνθα κἀγὼ σκίμπωνι τουτωῒ βακτρευομένη, προθυμήσο-

---

ται λέγειν, ἢ ὅτι ἐξέρχεται τῆς σκηνῆς κατὰ τὸ, Ὑπερβαίνει δῶμα τόδε (ἴδε Ἴων. στίχ. 516.), ἢ ὅτι ἤδη φόβῳ τῶν φασμάτων ὑποκινεῖ τὸν πόδα· ἐν τούτῳ γὰρ ἦν τότε, καὶ οὐκ ἐν τῷ περᾶν εἰς ἑτέραν σκηνήν· διὸ ζητεῖ καὶ τὴν τῶν ὁμοδούλων ἀντίληψιν εἰς τὸ ἐγερθῆναι· τοῦτο δὲ ἰδὼν ὁ Πολύδωρος ὑποκινοῦσαν τὸν πόδα, ἀπαλλάττεται· ἄμεινον δ' ἴσως γράφειν Ἀπὸ σκηνῆς. οὕτω γὰρ ἔοικε καὶ ἀλλαχῇ (Ἑλένη στίχ. 1385.) χρῆσθαι τῇ φράσει ταύτῃ· καὶ παρὰ Σοφοκλεῖ (Ἀντιγ. στίχ. 385.) ἐκ δόμων περᾷ. 55. Φεῦ] τὸ μόριον τοῦτο συνήθως ὁ ποιητὴς ἐκτὸς ἐκλαμβάνει τοῦ μέτρου πανταχοῦ· ὁμοίως καὶ τὸ, ἰοὺ, ἰού. καὶ ἆ, ἆ. καὶ τὰ τοιαῦτα ἐν τοῖς ἰαμβικοῖς. 64. Προσλαζύμεναι] προσλαβόμεναι. ἔστι δὲ λάζυμαι καὶ λάζομαι. 66. Βραδύπουν ἤλυσιν] βραδεῖαν πορείαν, ἔλευσιν· ἀπὸ τοῦ ἐλεύθω, τὸ ἔρχομαι, ἐλεύσω, ἤλευθα, ἤλυμαι, ἤλυσαι, ἤ-

Ἤλυσιν ἄρθρων προτιθεῖσα.
Ὦ στεροπὰ Διὸς, ὦ σκοτία νὺξ,
Τί ποτ' αἴρομαι ἔννυχος οὕτω
Δείμασι, φάσμασιν; ὦ πότνια χθὼν,
Μελανοπτερύγων μᾶτερ ὀνείρων,
Ἀποπέμπομαι ἔννυχον ὄψιν,
Ἃν περὶ παιδὸς ἐμοῦ τοῦ σωζομένου κατὰ Θρήκην,
Ἀμφὶ Πολυξείνης τε φίλης θυγατρὸς δι' ὀνείρων εἶδον·
Εἶδον γὰρ φοβερὰν ὄψιν, ἔμαθον, ἐδάην.
Ὦ χθόνιοι θεοὶ, σώσατε παῖδ' ἐμὸν,
Ὃς μόνος, οἴκων ἄγκυρά τ' ἐμῶν,
Τὴν χιονώδη Θρήκην κατέχει,
Ξείνου πατρῴου φυλακαῖσιν.
Ἔσται τι νέον·
Ἥξει τι μέλος γοερὸν γοεραῖς.
Οὔποτ' ἐμὰ φρὴν ὧδ' ἀλίαστος
Φρίσσει, ταρβεῖ.
Ποῦ ποτε θείαν Ἑλένου ψυχὰν,
Ἢ Κασάνδρας ἐσίδω, Τρῳάδες,
Ὥς μοι κρίνωσιν ὀνείρους;
Εἶδον γὰρ βαλιὰν ἔλαφον λύκου αἵμονι χαλᾷ
Σφαζομέναν, ἀπ' ἐμῶν γονάτων σπασθεῖσαν ἀνάγκᾳ
Οἰκτρῶς, καὶ τόδε δεῖμά μοι
Ἦλθ' ὑπὲρ ἄκρας τύμβου κορυφᾶς;

λυσις. 70· Μελανοπτερύγων] τὴν Χερρόνησον καλεῖ μητέρα τῶν ὀνείρων, ἐφ' ᾗ ταῦτα εἶδε. Μελανοπτέρυγας δὲ καλεῖ τοὺς ὀνείρους, ὡς ἐν νυκτὶ ἱπταμέ-

μαι ἐξελθεῖν, ὡς ἂν οἷατέ ὦ. ὦ ἀστραπὴ τοῦ Διὸς, ὦ σκοτία νὺξ, τί ποτέ μοι βούλονται τὰ φάσματα καὶ δείματα ταῦτα, ἐξ ὧν οὕτως ἐγείρομαι ἔννυχος; ὦ πότνια γῆ, μῆτερ μελανοπτερύγων ὀνείρων, ἀποπέμπομαι τὴν νυκτερινὴν ταύτην ὄψιν, ἣν εἶδον περί τε τοῦ παιδὸς τοῦ κατὰ τὴν Θράκην μοι σωζομένου, καὶ περὶ τῆς φίλης μοι θυγατρὸς Πολυξένης· δεινὸν, δεινόν τι κατ᾽ ὄναρ ἔδοξα ἰδεῖν· ἔμαθον, πέπεισμαι· ὦ ἐπιχώριοι δαίμονες, σώσατέ μοι, ὃς μόνος ἄγκυρα τῆς οἰκίας μοι ὑπόλοιπός ἐστιν, ἐν Θράκῃ τρεφόμενος παρὰ πατρῴῳ ξένῳ. Ἀλλ᾽ ἔσται τὶ νέον· ἥξει τὶ μέλος γοερὸν ἐμοὶ τῇ δυστήνῳ· οὐ γὰρ ἂν ποθ᾽ οὕτως ἡ ἐμὴ ἐταράχθη καρδία. Ἀλλὰ ποῖ τις, ὦ φίλαι, εὕροι ἂν Ἕλενον, ἢ Κασάνδραν, ἵνα μοι ἐξηγήσωνται τοὺς ὀνείρους; ἔδοξα γὰρ ἰδεῖν ἔλαφόν τινα ποικίλην, ἀπὸ τῶν ἐμῶν ἐκσπασθεῖσαν γονάτων, ὑπὸ Λύκου κατασπαραχθεῖσαν· ταράττει δέ με καὶ τὸ τοῦ Ἀχιλλέως φάντασμα, ἐπὶ τοῦ τύμβου φανὲν, γέρας ἀπαιτοῦν παρὰ

---

γους, ἢ ὅτι λυπηροὶ αὐτῇ ἦσαν. 76. Οἴκων ἄγκυρά τ᾽ ἐμῶν] ἐννοητέον ἐνταῦθα τὸ, Ἐστὶ, διὰ τὴν του Τέ συμπλοκήν. 86, Ἀλίαστος] ἀκατάπαυστος, ἀνήσυχος. 83 Ἑλένου ψυχὰν] παῖς Ἑκάβης ὁ Ἕλενος, τοῦτον δὲ καὶ Κασάδραν ὄντας ἐν τῷ ἱερῷ παῖδας, περιλείξαντες οἱ ὄφεις εἰς τὰ ὦτα, ἐποίησαν οὕτως ὀξυκόους, ὥστε καὶ τὰς τῶν Θεῶν ἀκούειν βουλὰς, καὶ μάντεις καταστῆναι· τὸ δὲ τὴν ψυχὴν Ἑλένου ζητεῖν, διὰ το προτεθνηκέναι φασὶν αὐτὸν τοῦτο ποιεῖν τὴν Ἑκάβην· καίτοι Ἕλενον περιόντα Εὐ ιπίδης εἰσάγει ἐν Ἀνδρομάχῃ (στίχ. 1250). ἔστιν ἄρα τὰ δύο ἀνθ᾽ ἑνὸς κατὰ περίφρασιν ποιητικὴν, ὡς καὶ τὸ Βία Ἡρακλέους, καὶ τὰ τοιαῦτα. 86. Βαλιαν] ποικίλην, κατάστικτον· τὸ δὲ αἵμονι χαλᾷ, αἱματηρᾷ χηλῇ, ὅ ἐστι τοῖς ὄνυξι, βούλεται λέγειν. 88. Καὶ τόδε δεῖμα] πρὸς δὲ τούτοις κἀκεῖνό μοι ἐπέστη τὸ φόβητρον ἐν ὕπνοις, τὸ

Φάντασμ' Ἀχιλέως·
Ἤτει δὲ γέρας τῶν πολυμόχθων
Τινὰ Τρωϊάδων.
Ἀπ' ἐμᾶς οὖν, ἀπ' ἐμᾶς τόδε παιδὸς
Πέμψατε, δαίμονες, ἱκετεύω.

ΧΟ. Ἑκάβη, σπουδῇ πρός σ' ἐλιάσθην,
Τὰς δεσποσύνους σκηνὰς προλιποῦσ',
Ἵν' ἐκληρώθην, καὶ προσετάχθην
Δούλη, πόλεως ἀπελαυνομένη
Τῆς Ἰλιάδος, λόγχης αἰχμῇ
Δοριθήρατος πρὸς Ἀχαιῶν,
Οὐδὲν παθέων ἀποκουφίζουσ',
Ἀλλ' ἀγγελίας βάρος ἀραμένη
Μέγα, σοί τε, γύναι, κήρυξ ἀχέων.
Ἐν γὰρ Ἀχαιῶν πλήρει ξυνόδῳ
Λέγεται δόξαι, σὴν παῖδ' Ἀχιλεῖ
Σφάγιον θέσθαι· τύμβου δ' ἐπιβὰς,
Οἶσθ', ὅτε χρυσέοις ἐφάνη ξὺν ὅπλοις,
Τὰς ποντοπόρους δ' ἔσχε σχεδίας,
Λαίφη προτόνοις ἐπερειδομένας,
Τάδε θωΰσσων·
Ποῖ δὴ Δαναοὶ, τὸν ἐμὸν τύμβον
Στέλλεσθ' ἀγέραστον ἀφέντες;
Πολλῆς δ' ἔριδος ξυνέπαισε κλύδων,
Δόξα δ' ἐχώρει δίχ' ἀν' Ἑλλήνων
Στρατὸν αἰχμητὴν, τοῖς μὲν διδόναι
Τύμβῳ σφάγιον, τοῖς δ' οὐχὶ δοκοῦν.
Ἦν δὲ τὸ μὲν σὸν σπεύδων ἀγαθὸν
Τῆς μαντιπόλου Βάκχης ἀνέχων
Λέκτρ' Ἀγαμέμνων·
Τὼ Θησείδα δ', ὄζω Ἀθηνῶν,

τῶν Ἑλλήνων μίαν τινὰ τῶν πολυμόχθων Τρῳάδων. Ἀλλ' ὦ Θεοὶ, ἀποπέμψατε, ἱκετεύω, μεταστήσατε τοῦτο ἀπὸ τῆς φίλης μοι παιδός.

ΧΟ. Ἑκάβη, τὰς τῶν δεσποτῶν ἀρτίως σκηνὰς ἀπολιποῦσα, ἔνθα, τῆς πόλεως ἁλούσης, προσετάχθην δουλεύειν, αἰχμάλωτος ἤδη γεγενημένη, ἀφικόμην δεῦρο σπουδῇ, οὐ τῶν παρόντων σε κακῶν ἀπαλλάξουσα, ἀλλὰ καὶ ἕτερον ἀλγεινότερον ἀγγελοῦσα τῶν πρώτων· λέγεται γὰρ δόξαι ἐν κοινῷ τῶν Ἑλλήνων συλλόγῳ τὴν σὴν κόρην τῷ Ἀχιλλείῳ τάφῳ ποιήσασθαι σφάγιον· οἶσθα γὰρ, ὡς ἐπιφανεὶς ὁ Ἥρως πανοπλίᾳ κεκοσμημένος, ἐπέσχε τοὺς Ἕλληνας μὴ ἀνάγεσθαι, ἐπειπὼν ταῦτα. Ποῖ ποτ', ὦ ἄνδρες, βούλεσθ' ἀποπλεῖν, τὸν ἐμὸν τάφον ἀγέραστον καταλιπόντες; ἐκ δὴ τούτου ἔρις ἦν πολλὴ πρὸς ἀλλήλους, καὶ συχνὴ λόγων ἅμιλλα, τῶν μὲν, τῶν δ' οὐκ ἀξιούντων δοῦναι σφάγιον τὴν παῖδα τῷ τοῦ ἀπαιτήσαντος τάφῳ· ἦν δὲ τὸ σὸν βουλόμενος ἀγαθὸν μᾶλλον Ἀγαμέμνων ὁ τῆς σῆς παιδὸς ὁμευνέτης. Ἀκάμας δὲ καὶ Δημοφῶν οἱ Θησέως, δύο ἔχοντες ψήφους, προσετέθησαν τελευτῶντες τοῖς ἀξιοῦσι προσφάτῳ αἵματι τιμῆσαι τὸν

---

τοῦ Ἀχιλλέως φάντασμα· τὸ δὲ Ἀχιλλέως, ἐν ἄλλοις κεῖται, Ἀχιλλῆος. 95. Ἐλιάσθην, ἦλθον, ἀπὸ τοῦ λιάζομαι. 107. Οἶσθα] ἀναπληρωτέον δοκεῖ μοι ταῦτα ὧδε· οἶσθα δὲ τοῦτο γεγενημένον, ὅτε ἐκεῖνος ἐφάνη, καὶ τλ· εἰ δὲ μὴ γραπτέον Ὅτι, ἀντὶ τοῦ Ὅτε· ἵνα ᾖ, Οἶσθα δὲ, ὅτι ἐκεῖνος ἐπιβὰς τοῦ τύμβου ἐφάνη . . . λέγων ταῦτα. 118. Βάκχης] τῆς Κασάνδρας, τῆς ἐν τῷ μαντεύειν γιγνομένης ἐνθέου, καθάπερ αἱ τοῦ Βάκχου Μαινάδες· τὸ δὲ Ἀνέχων ἀντὶ τοῦ κατέχων, ἢ ἀντὶ τοῦ τιμῶν, εἴληπται· 120. Θησεῖδα] Θησεὺς, Θη-

Δισσῶν μύθων ῥήτορες ἦσαν·
Γνώμῃ δὲ μιᾷ ξυνεχωρείτην,
Τὸν Ἀχίλλειον τύμβον στεφανοῦν
Αἵματι χλωρῷ· τὰ δὲ Κασάνδρας
Λέκτρ' οὐκ ἐφάτην τῆς Ἀχιλείας
Πρόσθεν θήσειν ποτὲ λόγχης.
Σπουδαὶ δὲ λόγων κατατεινομένων
Ἦσαν ἴσαι πως, πρὶν ὁ ποικιλόφρων,
Κόπις, ἡδυλόγος, δημοχαριστὴς
Λαερτιάδης πείθει στρατιὰν,
Μὴ τὸν ἄριστον Δαναῶν πάντων
Δούλων σφαγίων οὕνεκ' ἀπωθεῖν,
μηδέ τιν' εἰπεῖν παρὰ Περσεφόνῃ
Στάντα φθιμένων,
Ὡς ἀχάριστοι Δαναοὶ Δαναοῖς,
Τοῖς οἰχομένοις ὑπὲρ Ἑλλήνων,
Τροίας πεδίων ἀπέβησαν.
Ἥξει δ' Ὀδυσεὺς ὅσον οὐκ ἤδη,
Πῶλον ἀφέλξων σῶν ἀπὸ μαστῶν,
Ἔκ τε γεραιᾶς χερὸς ὁρμήσων.
Ἀλλ' ἴθι ναοὺς, ἴθι πρὸς βωμοὺς,
Ἵζ' Ἀγαμέμνονος ἱκέτις γονάτων·
Κήρυσσε θεοὺς, τοὺς τ' Οὐρανίδας,
Τούς θ' ὑπὸ γαῖαν.
Ἢ γάρ σε λιταὶ διακωλύσουσ'
Ὀρφανὸν εἶναι παιδὸς μελέας,
Ἢ δεῖ σ' ἐπιδεῖν τύμβου προπετῆ
Φοινισσομένην αἵματι παρθένον
Ἐκ χρυσοφόρου
Δειρῆς νασμῷ μελαναυγεῖ.

τάφον τοῦ Ἥρωος· μὴ γὰρ δεῖν πλείω λόγον ποιεῖσθαι τῆς τοῦ Ἀγαμέμνονος ἡδονῆς, ἢ τῆς τοῦ Ἀχιλλέως ἀρετῆς καὶ ἀνδρίας. Ἐν τούτῳ οὖν πολλῶν λόγων ἀγὼν ἐπ' ἀμφότερα ἴσος ἦν, μέχρις οὗ παρελθὼν Ὀδυσσεὺς πολλὴν μὲν ἐπὶ γλώσσης φέρων πειθὼ, πλείω δὲ χάριν παρεχόμενος τῷ πλήθει, ἔπεισε πάντας μὴ ἀπώσασθαι τὸν ἄριϛον τῶν Ἑλλήνων ἁπάντων· μηδὲ πλείω λόγον τῶν δούλων ποιήσασθαι, ἵνα μήτις λόγος παρά του τῶν νεκρῶν γένηται παρὰ Περσεφόνῃ, ὡς οἱ Ἕλληνες ἀνεχώρησαν ἀπὸ τοῦ Ἰλίου, ἀγνώμονες γενόμενοι τοῖς ὑπὲρ αὐτῶν ἀποθανοῦσι. Τοῦτον οὖν αὐτὸν ἴσθι ἥξοντα ὅσον οὔπω, τὴν σὴν παῖδα ἀποσπάσοντα, ὥσπερ πῶλον, ἀπὸ τῶν γονάτων· ἀλλ' ἴθι πρὸς ναοὺς, ἴθι πρὸς βωμοὺς, σπεῦσον πρὸς τὸν Ἀγαμέμνονα, ἱκέτις τῶν αὐτοῦ γενησομένη γονάτων, Θεοὺς τούςτε οὐρανίους, τούς θ' ὑποχθονίους ἐπικαλουμένη· τοῦτο γὰρ δυοῖν θάτερον ἢ διασώσει σοι τὴν παῖδα, ἢ ὄψει αὐτὴν ἐπὶ τῷ τάφῳ αἵματι καὶ λύθρῳ πεφυρμένην ὅλως.

σέως, ἐξ οὗ Θησείδης ὁ υἱός· ἦσαν δὲ οὗτοι δύο, Ἀκάμας καὶ Δημοφῶν· καὶ
τοι Ὅμηρος οὐδαμοῦ τούτων μέμνηται ἐν τῇ Ἰλιάδι, Μενεσθέα Ἀθηναίοις εἰ-
σάγων ἄρχοντα· δυστυχήσαντος γὰρ ἐν ἐσχάτοις τοῦ Θησέως, οἱ παῖδες αὐ-
τοῦ δοκοῦσιν ἀκλεεῖς τὰ περὶ τὴν Τροίαν γενέσθαι, Μενεσθέως ἰσχυροτέρου γε-
γονότος. 121. Δισσῶν μύθων] πότερον, διεφώνουν πρὸς ἀλλήλους τὸ κατ'
ἀρχὰς, ἢ ἑκάτερος ἰδίᾳ λέγοντες, ταὐτὰ ἀμφότεροι ἔλεγον; ἄμεινον τὸ δεύ-
τερον. 125. Τὰ Λέκτρα] τὸν ἔρωτα, ἢ τὴν ἀπὸ τοῦ ἔρωτος χάριν βούλεται
εἰπεῖν, ὥσπερ καὶ τὸ Λόγχη, τὴν ἀνδρίαν δηλοῖ. 129. Κόπις] ῥήτωρ· παρὰ
τὸ κοπτὴρ εἶναι λόγων. 140. Ὁρμήσων] σὺν βίᾳ ἀποσπάσων· 147. Προπετῆ]
πρηνῆ κειμένην· τὸ δὲ, Νασμῷ (ῥεύματι) μελαναυγεῖ, ταὐτὸν τῷ αἵματι.

ΕΚ. Οἴ ἐγὼ μελέα, τί ποτ' ἀπύσω;
Ποίαν ἀχώ; ποῖον ὀδυρμόν;
Δειλαία δειλαίου γήρως,
Δουλείας τᾶς οὐ τλατᾶς,
Τᾶς οὐ φερτᾶς· ὤ μοί μοι·
Τίς ἀμύνει μοι; ποία γέννα;
Ποία δὲ πόλις;
Φροῦδος πρέσβυς, φροῦδοι παῖδες.
Ποίαν, ἢ ταύταν, ἢ κείναν,
Στείχω; ποῖ δ' ἥσω; ποῦ τις θεῶν,
Ἢ δαίμων ἔστ' ἐπαρωγός;
Ὦ κάκ' ἐνεγκοῦσαι Τρῳάδες, ὦ
Κάκ' ἐνεγκοῦσαι πήματ', ἀπωλέσατ',
Ὠλέσατ'· οὐκέτι μοι βίος
Ἀγαστὸς ἐν φάει.
Ὦ τλάμων, ἄγησαί μοι, ποῦς,
Ἄγησαι τᾷ γραίᾳ
Πρὸς τάνδ' αὐλάν· ὦ τέκνον, ὦ παῖ
Δυστανοτάτας ματέρος, ἔξελθ',
Ἔξελθ' οἴκων· ἄϊε ματέρος
Αὐδάν, ὦ τέκνον', ὡς εἰδῇς,
Οἵαν, οἵαν
Ἀΐω φάμαν περὶ σᾶς ψυχᾶς.
ΠΟ. Ἰὼ μᾶτερ, μᾶτερ, τί βοᾷς; τί νέον
Κηρύξασ' οἴκων μ', ὥστ' ὄρνιν,
Θάμβει τῷδ' ἐξέπταξας;
ΕΚ· Ἰώ μοι, τέκνον.
ΠΟ. Τί με δυσφημεῖς; φροίμιά μοι κακά.
ΕΚ· Αἲ, αἲ, σᾶς ψυχᾶς.
ΠΟ. Ἐξαύδα, μὴ κρύψῃς δαρόν.
Δειμαίνω, δειμαίνω, μᾶτερ,
Τί ποτ' ἀναστένεις;

ΕΚ. Οἴμοι τῇ δυστήνῳ, τί ποτ' εἴπω; ποίαν προϊοῦσα φωνήν; ποῖον ὀδυρμόν; δειλαία ἐγὼ τῆς ἀνηκούςου ταύτης δουλείας, καὶ ταῦτα νῦν ἐν γήρᾳ ἀθλιωτάτῳ· οἴμοι αὖθις καὶ πολλάκις τῇ δυστήνῳ γεραιᾷ· τίς ἀμυνεῖ μοι πρὸς ταῦτα; ποῖον τέκνον; ποία πόλις; ὅ,τε γὰρ ἀνὴρ, οἵ,τε παῖδες ἀπώλοντο πάντες, ἐν βραχεῖ χρόνῳ ἀφανεῖς γεγενημένοι· ποίαν οὖν ὁδὸν, τήνδε, ἢ τήνδε βαδίσω; ποῖ πορευθῶ; ποῦ μοί τις εἴπῃ Θεῶν τινα, ἢ δαιμόνων ἐπαρωγόν; ὦ κακά μοι, κακὰ μηνύματα ἐνεγκοῦσαι ὑμεῖς· ὠλέσατέ με, ἀπωλέσατε ὅλως· οὐκέτι μοι ὁ βίος ἡδύς· ποῖ ἔλθω; ὦ τλῆμον ποῦς, δεῦρ' ἡγοῦ μοι τῇ γεραιᾷ πρὸς τήνδε τὴν σκηνήν· ὦ τέκνον, τέκνον, ὦ θύγατερ μητρὸς δυςήνου, ἔξελθ', ἔξελθε τῆς σκηνῆς, ἄκουσον τῆς μητρὸς καλούσης, ἵν' εἰδῇς, οἷα λέγεται περὶ σοῦ.

ΠΟ. Ἰὼ μῆτερ, μῆτερ, τί ποτε βοᾷς οὕτω; τί ποτε νέον ἐξειποῦσα, ἐκπτῆναί με, ὥσπερ ὄρνιν, ἐποίησας τῷ φόβῳ.

ΕΚ. Οἴμοι, τέκνον.

ΠΟ. Τίνα μοι ταῦτα τῶν κακῶν ἐπᾴδεις προοίμια;

ΕΚ. Αἲ, αἲ τῆς σῆς ψυχῆς.

ΠΟ. Λέγε ὅ,τι ποτ' ἔχεις, μηκέτι κρύπτουσα· φοβοῦμαι, φοβοῦμαι, μῆτερ, τίς οὗτός σοι ὁ στεναγμὸς ἐκπίπτει συχνός;

---

158. Φροῦδος] οἷον, προσδεὺς, ὁ φθάσας ἀπολεσθείς. 160. Ἤσω] τοῦτο ψιλούμενον μὲν, εἴη ἂν ἀπὸ τοῦ εἶμι, τὸ πορεύομαι· δασυνόμενον δὲ, ἀπὸ τοῦ ἵημι τὸ πέμπω· ἵνα ᾖ, ποῖ πέμψω ἐμαυτήν; 198. Πρὸς τάνδε αὐλάν.] ἔνθα ἐςὶν ἡ Πολυξένη. 176. Ἐξέπταξας] ἐκπτήσω τὸ θέμα· ἐποίησάς με τῷ φόβῳ ἐκπτη-

ΕΚ. Ὦ τέκνον, τέκνον μελέας ματρός.
ΠΟ. Τί τόδ' ἀγγέλλεις;
ΕΚ. Σφάξαι σ' Ἀργείων κοινᾷ
Ξυντείνει πρὸς τύμβον γνώμᾳ
Πηλείδα γέννα.
ΠΟ. Οἴ μοι, μᾶτερ, πῶς φθέγγει
Ἀμέγαρτα κακῶν; μάνυσόν μοι,
Μάνυσον, μᾶτερ.
ΕΚ. Αὐδῶ, παῖ, δυσφήμους φάμας.
Ἀγγέλλουσ' Ἀργείων δόξαι
Ψήφῳ τᾶς σᾶς περί μοι ψυχᾶς.
ΠΟ. Ὦ δεινὰ παθοῦσ', ὦ παντλάμων,
Ὦ δυστάνου, μᾶτερ, βιοτᾶς,
Οἵαν, οἵαν αὖ σοι λώβαν
Ἐχθίσταν, ἀῤῥήταν τ'
Ὦρσέν τις δαίμων;
Οὐκέτι σοι παῖς ἅδ'· οὐκέτι δὴ
Γήρᾳ δειλαία δειλαίῳ
Ξυνδουλεύσω.
Σκύμνον γάρ μ' ὥστ' οὐρειθρέπταν
Μόσχον δειλαία δειλαίαν
Εἰσόψει χειρὸς ἀναρπαστὰν
Σᾶς ἄπο, λαιμότομόν τ' Ἀΐδᾳ
Γᾶς ὕπο πεμπομέναν σκότον, ἔνθα νεκρῶν μέτα
Ἁ τάλαινα κείσομαι.
Καὶ σὲ μὲν, ὦ μᾶτερ δύστανε,
Κλάω πανοδύρτοις θρήνοις·
Τὸν ἐμὸν δὲ βίον, λώβαν, λύμαν τ'

ΕΚ. Ὦ τέκνον, τέκνον δυςήνου μητρός.

ΠΟ. Τί τοῦτο λέγεις;

ΕΚ. Νεοπτόλεμος ἐκ ψηφίσματος τῶν Ἑλλήνων σφάξαι σε ἐθέλει πρὸς τῷ πατρῴῳ τάφῳ.

ΠΟ. Οἴμοι! τί φής ταῦτ᾽, ὦ μῆτερ, ἄφθονα δεινά; εἰπέ μοι σαφῶς, τί σοι βούλεται ταῦτα;

ΕΚ. Ἐρῶ τέκνον, κοὐκέτι κρύψομαι τὴν δύσφημον ταύτην φήμην· ψῆφος γὰρ ἠνέχθη τοῖς Ἀργείοις περὶ τῆς σῆς ψυχῆς.

ΠΟ. Ὦ δεινὰ παθοῦσα· ὦ παντλήμων μῆτερ βίου δυστυχοῦς· οἷον αὖθις τῶν κακῶν τῶν δαιμόνων τὶς ἐπήνεγκέ σοι· οὐκέτ᾽ ἐγὼ, οὐκέθ᾽, ὡς ἔοικε, δειλαία συνδουλεύσω μητρὶ γηραιᾷ· αὐτίκα γαρ ὄψει με τῆς σῆς χειρὸς, ὡς μόσχον σμικρὸν ὀρεσίτροφον ἁρπασθεῖσαν, ἵνα σφαγεῖσα, εἰς τὸ σκότος τοῦ ᾅδου, ἀπέλθω, ἔνθα κείσομαι μετὰ τῶν νεκρῶν· καὶ σὲ μὲν, ὦ μῆτερ, ἐποδύρομαι σφόδρα· τὸν δὲ

---

δῆσαι σὺν σπουδῇ. 187. Πηλείδα γέννα] Πηλεὺς Πηλέως, Πηλείδης ὁ Ἀχιλ-
λεύς· Δωρικῶς δὲ τοῦτο κλείνεται· ὁ Πηλείδας τοῦ Πηλείδα· οὕτως οὖν ἐστιν
ἑρμηνεύειν· Ἡ γέννα τοῦ Πηλείδου, ὅ ἐςιν, Νεοπτόλεμος ὁ υἱὸς τοῦ Πηλέως σφά-
ξαι, καὶ τὰ ἑξῆς· καὶ τοῦτο μὲν εἰ γράφοιμεν τὸ, Κοινῇ γνώμῃ εἰς δοτικήν·
εἰ δὲ μεταβάλοιμεν εἰς τὸ, Κοινὴ γνώμα κατ᾽ εὐθεῖαν, τότ᾽ ἀνάγκη ἐκλαβεῖν
τὸ, Γέννα, ἐπὶ κλητικῆς, καὶ ἑρμηνεῦσαι οὕτω μᾶλλον. Ὦ γέννα (τέκνον Πολυ-
ξένη) κοινὴ γνώμη τῶν Ἀργείων συντείνει σφάξαι σὲ πρὸς τὸν τάφον τοῦ
Πηλείδου· ἄμεινον δὲ, ὡς ἁπλούστερον, τὸ πρῶτον. ἢ οὕτω μᾶλλον, κοινὴ
ψῆφος τῶν Ἑλλήνων, χαριζομένων τῇ γέννᾳ, τουτέςι τῷ υἱῷ (Νεοπτολέμῳ) τοῦ
Πηλείδου (τοῦ Ἀχιλλέως), συντείνει σφάξαι σε ἐπὶ τοῦ τάφου αὐτοῦ· 199.
Παῖς ἅδε] ἥδε, ἐγώ· δεικτικῶς τοῦτο πρὸς ἑαυτήν. 202. Ὡς τ᾽ οὐρειθρέπταν]
ὀρεσίτροφον· ἡ δὲ τάξις τῶν ὀνομάτων οὕτω· σὺ ἡ δειλαία ἐπόψει με τὴν
δειλαίαν, ὥσπερ μόσχον, σκύμνον ὀρείθρεπτον, ἀναρπαστὴν ἀπὸ τῆς σῆς χει-

Οὐ μετακλαίομαι· ἀλλὰ θανεῖν μοι
Ξυντυχία κρείσσων ἐκύρησεν.

ΧΟ. Καὶ μὴν Ὀδυσσεὺς ἔρχεται σπουδῇ ποδὸς,
Ἑκάβη, νέον τι πρὸς σὲ σημανῶν ἔπος.

ΟΔ. Γύναι, δοκῶ μένσ', εἰδέναι γνώμην στρατοῦ,
Ψῆφόν τε τὴν κρανθεῖσαν· ἀλλ' ὅμως φράσω.
Ἔδοξ' Ἀχαιοῖς παῖδα σὴν Πολυξένην
Σφάξαι πρὸς ὀρθὸν χῶμ' Ἀχιλλείου τάφου.
Ἡμᾶς δὲ πομποὺς καὶ κομιστῆρας κόρης
Τάσσουσιν εἶναι· θύματος δ' ἐπιστάτης
Ἱερεύς τ' ἐπέστη τοῦδε παῖς Ἀχιλλέως.
Οἶσθ' οὖν, ὃ δρᾶσον; μήτ' ἀποσπασθῇς βίᾳ,
Μήτ' ἐς χερῶν ἅμιλλαν ἐξέλθῃς ἐμοί·
Γίγνωσκε δ' ἀλκὴν καὶ παρουσίαν κακῶν
Τῶν σῶν· σοφόν τοι κἀν κακοῖς, ἃ δεῖ, φρονεῖν.

ΕΚ. Αἶ, αἶ· παρέστηχ', ὡς ἔοικ', ἀγὼν μέγας,
Πλήρης στεναγμῶν οὐδὲ δακρύων κενός.
Κἀγὼ γὰρ οὐκ ἔθνησκον, οὗ μ' ἐχρῆν θανεῖν,
Οὐδ' ὤλεσέν με Ζεὺς, τρέφει δ', ὅπως ὁρῶ
Κακῶν κάκ' ἄλλα μείζον' ἡ τάλαιν' ἐγώ.
Εἰ δ' ἔστι τοῖς δούλοισι τοὺς ἐλευθέρους
Μὴ λυπρὰ, μηδὲ καρδίας δηκτήρια
Ἐξιστορῆσαι, σοὶ μὲν εἰρῆσθαι χρεὼν,
Ἡμᾶς δ' ἀκοῦσαι τοὺς ἐρωτῶντας τάδε.

---

ρὸς, πεμπομένην τε λαιμότομον τῷ ᾅδῃ ὑπὸ τὸν τῆς γῆς σκότον. 212. Συντυχία κρείσσων] ἡ συγκυρία αὕτη τοῦ θανεῖν με κρείσσων μοί ἐστιν, ἢ ζῆν. 216. Κρανθεῖσαν (οὐχὶ κραθεῖσαν) ]τελειωθεῖσαν παρὰ τὸ κ[ρ]αίνομαι κραν-

ἐμαυτῆς βίον, πῆμα καὶ λώβην ἐσόμενον, οὐ θρηνῶ· καίμοι τὸ παρὸν συμβὰν εἰς καλὸν ἀποθανεῖν ἀπέβη.

ΧΟ. Ἀλλὰ μεταξὺ λόγων ὁρῶ Ὀδυσσέα ἐκεινονὶ πρὸς σὲ, ὦ Ἑκάβη, ἐρχόμενον σὺν σπουδῇ· νέον τὶ, ὡς ἔοικε βούλεται εἰπεῖν.

ΟΔ. Οἶδα μὲν, ὦ γύναι, ὡς οὐδὲν ἀγνοεῖς τῶν παρὰ τοῦ στρατοῦ ἐψηφισμένων· ἀλλ' ὅμως ἀνάγκη καὶ παρ' ἐμοῦ ταῦτ' ἀκοῦσαι. Ἔδοξε τοῖς Ἕλλησι τὴν σὴν σφάξαι παῖδα ἐπὶ τοῦ Ἀχιλλείου τάφου· κἀκ τούτου ἔπεμψαν ἐμὲ, τὴν κόρην ἀπάξοντα ἐκεῖσε· ἱερεὺς δὲ τοῦ πράγματος τέτακται Νεοπτόλεμος ὁ παῖς Ἀχιλλέως· Χρὴ τοίνυν εἴκειν σε τοῖς ἐψηφισμένοις, μηδ' ἀντιτείνειν ὅλως πρὸς ἐμὲ, ὥς' ἀποσπασθῆναι βίᾳ· δεῖ γὰρ δὴ γινώσκειν τὴν σεαυτῆς ἰσχὺν, πρὸς οἷον ἐμὲ ἀγωνισθήσῃ· σοφὸν γὰρ κἀν ταῖς συμφοραῖς φρονεῖν, ἃ δεῖ.

ΕΚ. Αἶ, αἶ· ἀγών μοι μέγιςος πρόκειται, ὡς ἔοικε, πλήρης στεναγμῶν καὶ δακρύων· ἀλλ' ἔδει με ἀποθανεῖν, ὅπῃ ἔδει· νῦν δ' ὁ Ζεὺς σώσας με, ὡς μὴ ὤφειλε, τρέφει, ὅπως βλέπουσα κακῶν κακὰ χείρω τὰ δεύτερα τῶν πρώτων διάδοχα, τήκομαι ἡ δύστηνος ἐγώ· ἀλλ' ἆρ', ἔξεστιν ἡμῖν δούλοις οὖσιν ἐρέσθαι τὶ τοὺς ἐλευθέρους ὑμᾶς, ὥςε καὶ ἀκοῦσαι αὐτῶν ἀποκρινομένων; οὐ γὰρ λυπηρὸν ἐρωτήσομέν τι, οὔτε καρδίας δηκτήριον.

---

θεῖσαν. 218. πρὸς ὀρθὸν χῶμα] ἐπὶ τοῦ ὑψώματος τοῦ τάφου. 222. Οἶσθ' οὖν, ὃ δρᾶσον] οὕτω μᾶλλον ἀντὶ τοῦ, ὃ δράσεις· οὕτω γὰρ καινοτρόπως ἐκφέρει Εὐριπίδης τὴν φράσιν ταύτην· ἴδε Ἰφ. ςίχ. 730. καὶ ἀλλαχῆ. 233. Σοὶ μὲν εἰρῆσθαι χρεὼν] χρεὼν, ἵνα ῥηθῇ ὑφ' ἡμῶν σοι, εἶθ' οὕτως, λέγοντός σου ἐν μέρει ἀκούσωμεν καὶ ἡμεῖς· ὅ ἐςι χρὴ ἡμᾶς ἐρωτήσαντας, ἀκοῦσαι ὑμῶν

ΟΔ. Ἔξεστ', ἐρώτα· τοῦ χρόνου γὰρ οὐ φθονῶ.
ΕΚ. Οἶσθ', ἡνίκ' ἦλθες Ἰλίου κατάσκοπος,
Δυσχλαινίᾳ τ' ἄμορφος, ὀμμάτων τ' ἄπο
Φόνου σταλαγμοὶ σὴν κατέσταζον γένυν;
ΟΔ. Οἶδ'· οὐ γὰρ ἄκρας καρδίας ἔψαυσέ μου.
ΕΚ. Ἔγνω δέ σ' Ἑλένη, καὶ μόνη κατεῖπ' ἐμοί;
ΟΔ. Μεμνήμεθ' ἐς κίνδυνον ἐλθόντες μέγαν.
ΕΚ. Ἥψω δὲ γονάτων τῶν ἐμῶν ταπεινὸς ὤν;
ΟΔ. Ὥστ' ἐνθανεῖν γε σοῖς πέπλοισι χεῖρ' ἐμήν.
ΕΚ. Τί δῆτ' ἔλεξας, δοῦλος ὢν ἐμὸς τότε;
ΟΔ. Πολλῶν λόγων εὑρήμαθ', ὥστε μὴ θανεῖν.
ΕΚ. Ἔσωσα δῆτά σ', ἐξέπεμψά τε χθονός;
ΟΔ. Ὥστ' εἰσορᾶν γε φέγγος ἡλίου τόδε.
ΕΚ. Οὔκουν κακύνῃ τοῖσδε τοῖς βουλεύμασιν;
Ὃς ἐξ ἐμοῦ μὲν ἔπαθες, οἷα φὴς παθεῖν,
Δρᾷς δ' οὐδὲν ἡμᾶς εὖ, κακῶς δ', ὅσον δύνῃ;
Ἀχάριστον ὑμῶν σπέρμ', ὅσοι δημηγόρους
Ζηλοῦτε τιμάς· μηδὲ γιγνώσκοισθέ μοι,
Οἳ τοὺς φίλους βλάπτοντες, οὐ φροντίζετε,
Ἢν τοῖσι πολλοῖς πρὸς χάριν λέγητέ τι.
Ἀτὰρ τί δὴ σόφισμα τοῦθ' ἡγούμενοι,
Ἐς τήνδε παῖδα ψῆφον ὥρισαν φόνου;
Πότερα τὸ χρῆν σφ' ἐπήγαγ' ἀνθρωποσφαγεῖν
Πρὸς τύμβον, ἔνθα βουθυτεῖν μᾶλλον πρέπει;

---

ἀποκρινομένων. 235. Τοῦ χρόνου γὰρ οὐ φθονῶ] οὐ φείδομαι τοῦ χρόνου, εἴτι βραδύνω, ἐν οἷς τυγχάνω ἀπεσταλμένος. 236. Κατάσκοπος] λέγεται μὲν Ὀδυσσεὺς εἰσδῦναι εἰς Τροίαν λάθρα, καὶ κλέψαι τὸ τῆς Παλλάδος εἴδωλον ἐκ θεσπροπίου· (οὐ γὰρ ἦν ἐξελεῖν τὴν πόλιν, εἰ μὴ τοῦτο γένοιτο) οὐ μέν τοι πι-

ΟΔ. Ἔξεστιν, ἐρώτα· οὐδεὶς γὰρ φθόνος ἀκούειν, τοῦ χρόνου μὴ ἀναγκάζοντος εὐθὺς ἀποχωρεῖν ἐντεῦθεν.

ΕΚ. Μέμνησαι ἐλθὼν ἐν Ἰλίῳ κατάσκοπος ἡμῶν ἐν πιναροῖς ἱματίοις, ὁπότ' ἀπὸ τῶν σῶν ὀμμάτων δάκρυα φόνου ἠρέμα ἐπὶ τὸ γένειον κατήει;

ΟΔ. Πῶς γὰρ οὔ; οὐδὲ γὰρ κούφως τοῦτο καθήψατό μου τότε.

ΕΚ. Ἑλένη σε ἰδοῦσα πρώτη, ἐμοὶ ἐξεῖπε μόνῃ;

ΟΔ. Μεμνήμεθα, εἰς κίνδυνον ἐλθόντες μέγαν.

ΕΚ Προσήψω δὲ τῶν ἐμῶν τουτωνὶ γονάτων τότε, πᾶσαν προσάγων ἱκεσίαν;

ΟΔ· Νὴ Δία, ὥστε νεκρωθῆναι μικροῦ δεῖν τὴν ἐμὴν χεῖρα, τῶν σῶν ἀψαμένην ἱματίων·

ΕΚ· Διεσώθης δ' ὑπ' ἐμοῦ, κρύφα τῶν ἄλλων ἐκπεμφθείς;

ΟΔ. Μάλισθ', ὥστε καὶ νῦν ὁρᾷν τὸ φῶς τοῦ ἡλίου ἔτι.

ΕΚ Τί δ' ἔλεγες. ἐπ' ἐμοὶ τότε γεγενημένος;

ΟΔ Παντοῖα οἷός τ' ἦν εὑρεῖν πρὸς σωτηρίαν.

ΕΚ. Οὔκουν εκ' τούτων κακὸς δοκεῖς εἶναι, ὃς ὁμολογῶν εὖ παθεῖν, ἀντιδρᾷς ἡμᾶς κακῶς, ὅσον δύνῃ; ἀχάριστον γένος, ὅσοι τὰς ἐκ τοῦ λέγειν διώκετ' εὐφημίας· ὡς μήποθ' ὑμᾶς ἴδοιμι, οἳ χαριζόμενοι τῷ πλήθει, οὐδὲν ἡγεῖσθε δεινὸν τοὺς εὐεργέτας βλάπτειν. Ἀλλὰ δεῦρ' εἰπέ μοι νῦν, ἀνθ' ὧν ἐπὶ τὴν παῖδα ταύτην προήχθητε τοιαῦτα δεινὰ βουλεῦσαι; καὶ ὅπως τὰ πράγματα κρίνοντες, φόνον αὐτῆς κατέγνωτε; πότερον ἀναγκασθέντες ἐκ τοῦ

---

θανόν, γνωστόν τῇ Ἑκάβῃ γενόμενον, ἀφεθῆναι· ἔστι δὲ λόγος μυθώδης καὶ π.άσ-
μα τοῦ ποιητοῦ, ἵν' ἡ δέσις τοῦ δράματος ἰσχυροτέρα αὐτῷ γένοιτο. 248. Οὔ
κουν] οὕτως ἀντὶ τοῦ Οὐκοῦν, ἑπομένης ἐρωτήσεως. 257. Το χρῆν] τὸ χρεὼν,

ΔΗΜΟΚΡ
ΕΙΟΣ ΔΗΜΟΤΙΚΗ

Ἢ τοὺς κτανόντας ἀνταποκτεῖναι θέλων,
Ἐς τήνδ' Ἀχιλλεὺς ἐνδίκως τείνει φόνον;
Ἀλλ' οὐδὲν αὐτὸν ἥδε γ' εἴργασται κακόν.
Ἑλένην νιν αἰτεῖν χρῆν τάφῳ προσφάγματα.
Κείνη γὰρ ὤλεσέν νιν, ἐς Τροίαν τ' ἄγει.
Εἰ δ' αἰχμάλωτον χρή τιν' ἔκκριτον θανεῖν,
Κάλλει θ' ὑπερφέρουσαν, οὐχ ἡμῶν τόδε·
Ἡ Τυνδαρὶς γὰρ εἶδος εὐπρεπεστάτη,
Ἀδικοῦσά θ' ἡμῶν οὐδὲν ἧσσον εὑρέθη.
Τῷ μὲν δικαίῳ τόνδ' ἁμιλλῶμαι λόγον·
Ἃ δ' ἀντιδοῦναι δεῖ σ', ἀπαιτούσης ἐμοῦ,
Ἄκουσον· ἥψω τῆς ἐμῆς, ὡς φής, χερὸς
Καὶ τῆς γεραιᾶς προσπιτνῶν παρηΐδος·
Ἀνθάπτομαί σου τῶνδε τῶν αὐτῶν ἐγὼ,
Χάριν τ' ἀπαιτῶ τὴν τόθ', ἱκετεύω τέ σε,
Μή μου τὸ τέκνον ἐκ χερῶν ἀποσπάσῃς,
Μηδὲ κτάνητε· τῶν τεθνηκότων ἅλις·
Ταύτῃ γέγηθα κἀπιλήθομαι κακῶν·
Ἥδ' ἀντὶ πολλῶν ἐστί μοι παραψυχὴ,
Πόλις, τιθήνη, βάκτρον, ἡγεμὼν ὁδοῦ.
Οὐ τοὺς κρατοῦντας χρὴ κρατεῖν, ἃ μὴ χρεὼν,
Οὐδ' εὐτυχοῦντας εὖ δοκεῖν πράξειν ἀεί.
Κἀγὼ γὰρ ἦν ποτ', ἀλλὰ νῦν οὐκ εἴμ' ἔτι,
Τὸν πάντα δ' ὄλβον ἦμαρ ἕν μ' ἀφείλετο.
Ἀλλ', ὦ φίλον γένειον, αἰδέσθητί με,
Οἴκτειρον· ἐλθὼν δ' εἰς Ἀχαϊκὸν στρατὸν,
Παρηγόρησον, ὡς ἀποκτείνειν φθόνος
Γυναῖκας, ἃς τὸ πρῶτον οὐκ ἐκτείνατε
Βωμῶν ἀποσπάσαντες, ἀλλ' ᾠκτείρατε.

καθήκοντος ἀνθρωποκτονεῖν, ἔνθα μᾶλλον χρὴ βουθυτεῖν, ἢ Ἀχιλλεὺς, ἐπεξελθεῖν τοῖς ἀνελοῦσιν αὐτὸν βουλόμενος, προείλετο τήνδε; ἀλλ' ἥδε εἴργασται αὐτὸν οὐδέν. Ἑλένην δ' αὐτὴν ἀπαιτεῖν ἔδει πρόσφαγμα αὐτῷ γενέσθαι, ὡς αἰτίαν αὐτῷ γεγενημένην ἐκστρατεῦσαι ἐπὶ Τροίαν· εἰ δ' ἄλλως ἔδοξε τῶν αἰχμαλωτίδων τινὰ, κάλλει διαφέρουσαν διαχρήσασθαι, καὶ τοῦθ' οὐχ ἡμῶν ὁμοίως, ἀλλ' εἰς ἐκείνην αὖθις ἥκει· τότε γὰρ εἶδος εὐπρεπεστάτη, καὶ τὰ τῆς ἀδικίας οὐκ ἔλαττον ἡμῶν ἔχει. Ταῦτα μὲν ὡς ἐκ τοῦ δικαίου προῆγμαι λέγειν. Νῦν δέ σε ἀκούειν χρὴ καὶ ἣν ὀφείλεις μοι χάριν· ἥψω ποτὲ, φὴς, τῆς ἐμῆς δεξιᾶς, προσπεσὼν, καὶ τῆς γεραιᾶς ταυτησὶ παρειᾶς; ἀνθάπτομαί σου κἀγὼ τῶν αὐτῶν, τὴν τότε ἀνταπαιτοῦσα χάριν, μή μου τὴν παῖδα τῶν ἐμῶν ἀποσπάσῃς χειρῶν, μηδ' ἀνέλητε ταύτην· ἅλις τῶν τεθνεώτων· νῦν ἥδε μόνη μοι ἀντὶ πάντων ἐςὶ παραμυθία· αὕτη μοί ἐςιν ἡδονὴ, λήθη κακῶν, πόλις, τιθήνη, βακτηρία, ἡγεμὼν ὁδοῦ· εἰ δὲ κρατεῖτε, ἀλλ' ἔσθ' ὧν δεῖ καὶ τοὺς κρατοῦντας ἀπέχεσθαι, μηδὲ οἴεσθαι εὖ πράσσοντας ἀεὶ εὖ πράξειν· ἦν γὰρ κἀμοὶ ποτὲ ἐπ' εὐτυχίᾳ σεμνύνεσθαι, ἀλλὰ νῦν, ὁρᾷς, κατηφής εἰμι ὅλως καὶ σκυθρωπὸς, χαμαὶ βαίνουσα, τὸν πάντα μοι ὄλβον μιᾶς ἀφελούσης ἡμέρας. Ἀλλ' ὦ φίλον γένειον, αἰδέσθητί με, δυσωπήθητι, οἴκτειρον· παριὼν δὲ εἰς τὸ πλῆθος, πεῖσον αἰσχρὸν εἶναι γυναῖκας ἀποκτείνειν, ἃς πρῴην ἀπὸ τῶν βωμῶν ἀποσ-

ἡ χρεία, καὶ τίς χρεία ἀνθρωποκτονεῖν, ἔνθα χρεία βουθυτεῖν; 286. Ἃς τὸ πρῶτον οὐκ ἀπεκτείνατε.] ὁπότε, ἁλούσης τῆς πόλεως, κατέφυγον εἰς τοὺς ναούς.

Νόμος δ' ἐν ὑμῖν τοῖς τ' ἐλευθέροις ἴσος
Καὶ τοῖσι δούλοις αἵματος κεῖται πέρι.
Τὸ δ' ἀξίωμα, κἂν κακῶς λέγῃς, τὸ σὸν
Πείσει· λόγος γὰρ ἔκ τ' ἀδοξούντων ἰὼν,
Κἀκ τῶν δοκούντων ωὐτὸς, οὐ ταὐτὸν σθένει.
ΧΟ. Οὐκ ἔστιν οὕτω στεῤῥὸς ἀνθρώπου φύσις,
Ἥτις γόων σῶν καὶ μακρῶν ὀδυρμάτων
Κλύουσα θρήνους, οὐκ ἂν ἐκβάλοι δάκρυ.
ΟΔ. Ἑκάβη, διδάσκου, μηδὲ τῷ θυμουμένῳ
Τὸν εὖ λέγοντα δυσμενῆ ποιοῦ φρενί.
Ἐγὼ τὸ μὲν σὸν σῶμ', ὑφ' οὗπερ εὐτύχουν,
Σώζειν ἕτοιμός εἰμι, κοὐκ ἄλλως λέγω·
Ἃ δ' εἶπον εἰς ἅπαντας, οὐκ ἀρνήσομαι,
Τροίας ἁλούσης, ἀνδρὶ τῷ πρώτῳ στρατοῦ
Σὴν παῖδα δοῦναι σφάγιον ἐξαιτουμένῳ.
Ἐν τῷδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις,
Ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ,
Μηδὲν φέρηται τῶν κακιόνων πλέον.
Ἡμῖν δ' Ἀχιλλεὺς ἄξιος τιμῆς, γύναι,
Θανὼν ὑπὲρ γῆς Ἑλλάδος κάλλιστ' ἀνήρ.
Οὔκουν τόδ' αἰσχρὸν, εἰ βλέποντι μὲν φίλῳ
Χρώμεσθ', ἐπεὶ δ' ἄπεστι, μὴ χρώμεσθ' ἔτι;
Εἶεν· τί δῆτ' ἐρεῖ τις, ἤν τις αὖ φανῇ
Στρατοῦ τ' ἄθροισις πολεμίων τ' ἀγωνία;
Πότερα μαχούμεθ', ἢ φιλοψυχήσομεν,
Τὸν κατθανόνθ' ὁρῶντες οὐ τιμώμενον;
Καὶ μὴν ἔμοιγε ζῶντι μὲν καθ' ἡμέραν,
Κεἰ σμίκρ' ἔχοιμι, πάντ' ἂν ἀρκούντως ἔχοι·

πάσαντες, κατῳκτείρατε· νόμος γὰρ οὗτος τοῖς τ' ἐλευθέροις καὶ μὴ ἐλευθέροις ὁ αὐτὸς παρ' ὑμῖν ὁμοίως αἵματος φείδεσθαι· τὸ δὲ ἀξίωμα τὸ σὸν παρ' Ἕλλησι μέγα ὂν, δύναται πείθειν, κἂν εἴπῃς, ὅπως εἴπῃς· ὁ γὰρ αὐτὸς λόγος ὑπότε τῶν εὐτυχούντων καὶ δυστυχούντων ῥηθεὶς, οὐχ ὁ αὐτός ἐστι τῇ δυνάμει.

ΧΟ. Οὐκ ἂν εἴη οὐδεὶς τοσοῦτον ἀνάλγητος, ὃς τῶν σῶν ἀκούσας λόγων, οὐκ ἂν ἐκβάλοι δάκρυ.

ΟΔ. Ἑκάβη, σύντεινόν μοι τὸ οὖς πρὸς ὀλίγον· μήδ' ἐξαγομένη θυμῷ, ἡγοῦ τὸν εὖ λέγοντα δυσμενῆ εἶναι· ἐγὼ σὲ μὲν, ὑφ' ἧς εὖ πέπονθα, ἕτοιμός εἰμι σώζειν, κοὐκ ἄλλως ἔχει· ὧν δὲ ψῆφον πρὸς ἅπαντας δέδωκα, τὴν σὴν παῖδα σφάγιον τῷ τῶν Ἑλλήνων ἀρίστῳ ἀποδοῦναι, Τροίας ἁλούσης, ταῦτ' οὐκ ἀρνήσομαι· ἐκ γὰρ τούτων αἱ πλεῖσται τῶν πόλεων πίπτουσιν, ἡνίχ' ὁ ἀγαθὸς τοῦ κακοῦ μηδὲν πλέον φέρεται· ὁ γοῦν Ἀχιλλεὺς οἶσθ', ὅσης ἡμῖν τιμῆς γεγένηται ἄξιος, ἀνὴρ ἀγαθὸς ὑπὲρ πάσης γενόμενος τῆς Ἑλλάδος· πῶς οὖν οὐκ ἂν εἴη αἰσχρὸν, μᾶλλον δὲ τῶν αἰσχίστων, ζῶντι μὲν αὐτῷ φίλῳ χρῆσθαι· νῦν δ' ἀποθανόντα, ὧν ἄξιός ἐστι, τούτων ἐθέλειν ἀποστερῆσαι; χωρὶς δὲ τούτων, τί ἄν τις εἴποι, εἴποθ' ἕτερος αὖθις γένοιτο πόλεμος καὶ κίνησις στρατοῦ· πότερον, κινδυνεύσομεν τότε, ἢ φιλοψυχήσομεν, ὁρῶντες τὸν ἄριστον τῶν Ἑλλήνων γεγενημένον, μηδὲν πλέον ἔχοντα; ἔμοιγε γὰρ, τὰ μὲν ἄλλα τὰ κατὰ τὸν βίον, ὅπως ἂν ἔχῃ, πάντ' ἀρκούντως ἔχει, κἂν γλίσχρα ᾖ· τὸν

288. Νόμος. . . ἴσος] ταὐτὰ δίκαια νομίζετε ὑμεῖς τοῖς τ' ἐλευθέροις καὶ δούλοις εἶναι, ὅπου γε περὶ φόνου· Ἀξίωμα δὲ λέγει, ἣν ὑπόληψιν εἶχεν Ὀδυσσεὺς παρὰ τοῖς Ἕλλησι. 292. Κἀκ τῶν δοκούντων] τῶν δοκούντων εἶναι τινὰς τῶν

Τύμβον δὲ βουλοίμην ἂν ἀξιούμενον
Τὸν ἐμὸν ὁρᾶσθαι· διὰ μακροῦ γὰρ ἡ χάρις.
Εἰ δ' οἰκτρὰ πάσχειν φῂς, τάδ' ἀντάκουέ μου·
Εἰσὶν παρ' ἡμῖν οὐδὲν ἧσσον ἄθλιαι
Γραῖαι γυναῖκες, ἠδὲ πρεσβῦται, σέθεν,
Νύμφαι τ', ἀρίστων νυμφίων τητώμεναι,
Ὧν ἥδε κεύθει σώματ' Ἰδαία κόνις.
Τόλμα τάδ'· ἡμεῖς δ', εἰ κακῶς νομίζομεν
Τιμᾷν τὸν ἐσθλὸν, ἀμαθίαν ὀφλήσομεν·
Οἱ βάρβαροι δὲ μήτε τοὺς φίλους φίλους
Ἡγεῖσθε, μήτε τοὺς καλῶς τεθνηκότας
Θαυμάζεθ', ὡς ἂν ἡ μὲν Ἑλλὰς εὐτυχῇ,
Ἡμεῖς δ' ἔχηθ' ὅμοια τοῖς βουλεύμασιν.
ΧΟ. Αἶ, αἶ· τὸ δοῦλον ὡς κακὸν πέφυκ' ἀεὶ,
Τολμᾷ θ', ἃ μὴ χρὴ, τῇ βίῃ νικώμενον.
ΕΚ. Ὦ θύγατερ, οἱ 'μοὶ μὲν λόγοι πρὸς αἰθέρα
Φροῦδοι, μάτην ῥιφθέντες ἀμφὶ σοῦ φόνου·
Σὺ δ', εἴ τι μείζω δύναμιν, ἢ μήτηρ, ἔχεις,
Σπούδαζε, πάσας, ὥστ' ἀηδόνος στόμα,
Φθογγὰς ἀφεῖσα, μὴ στερηθῆναι βίου.
Πρόσπιπτε δ' οἰκτρῶς τοῦδ' Ὀδυσσέως γόνυ,
Καὶ πεῖθ', ἔχεις δὲ πρόφασιν· ἔστι γὰρ τέκνα
Καὶ τῷδε, τὴν σὴν ὥστ' ἐποικτεῖραι τύχην.
ΠΟ. Ὁρῶ σ', Ὀδυσσεῦ, δεξιὰν ὑφ' εἵματος
Κρύπτοντα χεῖρα, καὶ πρόσωπον ἔμπαλιν
Στρέφοντα, μή σου προσθίγω γενειάδος.

---

ἐνδόξων. 296. Τῷ θυμουμένῳ] τῷ θυμῷ. 327. Ὡς ἂν ἡ μὲν Ἑλλὰς] ἀποτελεστικὰ τὰ μόρια ταῦτα· διὸ τὸ Ἡγεῖσθε καὶ τὸ Θαυμάζετε ἀνωτέρω, ὡς προστακτικὰ μᾶλλον ἐκληπτέα. 334. Ὥστ' ἀηδόνος στόμα] διαιρετέον, οἶμαι, τὸ ὥστ'

δ' ἐμὸν ὅμως τάφον βουλοίμην ἂν ἐπισημότατον εἶναι· ἡ γὰρ ἐκ τούτου χάρις ἀΐδιος· πρὸς δ' ἃ φῂς πάσχειν ἐκεῖνο λέγω· τί γὰρ δοκεῖ σοι; πόσοι εἰσὶν ἀνὰ πᾶσαν τὴν Ἑλλάδα γέροντές τε καὶ γρᾶες οὐδὲν ἧττόν σου δυστυχεῖς; πόσαι δὲ νύμφαι νυμφίων χῆραι, ὧν τὰ σώματα κατακαλύπτει τὸ τῆς Τροίας πεδίον, ὀλοφύρονται παρ' ἡμῖν; διὸ φέρε τὰ παρόντα γενναίως· ἡμεῖς δὲ, εἰ κακῶς ποιοῦμεν, τιμῶντες τὸν ἄριστον, μωρίαν ὀφλήσομεν· ὑμεῖς δὲ οἱ βάρβαροι οὔτε τοὺς φίλους τοῦτ' αὐτὸ φίλους ἡγεῖσθε, οὔτε τοὺς ἀγαθοὺς γενομένους ἀξίως τιμᾶτε· ἵν', ἡ μὲν Ἑλλὰς ἐκ τοιούτων ἐπιτηδευμάτων ἀεὶ εὐτυχῇ· ὑμεῖς δὲ ἀξίως τῶν ἑαυτῶν πράττητε βουλευμάτων.

**ΧΟ·** Αἲ, αἲ, ὡς δειλὸν ἀεὶ τὸ δοῦλόν ἐστιν· ὑποφέρει γὰρ καὶ τὰ μὴ προσήκοντα, τῇ βίᾳ νικώμενον.

**ΕΚ.** Ὦ θύγατερ, οἱ ἐμοὶ μὲν λόγοι μάτην ἐῤῥίφαται πρὸς τὸν αἰθέρα· σὺ δὲ, εἴτι ἐμοῦ μεῖζον δύναιο, ἄνυθ' ὅσον τάχος, παντοίους λόγους, ὡς ἀπὸ στόματος ἀηδόνος, προϊεμένη, μὴ στερηθῆναι τοῦ ζῆν· ἴθι, πρόσπεσον, γονάτων ἅπτου τοῦδε τοῦ Ὀδυσσέως, ἐκλιπαροῦσα, ὅπως εἰς οἶκτον αὐτὸν ὑπαγάγοις· δυνατὸν γάρ σοι τοῦτ' ἴσως ποιεῖν, εἴγε καὶ αὐτῷ ὑπάρχουσι παῖδες οἴκοι.

**ΠΟ.** Ὁρῶ σε, Ὀδυσσεῦ, κρύπτοντα τὴν χεῖρα ὑπὸ μάλης, καὶ τὸ πρόσωπον ἔμπαλιν στρέψαντα· θάῤῥει τούτου γ'

ἐν τῇ γραφῇ ὡδὶ, ὥς τ', ἵνα ᾖ, ὡς τὸ ἀηδόνος στόμα. 341. Γενειάδος] γένυς, μὲν ἡ σιαγών· γενειὰς δὲ, αἱ ἐν τῇ σιαγόνι τρίχες. ἔθος δὲ τοῖς Ἕλλησιν ἱκετεύουσί τινα, ἅπτεσθαι τοῦ γόνατος ἐκείνου, ἢ τῆς δεξιᾶς χειρὸς, ἢ τῆς γενειάδος· τοῦ μὲν, ὡς βαδίσαι πρός τινα· τῆς δὲ δεξιᾶς, ὡς ἐνεργῆσαι· τῆς δὲ

Θάρσει· πέφευγας τὸν ἐμὸν Ἱκέσιον Δία·
Ὡς ἔψομαίγε, τοῦ τ' ἀναγκαίου χάριν,
Θανεῖν τε χρῄζουσ'· εἰ δὲ μὴ βουλήσομαι,
Κακὴ φανοῦμαι καὶ φιλόψυχος γυνή.
Τί γάρ με δεῖ ζῆν, ᾗ πατὴρ μὲν ἦν ἄναξ
Φρυγῶν ἁπάντων· (τοῦτό μοι πρῶτον βίου·)
Ἔπειτ' ἐθρέφθην ἐλπίδων καλῶν ὕπο,
Βασιλεῦσι νύμφη, ζῆλον οὐ σμικρὸν γάμων
Ἔχουσ', ὅτου δῶμ' ἑστίαν τ' ἀφίξομαι·
Δέσποινα δ' ἡ δύστηνος Ἰδαίαισιν ἦν
Γυναιξὶ, παρθένοις ἀπόβλεπτος μέτα,
Ἴση θεοῖσι, πλὴν τὸ κατθανεῖν μόνον·
Νῦν δ' εἰμὶ δούλη· πρῶτα μένμε τοὔνομα
Θανεῖν ἐρᾷν τίθησιν, οὐκ εἰωθὸς ὄν·
Ἔπειτ' ἴσως ἂν δεσποτῶν ὠμῶν φρένας
Τύχοιμ' ἂν, ὅστις ἀργύρου μ' ὠνήσεται,
Τὴν Ἕκτορόςτε χ' ἀτέρων πολλῶν κάσιν,
Προσθεὶς δ' ἀνάγκην σιτοποιὸν ἐν δόμοις,
Σαίρειν τε δῶμα κερκίσιν τ' ἐφεστάναι,
Λυπρὰν ἄγουσαν ἡμέραν, μ' ἀναγκάσει·
Λέχη δὲ τἀμὰ δοῦλος ὠνητός ποθεν
Χρανεῖ, τυράννων πρόσθεν ἠξιωμένα.
Οὐ δῆτ'· ἀφίημ' ὀμμάτων ἐλεύθερον
Φέγγος τόδ', Ἅδῃ προστιθεῖσ' ἐμὸν δέμας.

---

γενειάδος, ὡς εἰπεῖν τι πρὸς βοήθειαν τοῦ δεομένου. 342. Τὸν ἱκέσιον Δία] τῶν ἐπωνυμιῶν τοῦ Διὸς ἱκετεύουσι μὲν, ἱκέσιος· συνοικοῦσι δὲ, ἐφέστιος· φίλοις δὲ, φίλιος· ξένοις δὲ, ξένιος· ἑταίροις δὲ, ἑταιρεῖος· ὁρκουμένοις δὲ, ὅρ-

ἕνεκα· οὐ γὰρ προσοίσω σοι ἱκεσίαν τινὰ πρὸς τὸν Δία· ἀλλ' ἑτοίμως γε πείσομαι, οἷς ἂν κελεύῃς, οὐ μᾶλλον τῆς παρούσης ἕνεκ' ἀνάγκης, ἢ καὶ θανεῖν αἱρουμένη· οὐδὲ γὰρ ἀξιῶ κακὴ φανῆναι καὶ φιλόψυχος γυνή· πρὸς τί γὰρ καὶ βουλοίμην ἂν ζῆν; πρῶτον μὲν γὰρ πατὴρ οὑμὸς βασιλεὺς ἦν τῶν Φρυγῶν· ἔπειθ' ὑπὸ τοιαύταις ἀνετράφην ἐλπίσιν, ὥστε ζῆλον πολὺν πολλοῖς τῶν βασιλέων πρὸς γάμον παρασχέσθαι, ὅτῳ πότ' αὐτῶν γένωμαι νύμφη· δέσποινά τε ἦν ἡ τάλαινα ἐν Τρῳάσι, καὶ περίβλεπτος ἐν παρθένοις, ἴσα, πλὴν τοῦ θνητὴν εἶναι, ταῖς Θεαῖς τιμωμένη· νῦν δ' εἰς δουλείαν δεινὴν τὰ πράγμαθ' ἡμῖν περιέστηκεν· ἀνθ' ὧν πρῶτον μὲν τοὔνομα τοῦτο, ἀσύνηθες ἔμοιγε ὄν, πείθει μ' αἱρεῖσθαι μᾶλλον ἀποθανεῖν· ἔπειτα δέδοικα, μήτις με τῶν ὠμοτέρων δεσποτῶν ὠνησάμενος, ἀναγκάσῃ τὴν Ἕκτορος καὶ τοσούτων ἄλλων ἀδελφὴν σιτοποιὸν γενέσθαι, καὶ τὰ δώματα σαίρειν, καὶ ταλασιουργεῖν, ἀνιαρὸν καὶ ἀβίωτον οὕτω βίον διαβιοῦσαν· ὃ δὲ ἀλγεινότατον, μήτις δοῦλός ποθεν ὠνητὸς τὴν ἐμὴν μιάνῃ κλίνην, τὴν πρῴην ἀξίαν τῶν βασιλέων οὖσαν. Ἐκ τούτων οὖν οὐκ ἂν ἑλοίμην ζῆν, ἑκοῦσα δὲ εἰς Ἅδου ἀπέρχομαι. Ἄγε με τοίνυν, ὦ Ὀδυσ-

---

κιος· ἀδελφοῖς δὲ, ὁμόγνιος. 350. Ἀφίξομαι] ἀνάγκη ἴσως τοῦ μέτρου· ἄλλως δ' ἄμεινον τὸ ὑποτακτικὸν; ἀφίκωμαι, κατὰ τὸ, σπουδὴ ἦν, ὅτῳ γένηται φίλος. 243. Τὸ κατθανεῖν] κατὰ τό· ὡς εἰ ἔλεγε, πλὴν ὅτι εἰμὶ θνητή. 359. Ἀνάγκην] ὃς ἀναγκάσει με ἀρτοποιόν γενέσθαι. 360. Ἐφεστάναι κερκίσι] ἐπιστάτην γενέσθαι τῶν ὑφαινομένων· κερκὶς γάρ τό, τε ὄργανον αὐτὸ, ᾧ πυκνοῦσι τὸ ὕφασμα, πιεζοῦντες, ὃ κτένιον καλεῖται ἐν τῇ συνηθείᾳ· ἢ ὁ ἄτρακτος αὐτὸς μᾶλλον, περὶ ὃν τὸ νῆμα· καὶ τὸ ὕφος αὐτὸ παρωνόμασται ἀπὸ τοῦ ὀργάνου· τινὲς δὲ

Ἄγ' οὖν μ' Ὀδυσσεῦ, καὶ διέργασαί μ'· ἄγων·
Οὔτ' ἐλπίδος γὰρ, οὔτε του δόξης ὁρῶ
Θάρσος παρ' ἡμῖν, ὥς ποτ' εὖ πρᾶξαί με χρή.
Μῆτερ, σὺ δ' ἡμῖν μηδὲν ἐμποδὼν γένῃ
Λέγουσα, μηδὲ δρῶσα· συμβούλου δέ μοι
Θανεῖν, πρὶν αἰσχρῶν μὴ κατ' ἀξίαν τυχεῖν·
Ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν,
Φέρει μὲν, ἀλγεῖ δ', αὐχέν' ἐντιθεὶς ζυγῷ·
Θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος,
Ἢ ζῶν· τὸ γὰρ ζῆν μὴ καλῶς μέγας πόνος·
ΧΟ. Δεινὸς χαρακτὴρ κἀπίσημος ἐν βροτοῖς
Ἐσθλῶν γενέσθαι, κἀπὶ μεῖζον ἔρχεται
Τῆς εὐγενείας ὄνομα τοῖσιν ἀξίοις·
ΕΚ. Καλῶς μὲν εἶπας, θύγατερ· ἀλλὰ τῷ καλῷ
Λύπη πρόσεστιν· εἰ δὲ δεῖ τῷ Πηλέως
Χάριν γενέσθαι παιδὶ, καὶ ψόγον φυγεῖν
Ὑμᾶς, Ὀδυσσεῦ, τήνδε μὲν μὴ κτείνετε,
Ἡμᾶς δ' ἄγοντες πρὸς πυρὰν Ἀχιλλέως,
Κεντεῖτε, μὴ φείδεσθ'· ἐγὼ 'τεκον Πάριν,
Ὃς παῖδα Θέτιδος ὤλεσεν, τόξοις βαλών·
ΟΔ. Οὐ σ', ὦ γεραιὰ, κατθανεῖν Ἀχιλλέως
Φάντασμ' Ἀχαιοὺς, ἀλλὰ τήνδ', ᾐτήσατο.
ΕΚ Ὑμεῖς δέ μ' ἀλλὰ θυγατρὶ συμφονεύσατε,
Καὶ δὶς τόσον πῶμ' αἵματος γενήσεται
Γαίᾳ νεκρῷ τε τῷ τάδ' ἐξαιτουμένῳ.

---

κερκίδα βούλονται εἶναι τὴν κοινῶς νῦν λεγομένην σαΐταν. 368. Οὔτε του δό-

τεῦ· καὶ προαγαγών με, ἔνθα παρ' ὑμῖν προσδιώρισται τοῦτο, σφάξον· οὐ γὰρ συνορῶ παρ' ὑμῖν ἐλπίδα τοῦ εὖ πράξειν· σὺ δ', ὦ μῆτερ, μὴ κώλυε, μὴ σύγε, μήτε δρῶσα μηδὲν, μήτε λέγουσα· συμβούλου δέ μοι μᾶλλον ἀποθανεῖν, πρὶν ἄν μοι αἰσχρόν τι γένηται παθεῖν παρ' ἀξίαν· ὃς γὰρ κακῶν οὐ πεπείραται, χαλεπῶς οἴσει, ζυγῷ ὑποθεὶς τὸν αὐχένα· διὸ καὶ ἀποθανὼν μᾶλλον, ἢ ζῶν εὐτυχέστερος· τὸ γὰρ παρ' ἀξίαν τι πάσχειν τοῖς γε φρονοῦσιν ἀνύποιστον γίνεται.

ΧΟ. Τὸ ἐξ εὐγενῶν γενέσθαι ἐκ λόγων ἀνθρώποις χαρακτηρίζεται μάλιστα· τὸ γὰρ τῆς εὐγενείας καλὸν, ἐν καλοῖς κἀγαθοῖς γεγεννημένον, ἐπὶ μεγάλην προάγεται εὔκλειαν·

ΕΚ. Γενναῖα μὲν ταῦτ', ὦ θύγατερ, ἀλλ' ἐν τούτοις πλείω πρόσεστι λύπη· Εἰ οὖν ἀνάγκη τοσαύτη παρ' ἡμῖν, ὦ Ὀδυσσεῦ, τιμῆσαι οὕτω τὸν Ἀχιλλέως τάφον, ἐάσαντες τήνδε, ἐμὲ ἀποκτείνατε, καὶ ἀγαγόντες ἐπὶ τὴν πυρὰν, κεντεῖτε, μὴ φείδεσθε· ἐγὼ γὰρ ἔτεκον Πάριν, ὃς ἀπέκτεινεν Ἀχιλλέα.

ΟΔ. Οὐ δῆτα· οὐ γάρ σε, ἀλλὰ τήνδε τὸ τοῦ Ἀχιλλέως φάντασμα ᾐτήσατο.

ΕΚ· Οὐκοῦν συμφονεύσατε κἀμὲ, καὶ δὶς τοσοῦτον ἔςαι πῶμα τῷ τοῦτο παρ' ὑμῶν ἀπαιτήσαντι ἐξ Ἅδου.

---

ξης] οὔτε δόξης τινὸς, γνώμης, ὑπολήψεως· ὅ ἐςιν, οὐ δοκῶ μοι θαῤῥήσειν, ὥς' εὖ πρᾶξαί τι παρ' ὑμῶν· τὸ δὲ, παρ' ἡμῖν, ἄμεινον δοκεῖ μοι γράφειν, παρ' ὑμῖν. 376. Δεινὸς χαρακτὴρ] τὸ ἀπὸ ἀξίων καὶ εὐγενῶν γενέσθαι τινὰ, φησὶ, καὶ ἀξίως τῆς γεννήσεως ἀνατρέφεσθαι ἐν ἐλευθερίᾳ, μέγαν τοῖς ἀνθρώποις γεννᾷ χαρακτῆρα, καὶ σταθερότητα πρὸς ἀρετὴν καὶ ἀνδρίαν· ἰδὼν γὰρ ὁ Χορὸς τὸ σταθερὸν τῆς παρθένου, αἱρουμένης μᾶλλον ἀποθανεῖν, ἢ ζῆν ἐν αἰχμαλωσίᾳ, προήνεγκε τὸν ἔπαινον τοῦτον τῆς εὐγενείας· παράβαλε δὲ ταῦτα πρὸς τὰ ἐν Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι στίχ, 1370 καὶ ἑξῆς. 378. Ὄνομα] οὕτω καλῶς ἐν τῷ μέτρῳ· ἐν ἄλλοις δὲ κεῖται τοὔνομα· καθ' ὃ ὁ τέταρτος ποῦς γί-

ΟΔ. Ἅλις κόρης σῆς θάνατος· οὐ προσοιστέος
Ἄλλος πρὸς ἄλλῳ· μηδὲ τόνδ' ὠφείλομεν·
ΕΚ· Πολλή γ' ἀνάγκη θυγατρὶ συνθανεῖν ἐμέ.
ΟΔ· Πῶς; οὐ γὰρ οἶδα, δεσπότας κεκτημένος.
ΕΚ. Ὁποῖα κισσὸς δρυὸς, ὅπως τῆσδ' ἕξομαι·
ΟΔ. Οὔκ· ἤν γε πείθῃ τοῖσι σοῦ σοφωτέροις.
ΕΚ. Ὡς τῆσδ' ἑκοῦσα παιδὸς οὐ μεθήσομαι.
ΟΔ. Ἀλλ' οὐδ' ἐγὼ μὴν τὴνδ' ἄπειμ' αὐτοῦ λιπών.
ΠΟ. Μῆτερ, πιθοῦ μοι· καὶ σὺ, παῖ Λαερτίου,
Χάλα τοκεῦσιν εἰκότως θυμουμένοις,
Σύ τ', ὦ τάλαινα, τοῖς κρατοῦσι μὴ μάχου.
Βούλει πεσεῖν πρὸς οὖδας, ἑλκῶσαί τε σὸν
Γέροντα χρῶτα πρὸς βίαν ὠθουμένη,
Ἀσχημονῆσαι τ', ἐκ νέου βραχίονος
Σπασθεῖσ'; ἃ πείσῃ μὴ σύ γ'· οὐ γὰρ ἄξιον·
Ἀλλ', ὦ φίλη μοι μῆτερ, ἡδίστην χέρα
Δὸς καὶ παρειὰν προσβαλεῖν παρηΐδι·
Ὡς οὔ ποτ' αὖθις, ἀλλὰ νῦν πανύστατον
Ἀκτῖνα, κύκλον θ' ἡλίου προσόψομαι·
Τέλος δέχου δὴ τῶν ἐμῶν προσφθεγμάτων.
Ὦ μῆτερ, ὦ τεκοῦσ', ἄπειμι δὴ κάτω.
ΕΚ· Ὦ θύγατερ, ἡμεῖς δ' ἐν φάει δουλεύσομεν;
ΠΟ· Ἄνυμφος, ἀνυμέναιος, ὧν μ' ἐχρῆν τυχεῖν·
ΕΚ· Οἰκτρὰ σὺ, τέκνον, ἀθλία δ' ἐγὼ γυνή.
ΠΟ. Ἐκεῖ δ' ἐν ᾅδου κείσομαι χωρὶς σέθεν.
ΕΚ. Οἴ μοι τί δράσω; ποῖ τελευτήσω βίον;

---

νεται τετράχρονος· ὅπερ οὐ συγχωρεῖται. 394. Πῶς] Ὁρμησαμένης τῆς Ἑκάβης ἀν

ΟΔ. Ἅλις τῆσδε, μηδ' ὠφείλομεν πλέον.

ΕΚ. Ἀλλ' ἀνάγκη κἀμὲ συναποθανεῖν.

ΟΔ. Πῶς; οὐ γὰρ οἶδα δεσπότας κεκτημένος.

ΕΚ. Ἀλλ' ὡς κισσὸς δρυὸς, οὕτω κἀγὼ ἀνθέξομαι τῆσδε.

ΟΔ. Τί δρᾷς αὐτή; οὐχ ὑπείκεις τοῖς σοῦ σοφωτέροις;

ΕΚ. Οὐ δῆτα· οὐ γὰρ ἑκοῦσα ἀποστήσομαι ταύτης.

ΟΔ. Ἀλλ' οὐδ' αὐτὸς ἄπρακτος ἄπειμι ἐντεῦθεν.

ΠΟ. Μῆτερ φίλη, πείθου ἀναγκαίως· καὶ σὺ, ὦ παῖ Λαερτίου, χάλα τῷ πάθει τῶν τεκόντων· σὺ δ', ὦ δύστηνε, μὴ ἀντέτεινε τοῖς κρατοῦσιν· οὐ γὰρ εὐπρεπές σοι, καὶ ταῦτα οὔσῃ γεραιᾷ, ἐκ βραχίονος ἰσχυροῦ κατὰ γῆς παρασύρεσθαι ἐν ἀσχημοσύνῃ, οὐδ' ἄξιον διελκῶσαι τὸ σῶμα πρὸς βίαν ὠθουμένην· μὴ πάθῃς σύγε ταῦτα· ἀλλ' ἤδη δός μοι, ὦ μῆτερ, ἡδίστην χεῖρα, καὶ παρειὰν παρειᾷ παραβαλεῖν· νῦν γὰρ ὕστατον τὴν ἀκτῖνα ὄψομαι τοῦ ἡλίου· δέχου ταῦτ', ὦ μῆτερ, τελευταῖα προσφθέγματα τῆς σῆς θυγατρός· ἄπειμι, ὦ μῆτερ, ἄπειμι εἰς τοὺς κάτω.

ΕΚ. Ἀλλ' ἡμεῖς οἱ λειπόμενοι, ὦ τέκνον, πῶς ἂν ζήσαιμεν ἐν τοιαύτῃ δουλείᾳ;

ΠΟ. Ἄνυμφος, ἀνυμέναιος, ὧν ἔδει με τυχεῖν.

ΕΚ. Οἰκτρὰ σὺ, τέκνον, ἀθλία κἀγὼ γυνή.

ΠΟ. Ἐκεῖ, ἐκεῖ ἄνευ σου κείσομαι ἐν Ἅδου.

ΕΚ. Οἴμοι τί δράσω; πῇ δὴ ἀποθανοῦμαι;

---

τιλαβέσθαι τῆς Πολυξένης, ἀγριωθεὶς πρὸς τοῦτ' Ὀδυσσεὺς, οὐκ οἶδα, φασὶ, κυρίους ἔχων· ἀλλὰ δούλους, ὥσθ' ὑπακούειν τοῖς παρ' ἐμοῦ κελευομένοις·
418. Πεντήκοντα τέκνων ἄμμοροι] οὐκ ἔστι τοῦτο· εἰ μὴ ὑπερβολὴ, ὑπὸ τοῦ πάθους εἰς τοῦτο ἐξαχθείσης τῆς Ἑκάβης· οὐδὲ γὰρ ἀνὰ δύο δοῖμεν αὐτῇ τίκτειν, δυνατόν· εἰ μή τις εἴποι, ὅτι πρὸς τοῖς δεκαεννέα, ἅ φασιν αὐτὴν τεκεῖν,

ΠΟ. Δούλη θανοῦμαι, πατρὸς οὖσ' ἐλευθέρου.
ΕΚ. Ἡμεῖς δὲ πεντήκοντά γ' ἄμμοροι τέκνων·
ΠΟ. Τί σοι πρὸς Ἕκτορ', ἢ γέροντ' εἴπω πόσιν;
ΕΚ. Ἄγγελλε πασῶν ἀθλιωτάτην ἐμέ.
ΠΟ. Ὦ στέρνα, μαστοί θ', οἵ μ' ἐθρέψαθ' ἡδέως.
ΕΚ. Ὦ τῆς ἀώρου, θύγατερ, ἀθλίας τύχης.
ΠΟ. Χαῖρ', ὦ τεκοῦσα, χαῖρε Κασάνδρα τέ μοι.
ΕΚ. Χαίρουσιν ἄλλοι, μητρὶ δ' οὐκ ἔστιν τόδε.
ΠΟ. Ὅ, τ' ἐν φιλίπποις Θρῃξὶ Πολύδωρος κάσις.
ΕΚ. Εἰ ζῇ γ'· ἀπιστῶ δ'· ὧδε πάντα δυστυχῶ.
ΠΟ. Ζῇ, καὶ θανούσης ὄμμα συγκλείσει τὸ σόν.
ΕΚ. Τέθνηκ' ἔγωγε, πρὶν θανεῖν, κακῶν ὕπο.
ΠΟ. Κόμιζ', Ὀδυσσεῦ, μ' ἀμφιθεὶς κάρα πέπλοις·
Ὡς, πρὶν σφαγῆναί γ', ἐκτέτηκα καρδίαν
Θρήνοισι μητρὸς, τήνδε τ' ἐκτήκω γόοις.
Ὦ φῶς· προσειπεῖν γάρ σου ὄνομ' ἔξεστί μοι,
Μέτεστι δ' οὐδὲν, πλὴν ὅσον χρόνον ξίφους
Βαίνω μεταξὺ, καὶ πυρᾶς Ἀχιλλέως.
ΕΚ. Οἳ 'γώ· προλείπω· λύεται δέ μου μέλη.
Ὦ θύγατερ, ἅψαι μητρὸς, ἔκτεινον χέρα,
Δός· μὴ λίπῃς μ' ἄπαιδ'· ἀπωλόμην, φίλαι.
Ὡς τὴν Λάκαιναν ξύγγονον Διοσκόροιν
Ἑλένην ἴδοιμι· διὰ καλῶν γὰρ ὀμμάτων
Αἴσχιστα Τροίαν εἷλε τὴν εὐδαίμονα.
ΧΟ. Αὖρα, ποντιὰς αὖρα, (Στρ. ά)
Ἅτις ποντοπόρους κομίζεις
Θοὰς ἀκάτους ἐπ' οἶδμα λίμνας,
Ποῖ με τὰν μελέαν πορεύσεις;

ΠΟ. Δούλη τελευτήσω, πατρὸς ἐλευθέρου γεγονυῖα.

ΕΚ. Ἐγὼ δὲ πεντήκοντα τέκνων στερουμένη.

ΠΟ. Τί σοι πρὸς Ἕκτορα καὶ Πρίαμον εἴπω;

ΕΚ. Λέγε πασῶν ἐμὲ ἀθλιωτάτην εἶναι.

ΠΟ. Ὦ στέρνα, ὦ μαστοὶ, οἱ ἡδέως θρέψαντές με.

ΕΚ. Ὦ τῆς ἀώρου σοι, ὦ παῖ, ἀθλίας τύχης.

ΠΟ. Χαῖρε, ὦ μῆτερ, χαιρέτω δέ μοι καὶ Κασάνδρα.

ΕΚ. Ἄλλοις τοῦτο, μητρὶ δ' οὐκ ἔστι χαίρειν.

ΠΟ. Καὶ ὁ ἐν Θρᾳξὶ διατρίβων Πολύδωρος.

ΕΚ. Εἰ ζῇ γ' ἐκεῖνος· ἀθρόα γὰρ ἐπέπεσεν ἡ τύχη.

ΠΟ. Ζῇ, καί σοι τὸ ὄμμα συγκλείσει ἀποθανούσῃ.

ΕΚ. Τέθνηκ' ἔγωγε καὶ πρὶν θανεῖν τῷ πάθει.

ΠΟ. Ἄγε με, ὦ Ὀδυσσεῦ, καλύψας μου τὴν κεφαλὴν τῷ ἱματίῳ· ὑπὸ γὰρ τῶν θρήνων τῆς μητρὸς ἐκτέτηκα τὴν καρδίαν, καὶ πρίν με σφαγῆναι· συντήκω δὲ κἀγὼ αὐτὴν τοῖς γόοις· ὦ φῶς! ἔξεστι γὰρ ἔτι μοι προσειπεῖν σε πρὸς ὀλίγον, ὅσον μοι τοὐν μέσῳ ξίφους ἐστὶ καὶ πυρᾶς τῆς Ἀχιλλέως.

ΕΚ. Οἴμοι, ἐκλείπω, λύεταί μου τὰ μέλη· ὦ θύγατερ, ἅψαι μητρὸς, ἔκτεινον χεῖρα, δὸς, μὴ λίπῃς με ἄτεκνον· ἀπολόμην φίλαι, εἴθε ἴδοιμι τὴν Λάκαιναν Ἑλένην τὴν ἀδελφὴν τῶν Διοσκούρων οὕτως ἑλκομένην· αὕτη γὰρ διὰ κάλλος ὀμμάτων καθεῖλε τὴν εὐδαίμονα Τροίαν.

ΣΟ. Αὖρα θαλασσία αὖρα, ἡ τὰς ποντοπόρους ναῦς κινοῦσα ἐπὶ τῶν κυμάτων, ποῖ με τὴν δύστηνόν ποτ' ἄξεις, τίσι

---

παραλαμβάνει καὶ τὰ νόθα τέκνα τοῦ Πριάμου· 429. Κάρα] τὸ Κάρα οὐδετέρως παρὰ τοῖς ἀρχαίοις· παρὰ δὲ νεωτέροις, ἡ κάρα θηλυκῶς· 439. Ὡς ἴδοιμι] εἴθε ἴδοιμι Ἑλένην οὕτως ἀπαγομένην τὴν ἐπὶ θάνατον. 442. Ἅτις] εἰς τοῦτο μετάβαλον τὸ, Ἅτε ἀντὶ τοῦ, Ἥτις· οὕτω γὰρ συνᾴδει καὶ τὸ μέτρον· ἀπαντᾷ γὰρ ὡς σπονδεῖος πρὸς τὸ, Κώπᾳ τὸ ἐν τῇ ἀντιστροφῇ. 444. Πορεύσεις] σύνηθες τοῖς ποιηταῖς ὡς μεταβατικῷ τῷ ῥήματι τούτῳ χρῆσθαι· οἷον, ποῦ ἄξεις με

Τῷ δουλόσυνος πρὸς οἶκον,
Κτηθεῖσ' ἀφίξομαι;
Ἢ Δωρίδος ὅρμον αἴας,
Ἢ Φθιάδος, ἔνθα τὸν καλλί-
Στων ὑδάτων πατέρα
Φασὶν Ἀπιδανὸν γύας λιπαίνειν;
Ἢ νάσων, ἁλιήρει (Ἀντ. ά.)
Κώπᾳ πεμπομέναν τάλαιναν,
Οἰκτρὰν βιοτὰν ἔχουσαν οἴκοις,
Ἔνθα πρωτόγονός τε Φοίνιξ,
Δάφνα θ' ἱεροὺς ἀνέσχε
Πτόρθους Λατοῖ φίλᾳ
Ὠδῖνος ἄγαλμα δίας;
Σὺν Δηλιάσιν τε κούραισιν,
Ἀρτέμιδός τε θεᾶς
Χρυσέαν ἄμπυκα τόξα τ' εὐλογήσω;
Ἢ Παλλάδος ἐν πόλει (Στρ. β΄.)
Τᾶς καλλιδίφρου Ἀθα-
Ναίας ἐν κροκέῳ πέπλῳ
Ζεύξομαι ἅρματι πώλους,
Ἐν Δαιδαλέαισι ποι-
Κίλλουσ' ἀνθοκρόκοισι πήναις,
Ἢ Τιτάνων γενεὰν,
Τὰν Ζεὺς ἀμφιπύρῳ
Κοιμίζοι φλογμῷ Κρονίδας;
Ὤμοι τεκέων ἐμῶν, (Ἀντ. β΄.)
Ὤμοι πατέρων, χθονός θ'
Ἃ καπνῷ κατερείπεται
Τυφομένα, δορίληπτος
Ὑπ' Ἀργείων· ἐγὼ δ'

ποτὲ δουλεύσουσαν δεσπόταις; μῶν εἰς ὅρμον τῆς Δωρίδος, ἢ τῆς Φθίας, ἔνθα ὁ Ἀπιδανὸς, φασὶν, ὁ τῶν καλλίστων ὑδάτων πατὴρ ἀρδεύει τὰ παιδία;

Ἢ εἰς νῆσόν τινα κινήσεις με τῇ εἰρεσίᾳ, οἰκτρὸν διαβιωσομένην ἐκεῖσε βίον, ὅπου ὁ πρωτόγονος φοίνιξ, καὶ ἡ ἱερὰ δάφνη Λητοῖ πρὸς τιμὴν τῶν γεννηθέντων ἱερὰ ἀνέσχον βλαστήματα· ἔνθα δεῖ με μετὰ τῶν Δηλίων παρθένων ὑμνεῖν τὸν χρυσοῦν τῆς Ἀρτέμιδος στέφανον καὶ τὰ τόξα.

Ἢ διακομίσεις με τελευταῖον ἐς Ἀθήνας, ἔνθα συνεξυφανῶ ἵππους ἐζευγμένους τῷ ἅρματι ἐπὶ τοῦ πέπλου τῆς καλλιδίφρου Παλλάδος, πολυτέχνοις ἀνθοκρόκοις αὐτὸν διαποικίλλουσα πήναις; ἢ Τιτάνων γενεὰν ἱστουργήσω, οὓς Ζεὺς διαπύρῳ ἐταπείνωσε κεραυνῷ.

Οἴμοι τῶν ἐμῶν τέκνων· οἴμοι πατέρων, τῆς τε πατρίδος ἡ ἁλοῦσα, κατερήρειπται ὅλως, καπνῷ πανταχό-

---

ἢ πρὸς λιμένα που τῶν Δωριέων; 451. Ἢ νᾶσον] ἢ πορεύσεις με εἰς νῆ-
σον τινά; 459. Φοίνιξ] ἐξ ὁμιλίας τοῦ Διὸς ἐγκυμονοῦσαν τὴν Λητῶ, ἐμίσει ἡ Ἥρα·
διὸ ἐκέλευσε τὴν γῆν μὴ δέξασθαι αὐτὴν τεκεῖν ἐφ' ἑαυτῆς οὐδαμοῦ· τοῦτο
δ' ὁρῶν ὁ Ζεὺς κελεύει τὴν Δῆλον νῆσον, ἄδηλον τότε οὖσαν, φανερὰν ἐπὶ
τῶν ὑδάτων καὶ ἀκίνητον γενέσθαι, ἐν ᾗ τεκούσης οὕτω τῆς Λητοῦς Ἀπόλλω-
να καὶ Ἄρτεμιν, ἀνεβλάστησαν εἰς τιμὴν αὐτῶν φυτὰ δύο, ὁ φοίνιξ, καὶ ἡ
δάφνη· πρῶτος δὲ ὁ φοίνιξ. 460. Ἄμπυκα] κόσμος ἐστὶν ἡ ἄμπυξ χρυσοῦς τε
καὶ λιθοκόλλητος, ὃν τὰ γύναια φέρουσιν ἐπὶ τῆς κεφαλῆς, ἀναδούμενα τὰς
τρίχας. 463. Ἐν κροκέῳ πέπλῳ] βεβαμμένῳ ἐν κρόκῳ, κροκοειδεῖ· ἔθος δ' ἦν
Ἀθηναίοις πέπλον πολυτελῆ προσφέρειν τῇ Ἀθηνᾷ ἐν τῇ τῶν Παναθηναίων ἑορ-
τῇ πεποικιλμένον ταῖς τῆς θεοῦ ἀριστείαις· ὕφαινον δὲ, καὶ ἐποίκιλλον αὐτὸν
παρθένοι, τήν τε ἅμαξαν τῆς θεοῦ, καὶ τὴν Γιγαντομαχίαν, καὶ ἄλλας ἀρι-

Ἐν ξείνᾳ χθονὶ δὴ κέκλημαι
Δούλα, λιποῦσ' Ἀσίαν
Εὐρώπας θεράπναν,
Ἀλλάξασ' ᾅδα θαλάμους.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

## ΤΑΛΘΥΒΙΟΣ, ΧΟΡΟΣ, ΕΚΑΒΗ.

ΤΑ. Ποῦ τὴν ἄνασσαν δή ποτ' οὖσαν Ἰλίου
Ἑκάβην ἂν ἐξεύροιμι, Τρῳάδες κόραι;
ΧΟ. Αὕτη πέλας σου, νῶτ' ἔχουσ' ἐπὶ χθονὶ,
Ταλθύβιε, κεῖται, ξυγκεκλεισμένη πέπλοις.
ΤΑ. Ὦ Ζεῦ, τί λέξω; πότερά σ' ἀνθρώπους ὁρᾷν;
Ἢ δόξαν ἄλλως τήνδε κεκτῆσθαι μάτην
Ψευδῆ, δοκοῦντας δαιμόνων εἶναι γένος,
Τύχην δὲ πάντα τἀν βροτοῖς ἐπισκοπεῖν;
Οὐχ ἥδ' ἄνασσα τῶν πολυχρύσων Φρυγῶν;
Οὐχ ἥδε Πριάμου τοῦ μέγ' ὀλβίου δάμαρ;
Καὶ νῦν πόλις μὲν πᾶσ' ἀνέστηκεν δορὶ,
Αὐτὴ δὲ δούλη, γραῦς, ἄπαις, ἐπὶ χθονὶ
Κεῖται, κόνει φύρουσα δύστηνον κάρα.
Φεῦ, φεῦ· γέρων μέν εἰμ'· ὅμως δέ μοι θανεῖν
Εἴη, πρὶν αἰσχρᾷ περιπεσεῖν τύχῃ τινί.

---

στείας αὐτῆς πρὸς τὰς Ἀμαζόνας εἰσάγουσαι εἰς ἐκεῖνον. 478. Ἀλλάξασα ἀΐδα θαλάμους] τὸ δὲ συνηθέστερον, Ἀνταλλαξαμένη τὸν ᾅδην τῶν θαλάμων. 483.

θεν τυφομένη· ἐγὼ δὲ ξένη ἐν ξένοις δούλη, λιποῦσα τὴν Ἀσίαν τὴν νῦν τῆς Εὐρώπης θεράπαιναν, θαλάμων τε τὸν Ἅδην ἀνταλλαξαμένη.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

## ΤΑΛΘΥΒΙΟΣ, ΧΟΡΟΣ, ΕΚΑΒΗ

ΤΑ. Τρωάδες κόραι, ποῦ ποτὲ ἔστιν Ἑκάβη, ἡ ποτὲ βασίλισσα τῆς Τροίας;

ΧΟ. Καὶ μὴν πάρεστιν αὕτη, Ταλθύβιε· ἢ οὐχ ὁρᾷς αὐτὴν ὑπὸ τοῖς πέπλοις ᾧδὶ κατακειμένην;

ΤΑ. Ὦ Ζεῦ! πότερον εἴπω; ὑπάρχει παρ' ὑμῖν πρόνοιά τις τῶν ἐπὶ γῆς, ἢ ἄλλως ψευδῆ δόξαν ταύτην περὶ τῶν Θεῶν οἱ ἄνθρωποι ἔχουσι, τῆς τύχης ἄλλως διακυβερνώσης, ὡς ἔτυχε, τὰ ἐνθάδε; οὐχ ἥδε ἐστὶν ἡ τῶν εὐδαιμονεστάτων Φρυγῶν βασίλισσα; οὐχ ἡ τοῦ ὀλβιωτάτου Πριάμου γυνή; καὶ νῦν ἡ μὲν πόλις αὐτῆς καθῃρέθη πολέμῳ· αὐτὴ δὲ δούλη, γραῦς, ἄπαις κεῖται κατὰ γῆς, κόνει πανταχόθεν τὴν κεφαλὴν πεφυρμένη· φεῦ, φεῦ! γέρων μέν εἰμι, καὶ ἴσως οὐκέτι μοι φόβος, μὴ κακῶς οὕτω πράξω· ἀλλ' ὅμως θανεῖν μοι εἴη, πρὶν ἄν μοι συμβῇ τοιαύτη

Ὦ Ζεῦ, τί λέξω] Ταλθύβιος (ἦν δ' οὗτος κήρυξ τῶν Ἑλλήνων ἐν Τροίᾳ) ἰδὼν Ἑκάβην εἰς τοῦτο δυςτυχίας ἥκουσαν, ὥστε καλυψαμένην, κεῖσθαι κατὰ γῆς, ἦλθεν εἰς ἔννοιαν ἐκείνην, μήπως θεοὶ μὲν οὐκ εἰσί, τύχην δὲ τὰ ἀνθρώπινα διοικεῖν, οὕτως ὡς ἔτυχε. διὸ ἐκπεπληγμένως λέγει ταῦτα· ἔχει δὲ ὁ λόγος ὑ-

Ἀνίστασ', ὦ δύστηνε, καὶ μετάρσιον
Πλευρὰν ἔπαιρε καὶ τὸ πάλλευκον κάρα.
ΕΚ. Ἔα· τίς οὗτος σῶμα τοὐμὸν οὐκ ἐᾷς
Κεῖσθαι; τί κινεῖς μ', ὅστις εἶ, λυπουμένην;
ΤΑ. Ταλθύβιος ἥκω, Δαναϊδῶν ὑπηρέτης,
Ἀγαμέμνονος πέμψαντος, ὦ γύναι, μέτα.
ΕΚ. Ὦ φίλτατ', ἆρα κἄμ' ἐπισφάξαι τάφῳ
Δοκοῦν Ἀχαιοῖς ἦλθες; ὡς φίλ' ἂν λέγοις·
Σπεύδωμεν, ἐγκονῶμεν, ἡγοῦ μοι, γέρον.
ΤΑ. Σὴν παῖδα κατθανοῦσαν ὡς θάψῃς, γύναι,
Ἥκω μεταστείχων σε· πέμπουσιν δέ με
Δισσοί τ' Ἀτρεῖδαι καὶ λεὼς Ἀχαϊκός.
ΕΚ. Οἴμοι, τί λέξεις; οὐκ ἄρ' ὡς θανουμένους
Μετῆλθες ἡμᾶς, ἀλλὰ σημανῶν κακά;
Ὄλωλας, ὦ παῖ, μητρὸς ἁρπασθεῖσ' ἄπο·
Ἡμεῖς δ' ἄτεκνοι τοὐπί σ'· ὦ τάλαιν' ἐγώ.
Πῶς καί νιν ἐξεπράξατ'; ἆρ' αἰδούμενοι;
Ἢ πρὸς τὸ δεινὸν ἤλθεθ', ὡς ἐχθρὰν, γέρον,
Κτείνοντες; εἰπὲ, καίπερ οὐ λέξων φίλα.
ΤΑ. Διπλᾶ με χρῄζεις δάκρυα κερδάναι, γύναι,
Σῆς παιδὸς οἴκτῳ· νῦν τε γὰρ λέγων κακὰ,
Τέγξω τόδ' ὄμμα, πρὸς τάφῳ θ', ὅτ' ὤλλυτο.
Παρῆν μὲν ὄχλος Ἀχαϊκοῦ στρατοῦ
Πλήρης πρὸ τύμβου σῆς κόρης ἐπὶ σφαγάς·

---

ψος ἐκ τοῦ θαυμαστοῦ. 498. Πέμψαντος. . . μέτα] μεταπέμψαντος, ἴδε καὶ Ἄλκ. στίχ. 66. 501. Δοκοῦν] κατὰ τὸ δοκοῦν τοῖς Ἕλλησιν, ἢ μᾶλλον ἀντὶ τοῦ, δόξαν εἰς εὐθεῖαν ἀπόλυτον λόγῳ τῶν ἀπροσώπων. 507. Μετῆλθες] καλεῖς ἡμᾶς, ἢ ἦλθες ληψόμενος ἡμᾶς. 510. Πῶς ἐξεπράξατέ νιν;] ἐρωτᾷ τὸν τρόπον

περιπεσεῖν δυςυχίᾳ. Ἀνίστασο, ὦ δύστηνε σύγε, ἀνακουφίσασα σεαυτὴν πρὸς ὀλίγον.

ΕΚ. Ἔα· τίς κινῶν οὕτως, οὐκ ἐᾷ με κεῖσθαι; τί ἐνοχλεῖς με, ὅςτις ἂν ἦς, τὴν ἐς τοὔσχατον λυπουμένην;

ΤΑ. Ταλθύβιος, ὦ γύναι, ἥκω σοι, ὁ ὑπηρέτης τῶν Ἑλλήνων, Ἀγαμέμνονος πέμψαντος.

ΕΚ. Ὦ φίλατ', ὡς εὖ παρέστης· ἥκεις γὰρ, οἶμαι, μετελευσόμενος κἀμὲ πρὸς τὴν σφαγὴν, δόξαν τοῦτο τοῖς Ἕλλησιν· ἦ γάρ; ὡς φίλα λέγεις· σπεύσωμεν, ἀνύττωμεν, ἡγοῦ μοι γέρον·

ΤΑ. Ἥκω σοι, ὦ δύστηνε, κελεύσων ἐλθεῖν ἐκεῖσε, ὅπως θάψῃς τὴν σαυτοῦ θυγατέρα, τῶν τ' Ἀτρειδῶν, καὶ παντὸς τοῦ στρατοῦ πέμψαντός με.

ΕΚ. Οἴμοι! τί φής; οὐκ ἦλθες ἀπάξων μᾶλλόν τὴν ἐπὶ θάνατον; ἀλλὰ κακῶν αὖθις ἡμῖν γενησόμενος ἄγγελος; οἴμοι, τέκνον, ἀπόλωλας ἀπὸ τῶν τῆς μητρὸς χειρῶν ἁρπασθεῖσα· ἡμεῖς δ' ὑπολειπόμεθα ἄπαιδες τόγε σὸν μέρος· ὦ δύστηνος ἐγώ· πῶς ἐσφάζετε αὐτήν; ἆρά γε μὲν αἰδούμενοι; ἢ πρὸς τὸ ἄτοπον ἐλθόντες, ὡς ἐχθρὰν ἀνελόντες; λέγε μοι, γέρον, καίπερ οὐκ ἐρεῖς φίλα.

ΤΑ. Ἀνάγκην αὖθις, ὦ γύναι, δοκεῖς μοι προσάγειν δευτέρων δακρύων, ἐξ ὧν αἰτεῖς παρ' ἐμοῦ ἀκοῦσαι περὶ τῆς σῆς θυγατρός· πρὸς γὰρ τῷ δακρῦσαι ἐπ' αὐτῇ παρὰ τῷ τάφῳ, ταὐτὸ ποιεῖν καὶ νῦν ἀναγκάζεις με αὖθις. Συλ-

τῆς σφαγῆς, μήτι ἐξύβρισαν εἰς αὐτὴν, ὡς παρθένον, ἢ ἀπανθρώπως καὶ σκληρῶς ἔπραξε τοῦτο. 513. Χρῄζεις] ζητεῖς διπλᾶ μοι δάκρυα· ὅ ἐστι πρὸς οἷς ἐκεῖ ἐδάκρυσα, ἀναγκάζεις με καὶ ἄλλα ἐνταῦθα χέαι. 515. Πρὸς τῷ τάφῳ] κενοτάφιον δοκεῖ εἶναι Ἀχιλλέως ἐν Χερσονήσῳ, ὡς ἐν Τροίᾳ αὐτοῦ ἀποθανόντος

Λαβὼν δ' Ἀχιλλέως παῖς Πολυξένην χερὸς,
Ἔστησ' ἐπ' ἄκρου χώματος, πέλας δ' ἐγώ·
Λεκτοί τ' Ἀχαιῶν ἔκκριτοι νεανίαι,
Σκίρτημα μόσχου σῆς καθέξοντες χεροῖν,
Ἕσποντο· πλῆρες δ' ἐν χεροῖν λαβὼν δέπας
Πάγχρυσον, ἔῤῥει χειρὶ παῖς Ἀχιλλέως
Χοὰς θανόντι πατρί· σημαίνει δέ μοι
Σιγὴν Ἀχαιῶν παντὶ κηρύξαι στρατῷ.
Κἀγὼ παραστὰς εἶπον ἐν μέσοις τάδε·
Σιγᾶτ', Ἀχαιοὶ, σῖγα πᾶς ἔστω λεώς·
Σῖγα, σιώπα· νήνεμον δ' ἔστησ' ὄχλον.
Ὁ δ' εἶπεν· ὦ παῖ Πηλέως, πατὴρ δ' ἐμὸς,
Δέξαι χοάς μοι τάσδε κηλητηρίους,
Νεκρῶν ἀγωγούς· ἐλθὲ δ', ὡς πίῃς μέλαν
Κόρης ἀκραιφνὲς αἷμ', ὅσοι δωρούμεθα
Στρατός τε κἀγώ· πρευμενὴς δ' ἡμῖν γενοῦ,
Λῦσαι τε πρύμνας καὶ χαλινωτήρια
Νεῶν, δὸς ἡμῖν πρευμενοῦς τ' ἀπ' Ἰλίου
Νόστου τυχόντας πάντας ἐς πάτραν μολεῖν.
Τοσαῦτ' ἔλεξε, πᾶς δ' ἐπεύξατο στρατός.
Εἶτ' ἀμφίχρυσον φάσγανον κώπης λαβὼν,
Ἐξεῖλκε κολεοῦ, λογάσι δ' Ἀργείων στρατοῦ
Νεανίαις ἔνευσε παρθένον λαβεῖν.
Ἡ δ', ὡς ἐφράσθη, τόνδ' ἐσήμηνεν λόγον·
Ὦ τὴν ἐμὴν πέρσαντες Ἀργεῖοι πόλιν,
Ἑκοῦσα θνήσκω· μή τις ἅψηται χροὸς
Τοῦ 'μοῦ· παρέξω γὰρ δέρην εὐκαρδίως.
Ἐλευθέραν δέ μ', ὡς ἐλευθέρα θάνω,
Πρὸς θεῶν μεθέντες, κτείνατ'· ἐν νεκροῖσι γὰρ
Δούλη κεκλῆσθαι, βασιλὶς οὖσ', αἰσχύνομαι.

λεγέντος γὰρ τοῦ στρατεύματος ἐπὶ τῆς πυρᾶς, Νεοπτόλεμος λαβὼν ἐκ χειρὸς Πολυξένην, προσήγαγε παρὰ τὸ χῶμα· οὗ ἐγγὺς ἐτετάγμεθ' ἐγώ τε, καὶ τέσσαρες λογάδες νεανίαι, ἵν' εἴπου ἡ παῖς ἀντερείδοι μὴ εἴκουσα, κατάσχοιμεν αὐτῆς τὰ σκιρτήματα· λαβὼν δ' ἔπειτα δέπας πλῆρες, ἀνέχει χοὰς τῷ πατρὶ, ἅμα σημήνας ἐμοὶ σιγὴν κηρύξαι τοῖς Ἕλλησιν· ἐγὼ δ' ἀναςὰς, εἶπον τάδε. Σιγᾶτ' Ἀχαιοὶ, σῖγα πᾶς ἔςω λεώς· οἱ δὲ εὐθὺς σιγὴν ἦγον· ὁ δὲ, ὦ παῖ Πηλέως, ἔφη, ἐμὸς δὲ πατὴρ, δέξαι ταύτας τὰς κηλητηρίους χοὰς, ἀγωγοὺς τῶν νεκρῶν γιγνομένας· δεῦρο πίε αἷμα κόρης ἀκραιφνὲς, παρά τ' ἐμοῦ καὶ παντὸς, τοῦ ςρατοῦ προσφερόμενον· γενόμενος δ' οὕτως ἡμῖν εὐμενὴς, λύσειας τὰς νῆας πρὸς τὸν ἔκπλουν, καὶ δὸς ἡμῖν εὖ μὲν ἀποπλεῦσαι, εὖ δὲ καὶ οἴκαδε περαιωθῆναι. Τοιαῦτα δ' αὐτοῦ εἰπόντος, ἐπηύξατο πᾶς ὁ ςρατός· ἐκ δὲ τούτου ἐξελκύσας τὸ ξίφος τοῦ κολεοῦ, ἔνευσε τοῖς λογάσι συλλαβεῖν τὴν παρθένον· ἡ δὲ, ὡς ἐνόησεν, εἶπε ταῦτα· ὦ Ἕλληνες, οἱ τὴν ἐμὴν πόλιν ἐξελόντες, ἐγὼ μὲν ἑκοῦσα ἥκω τεθνηξομένη· μηδεὶς τοῦ ἐμοῦ σώματος ἁπτέσθω· ἐγὼ γὰρ αὐτὴ ἐλευθέρως παρέξομαι τὴν δέρην τῷ βουλομένῳ παῖσαι· ἄφετε τοίνυν με πρὸς Θεῶν ἀποθανεῖν ἐλευθέρως· οὐ γὰρ ἔμοιγ' εὐπρεπὲς, βασιλίδι γε οὔσῃ, δούλην παρὰ τοῖς κάτω κειμένοις ἀκούειν· ἐκ δὲ

522. Χοάς] χοὴ δὲ ἦν κρᾶμα οἴνου, ἐλαίου, ἢ γάλακτος, καὶ θέλγητρον ἦν τοῦτο τῶν ψυχῶν ἀπὸ τοῦ ᾅδου ἄνω, 545. Ἐλευθέραν με] ἡ συνθήκη οὐ-

Λαοὶ δ' ἐπεῤῥόθησαν, Ἀγαμέμνων τ' ἄναξ
Εἶπεν μεθεῖναι παρθένον νεανίαις.
Οἱ δ', ὡς τάχιστ' ἤκουσαν ὑστάτην ὄπα,
Μεθῆκαν, οὗπερ καὶ μέγιστον ἦν κράτος.
Κἀπεὶ τόδ' εἰσήκουσε δεσποτῶν ἔπος,
Λαβοῦσα πέπλοις ἐξ ἄκρας ἐπωμίδος,
Ἔῤῥηξε λαγόνος ἐς μέσον παρ' ὀμφαλὸν,
Μαστούς τ' ἔδειξε, στέρνα θ', ὡς ἀγάλματος,
Κάλλιστα· καὶ καθεῖσα πρὸς γαῖαν γόνυ,
Ἔλεξε πάντων τλημονέστατον λόγον·
Ἰδοὺ, τόδ' εἰ μὲν στέρνον, ὦ νεανία,
Παίειν προθυμεῖ, παῖσον· εἰ δ' ὑπ' αὐχένα
Χρήζεις, πάρεστι λαιμὸς εὐτρεπὴς ὅδε.
Ὁ δ' οὐ θέλων τε καὶ θέλων, οἴκτῳ κόρης,
Τέμνει σιδήρῳ πνεύματος διαῤῥοάς·
Κρουνοὶ δ' ἐχώρουν, ἡ δὲ καὶ θνήσκουσ' ὅμως
Πολλὴν πρόνοιαν εἶχεν εὐσχήμως πεσεῖν,
Κρύπτουσ', ἃ κρύπτειν ὄμματ' ἀρσένων χρεών.
Ἐπεὶ δ' ἀφῆκε πνεῦμα θανασίμῳ σφαγῇ,
Οὐδεὶς τὸν αὐτὸν εἶχεν Ἀργείων πόνον·
Ἀλλ' οἱ μὲν αὐτῶν τὴν θανοῦσαν ἐκ χερῶν
Φύλλοις ἔβαλλον, οἱ δὲ πληροῦσιν πυρὰν,
Κορμοὺς φέροντες πευκίνους, ὁ δ' οὐ φέρων
Πρὸς τοῦ φέροντος τοιάδ' ἤκουεν κακά·
Ἕστηκας, ὦ κάκιστε, τῇ νεανίδι
Οὐ πέπλον, οὐδὲ κόσμον ἐν χεροῖν ἔχων;
Οὐκ εἶ τι δώσων τῇ περίσσ' εὐκαρδίῳ
Ψυχήν τ' ἀρίστῃ; τοιάδ' ἀμφὶ σῆς 'λεγον
Παιδὸς θανούσης· εὐτεκνωτάτην δέ σε
Πασῶν γυναικῶν, δυστυχεστάτην θ' ὁρῶ.

τούτου θόρυβος διὰ παντὸς ἐχώρει τοῦ στρατοῦ, καὶ ὁ Ἀγαμέμνων ἐκέλευσε μεθεῖναι· μεταςάντων δὲ τῶν νέων παραχρῆμα, ἡ κόρη, λαβομένη τῶν ἑαυτῆς πέπλων ἀπ' αὐτῆς τῆς ἐπωμίδος, διέῤῥηξε μέσον μέχρι πρὸς τὸν ὀμφαλὸν, τούςτε μαςοὺς καὶ τὰ ςέρνα προφήνασα κάλλιςα ὡς ἀγάλματος· καὶ κλιθεῖσα ἐπὶ τὸ γόνυ, ἐλεεινότατον ἐφθέγξατο ὕςατον λόγον τοῦτον· ἰδοὺ τὸ στέρνον, ὦ νεανία, τοῦτο, εἰ μὲν εἰς αὐτὸ ἐθέλεις κεντῆσαι, παῖσον, μὴ φείδου· εἰ δ' αὖ ἐπὶ τὸν αὐχένα τουτονὶ καθεῖναι τὸ ξίφος, ἕτοιμος οὗτος· ὁ δὲ, καίτοι κατοικτείρων τὴν κόρην, ἑκὼν ἀέκων, τέμνει τὸν αὐχένα· κρουνοὶ δὲ αἵματος ἐξεπήδων ἐς τὸ χῶμα· ἀλλ' ἡ παρθένος καὶ θνήσκουσα, πολλὴν πρόνοιαν ἐδόκει ποιεῖσθαι εὐσχημόνως πεσεῖν· κρύπτειν τε, ἃ χρὴ τὰ τῶν ἀνδρῶν φεύγειν ὄμματα· θανούσης δὲ, πολλὴ ἦν σπουδὴ περὶ αὐτὴν παρὰ πάντων, τῶν μὲν ἐκ χειρὸς φύλλοις αὐτὴν βαλλόντων, τῶν δὲ κορμοὺς πεύκης ἐπινηθόντων· εἰ δέ τις ἐν αὐτοῖς ἀργὸς ἦν, κακῶς ἤκουε παρὰ τοῦ πονοῦντος· τί ποθ' ἕστηκας, ὦ κάκιςε σύγε, μήτε πέπλον, μήτε κόσμον ὁντινοῦν ἐπιφέρων τῇ πασῶν γενναιοτάτῃ; οὐκ ἄπει οἴσων τὶ τῇ εὐψυχοτάτῃ τῶν νεανίδων; τοιαῦτα ἐλέγετο περὶ τῆς σῆς παιδός· ἐγὼ δὲ ὁρῶ σε νῦν τὴν πασῶν εὐτεκνοτάτην, δυστυχεςάτην ἤδη γεγενημένην.

---

τω· Πρὸς θεῶν μεθέντες με ἐλευθέραν κτείνατε, ὡς ἐλευθέρα θάνω. 548. Ἐπεῤ-ῥόθησαν] ἐθορύβησαν· διὰ πάντων ἦχός τις καὶ βοὴ ἀσήμαντος (δῆλον ὅτι ἐπαίνου) ἀδιάκριτος διῆλθεν. Ἔστι δ' ἀπὸ μεταφορᾶς τῶν κυμάτων. 562. Πνεύματος διαῤῥοὰς] τὸν λάρυγκα ἐννοητέον, δι' οὗ εἰσπνέομεν, καὶ ἐκπνέο-



ΔΗΜΟ… ΔΗΜΟΤΙΚ…

ΧΟ. Δεινόν τι πῆμα Πριαμίδαις ἐπέζεσεν
Πόλει τε τῇ 'μῇ· θεῶν ἀναγκαῖον τόδε.

ΕΚ. Ὦ θύγατερ, οὐκ οἶδ' εἰς ὅ,τι βλέψω κακῶν,
Πολλῶν παρόντων· ἢν γὰρ ἅψωμαι τινὸς,
Τόδ' οὐκ ἐᾷ με· παρακαλεῖ δ' ἐκεῖθεν αὖ
Λύπη τις ἄλλη διάδοχος κακῶν κακοῖς.
Καὶ νῦν τὸ μὲν σὸν, ὥστε μὴ στένειν, πάθος
Οὐκ ἂν δυναίμην ἐξαλείψασθαι φρενός·
Τὸ δ' αὖ λίαν παρεῖλες, ἀγγελθεῖσά μοι
Γενναῖος· οὔκουν δεινὸν, εἰ γῆ μὲν κακὴ,
Τυχοῦσα καιροῦ θεόθεν, εὖ στάχυν φέρει·
Χρηστὴ δ', ἁμαρτοῦσ', ὧν χρεὼν αὐτὴν τυχεῖν,
Κακὸν δίδωσι καρπόν· ἀνθρώποις δ' ἀεὶ
Ὁ μὲν πονηρὸς οὐδὲν ἄλλο, πλὴν κακὸς,
Ὁ δ' ἐσθλὸς, ἐσθλὸς, οὐδὲ συμφορᾶς ὕπο
Φύσιν διέφθειρ', ἀλλὰ χρηστός ἐστ' ἀεί.
Ἆρ' οἱ τεκόντες διαφέρουσιν, ἢ τροφαί;
Ἔχει γε μέντοι καὶ τὸ θρεφθῆναι καλῶς
Δίδαξιν ἐσθλοῦ· τοῦτο δ' ἤν τις εὖ μάθῃ,
Οἶδεν τό γ' αἰσχρὸν, κανόνι τοῦ καλοῦ μαθών.
Καὶ ταῦτα μὲν δὴ νοῦς ἐτόξευσεν μάτην·
Σὺ δ' ἐλθὲ, καὶ σήμηνον Ἀργείοις τάδε,
Μὴ θιγγάνειν μοι μηδέν', ἀλλ' εἴργειν ὄχλον
Τῆς παιδός· ἔν τοι μυρίῳ στρατεύματι
Ἀκόλαστος ὄχλος, ναυτική τ' ἀναρχία
Κρείσσων πυρὸς, κακὸς δ' ὁ μή τι δρῶν κακόν.

---

μεν. 574. οὐκ εἶ] οὐκ ἔρχῃ· τὸ δὲ θέμα, εἶμι, εἶς, καὶ εἶ, εἶπι. 588. Καὶ-

ΧΟ. Ὦ οἷον κακὸν τοῦτο συνέβη τοῖς ἀπὸ τοῦ Πριάμου, καὶ πᾶσι τοῖς Τρωσί· Θεῶν τοῦτο νέμεσις, κοὐκ ἄλλως ἔχει.

ΕΚ. Ὦ θύγατερ, οὐκ οἶδα εἰς ὅ,τι τῶν κακῶν πρῶτον ἀποβλέψω, πολλῶν πολλαχόθεν ἐπιῤῥευσάντων· εἰ γὰρ πρὸς τόδε τι τραποίμην, ἄλλο ἄλλοθεν εὐθὺς διάδοχον ἄλλων οὐκ ἐᾷ με, ἀνθέλκον πρὸς ἑαυτό· τὸ δὲ σὸν πάθος ὀλοφύρομαι σφόδρα, κοὐκ ἔχω τῆς ψυχῆς ἐξαλείψασθαι· σὺ δὲ γενναίως θανοῦσα, περιεῖλες ἐκ μέρους τοῦτο· Οὐδὲν οὖν θαυμαστὸν, εἴπου γῆ τις, καὶ κακὴ οὖσα, ὑετῶν ἐκ Διὸς ἐπιγιγνομένων, εὐθαλὲς τὸ λήϊον φέρει· χρηστὴ δ' ἐν αὐχμῷ, γλίσχρον δίδωσι καρπόν· ἐπὶ δὲ τῶν ἀνθρώπων οὐχ οὕτως ἔχει· ἀλλ' ὁ μὲν φαῦλος ἀεὶ ἐστι φαῦλος· ὁ δὲ ἀγαθὸς, ἀγαθὸς, μηδὲν ἐν συμφοραῖς πρὸς τὸ χεῖρον μεταβαλλόμενος· τί οὖν ἂν εἴη τὸ φέρον πρὸς τοῦτο; πότερον, τοῖς τεκοῦσιν, ἢ τοῖς ἀνατρέφουσι τὴν αἰτίαν ἀποδοτέον; οὐ γὰρ ὀλίγον καὶ τὸ τῆς ἐλευθέρας ἀγωγῆς συμβάλλεται πρὸς τὸ τὰ καλὰ καὶ τὰ αἰσχρὰ διακρίνειν. καὶ ταῦτα μὲν παρὰ χορδήν. Σὺ δ', ὦ γέρον, ἐλθὼν ὡς τοὺς Ἕλληνας, εἰπὲ μηδένα μοι θιγγάνειν τῆς θυγατρός· ὁ γὰρ ἐν μυρίῳ στρατῷ ὄχλος ἀκόλαστος, καὶ μάλιστα ἡ ναυτικὴ ἀναρχία καὶ αὐτοῦ τοῦ πυρὸς ἰσχυρότερον πέφυκε· κακὸς γὰρ παρ' αὐτοῖς ὁ μὴ ποιῶν τι κακόν. Σὺ δ'

---

ροῦ] εὐκρασίας ἀέρων καὶ ὑετῶν. 594. Ἆρ' οἱ τεκόντες] οὐ καλῶς ἐνταῦθα δοκεῖ Εὐριπίδης φιλοσοφεῖν, τοῖς τεκοῦσι τὸ πλέον τῆς τῶν παίδων ἐφ' ἑκάτερα διαθέσεως ἀποδοὺς, καίτοι εἰδὼς μίαν φύσιν εἰς τὸ γεννᾶν πᾶσιν ἀνθρώποις εἶναι· Ἔστι δ' οὖν εἰπεῖν τὸ μὲν τῆς φύσεως εἶναι, τὸ δὲ τῆς ἀνατροφῆς· ἀνατροφὴ γὰρ σπουδαία μὲν, τὰ τῆς φύσεως διώρθωκεν ἐλαττώματα· φαύλη δὲ, διέφθειρε παντως καὶ τὰ πλεονεκτήματα· Ἔπιθί μοι

Σὺ δ' αὖ λαβοῦσα τεῦχος, ἀρχαία λάτρι,
Βάψασ' ἔνεγκε δεῦρο ποντίας ἁλὸς,
Ὡς παῖδα λουτροῖς τοῖς πανυστάτοις ἐμὴν,
Νύμφην τ' ἄνυμφον, παρθένον τ' ἀπάρθενον,
Λούσω, προθῶμαί τ'· (ὡς μὲν ἀξία, πόθεν;
Οὐκ ἂν δυναίμην· ὡς δ' ἔχω· τί γὰρ πάθω;)
Κόσμον τ' ἀγείρασ' αἰχμαλωτίδων πάρα,
Αἵ μοι πάρεδροι τῶνδ' ἔσω σκηνωμάτων
Ναίουσιν, εἴ τις τοὺς νεωστὶ δεσπότας
Λαθοῦσ', ἔχει τι κλέμμα τῶν αὑτῆς δόμων.
Ὦ σχήματ' οἴκων, ὦ ποτ' εὐτυχεῖς δόμοι,
Ὦ πλεῖστ' ἔχων κάλλιστά τ', εὐτεκνώτατε
Πρίαμε, γεραιά θ' ἥδ' ἐγὼ μήτηρ τέκνων,
Ὡς ἐς τὸ μηδὲν ἥκομεν, φρονήματος
Τοῦ πρὶν στερέντες· εἶτα δῆτ' ὀγκούμεθα,
Ὁ μέν τις ὑμῶν πλουσίοις ἐν δώμασιν,
Ὁ δ' ἐν πολίταις τίμιος κεκλημένος.
Τάδ' οὐδέν· ἄλλως φροντίδων βουλεύματα,
Γλώσσης τε κόμποι· κεῖνος ὀλβιώτατος,
Ὅτῳ κατ' ἦμαρ τυγχάνει μηδὲν κακόν.
ΧΟ. Ἐμοὶ χρῆν συμφορὰν, (Στρ.)
Ἐμοὶ χρῆν πημονὰν γενέσθαι,
Ἰδαίαν ὅτε πρῶτον ὕλαν
Ἀλέξανδρος εἰλατίναν
Ἐτάμεθ', ἅλιον ἐπ' οἶδμα ναυστολήσων
Ἑλένας ἐπὶ λέκτρα, τὰν
Καλλίσταν ὁ χρυσοφαὴς
Ἅλιος αὐγάζει.

σὺ ἡ ἀρχαία θεράπαινα, λαβοῦσ' ἀγγεῖον, ἴθι ἀρυσομένη ἀπὸ τῆς θαλάσσης, ἵνα τὴν ἐμὴν θυγατέρα, νύμφην τ' ἄνυμφον οὖσαν, καὶ παρθένον ἀπάρθενον, ὑςάτοις λουτροῖς λούσω· Ἀξίως μὲν οὖν αὐτὴν περιστεῖλαι οὐδ' ἂν ἔχοιμι· πόθεν; ὡς δ' ἐκ τῶν παρόντων (τί γὰρ ἂν καὶ πάθοιμι;), κόσμον ἀγείρασα παρὰ τῶν ἔνδον αἰχμαλωτίδων, εἴ τις τὶ ἑαυτῇ διεσώσατο, λάθρα τῶν δεσποτῶν λαβοῦσα τοῦτο. Ὦ κόσμοι οἴκων, ὦ ποτὲ ὀλβιώτατα δώματα, καὶ σὺ εὐτεκνότατε Πρίαμε, ὁ πλεῖστα καὶ καλὰ κεκτημένος, ἐγώ τε ἡ γεραιὰ, ἡ εὔπαις καὶ καλλίπαις οὖσά ποτε, ὡς εἰς πᾶν περιέστημεν τοὐναντίον, τὸ πρὶν ὅλως ἀπολέσαντες φρόνημα· εἶτα μέγα φρονοῦμεν οἱ ἄνθρωποι, οἱ μὲν ἐπαιρόμενοι πλούτῳ, οἱ δὲ ἐν πολίταις τιμώμενοι, οἱ δὲ ἄλλος ἄλλῳ· οὐδένεςι ταῦτ', ἢ βουλεύματα κενὰ, καὶ κόμποι γλώττης, εἰς ἀέρα παραχρῆμα διαλυόμενοι· εὐδαίμων δὲ μόνος, ᾧ βίος ὅλος διανύεται ἄλυπος.

ΧΟ. Ἔδει ἄρ' ἔμοιγε τὴν συμφορὰν γενέσθαι ταύτην· ἔμελλον, ὡς ἔοικε, τοιούτοις κακοῖς περιπεπτῶσθαι, ὁπόθ' ὁ Πάρις πλοῖον ἐν Ἴδῃ ἐξαρτυσάμενος ἐξ ἐλάτης, τὸ μέγα πέλαγος πρὸς τὸν τῆς Ἑλένης γάμον διαβαλεῖν ὡρμήθη· ἧς καλλίω οὐδεμίαν πω ἑώρακεν ἥλιος.

---

τῶν περὶ εὐδαιμονίας λόγων μου τὸν δεύτερον. 607. Παρθένον ἀπάρθενον] ἐπει-
δὴ εἶπε νύμφην ἄνυμφον, ὡς μεμνηστευμένην μὲν τῷ Ἀχιλλεῖ, μὴ νυμφευθεῖ-
σαν δὲ, ἐπήνεγκεν ὅμοιον καὶ εἰς τὸ Παρθένον· συνήθη δὲ ταῦτα τῷ ποιητῇ,
γάμον ἄγαμον λέγειν, καὶ νύμφην κακόνυμφον. 608. Προθῶμαι] σύνηθες γὰρ
τοῦτο ἔτι καὶ νῦν, περιστείλαντας τὸν ἀποθανόντα, καὶ κοσμήσαντας, προτίθε-
σθαι εἰς τὸ μέσον πρὸς θρῆνον καὶ πένθος πᾶσι συγγενέσι, καὶ φίλοις. 621. Ἐ-
χρῆν] χρεὼν, ἢ πεπρωμένον ἦν· εἶον, ἔμελλον ἄρα ἐν κακοῖς γενέσθαι, ὁπότε

Πόνοι γὰρ καὶ πόνων (Ἀντ.)
Ἀνάγκαι κρείσσονες κυκλοῦνται.
Κοινὸν δ' ἐξ ἰδίας ἀνοίας
Κακὸν τᾷ Σιμουντίδι γᾷ
Ὀλέθριον ἔμολε, συμφορά τ' ἀπ' ἄλλων.
Ἐκρίθη δ' ἔρις, ἂν ἐν Ἴ-
Δᾳ κρίνει τρισσὰς μακάρων
Παῖδας ἀνὴρ βούτας,
Ἐπὶ δορὶ καὶ φόνῳ καὶ ἐμῶν μελάθρων λώβᾳ· (Ἐπῳδ.)
Στένει δὲ καί τις ἀμφὶ τὸν εὔρουν Εὐρώταν
Λάκαινα πολυδάκρυτος ἐν δόμοις κόρα,
Πολιὸν τ' ἐπὶ κρᾶτα μάτηρ,
Τέκνων θανόντων, τίθεται χέρα,
Δρύπτεταί τε παρειὰν,
Δίαιμον ὄνυχα τιθεμένα σπαραγμοῖς.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΘΕΡΑΠΑΙΝΑ, ΧΟΡΟΣ, ΕΚΑΒΗ, ΑΓΑΜΕΜΝΩΝ.

ΘΕ. Γυναῖκες, Ἑκάβη ποῦ ποθ' ἡ παναθλία,

---

Ἀλέξανδρος. καὶ τλ. 633. Καὶ Ἀνάγκαι] τί φημι πόνους, ἀλλ' οὐχὶ ἀνάγκας ἐπικρατεστέρας καὶ ἰσχυροτέρας ἁπάντων πόνων; 635. Σιμουντίδι] ἐκ τοῦ Σιμόεντος, ἢ Σιμοῦντος ποταμοῦ. 645. Συμφοράτε ἀπ' ἄλλων] συμφορῶν τε ἅμιλλα ἐξ ἄλλων συμφορῶν ἀρχαιοτέρων. 637. Ἐκρίθη δὲ καὶ ἡ ἔρις] διεκρίθη, εἴληφε πέρας. Εὐωχουμένων τῶν θεῶν ἐν τῷ τοῦ Πηλέως καὶ τῆς Θέτιδος γάμῳ, ἔνθα ἦσαν καὶ τῶν θεαίνων Ἥρα, Ἀθηνᾶ, καὶ Ἀφροδίτη, ἡ Ἔρις Χαλεπήνασα, ὅτι οὐκ ἠξίωτο καὶ αὐτὴ τῆς εὐωχίας, πλάσασα μῆλον, καὶ ἐπιγράψασα, Τῇ καλῇ, ἀναβᾶσα ἐπὶ τοῦ τέγους, ἀφῆκεν αὐτὸ ἐν μέσαις ἐκείναις· αἱ

Πόνοι γὰρ καὶ ἀνάγκαι κρείττους πόνων ἡμῖν περιστρέφονται, καὶ κοινὸν ἐξ ἰδίας ἀνοίας κακὸν εἰς τὴν χώραν τῆς Τροίας ὀλέθριον ἦλθε, συμφορῶν συμφορὰς ἐπαλλήλως διαδεχομένων· ἐκρίθη δὲ καὶ ἡ ἔρις, δι' ἣν τρεῖς Θεὰς ἀνὴρ βουκόλος κρίνει.

Ἀλλὰ πρὸς φόνον ταῦτα πολὺν, καὶ βλάβην τῶν ἐμῶν ἐκρίθη οἴκων· ὀλοφύρεται δὲ καὶ παρὰ τῷ Εὐρώτᾳ οὐχ ἧττον κόρη τις τῶν Λακώνων, δάκρυσι τηκομένη· καὶ μήτηρ αὖθις ἐπὶ τέκνοις ἀποθανοῦσι παίει μὲν ἀμφοτέραις ταῖς χερσὶ τὴν λευκὴν κεφαλὴν, δρύπτει δὲ τοῖς ὄνυξι καὶ τὴν γεραιὰν παρειάν.

---

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

## ΘΕΡΑΠΑΙΝΑ, ΧΟΡΟΣ, ΕΚΑΒΗ, ΑΓΑΜΕΜΝΩΝ.

ΘΕ· Γυναῖκες, ποῦ ἐστιν Ἑκάβη ἡ παναθλία, ἡ πᾶν ἄῤῥεν

---

δὲ ἀξιοῦσαι ἑκάστη αὐτὴ τὸ μῆλον λαβεῖν, ὡς προύχουσα κάλλει τῶν ἄλλων, ἦλθον ὡς τὸν Δία, κελεύουσαι δικάσαι αὐταῖς· ὁ δὲ μὴ ἐθέλων ἀπεχθέσθαι πρὸς τὰς δύο, ἀπέστειλεν αὐτὰς ὡς τὸν Πάριν, βουκόλον ὄντα ἐν τῷ τότε, κριθησομένας· Ἐλθοῦσαι τοίνυν ἡ μὲν Ἥρα, εἰ δοίη αὐτῇ τὸ μῆλον, ὑπέσχετο δώσειν αὐτῷ βασιλείαν. ἡ δὲ Ἀθηνᾶ, νικᾷν ἐν πολέμοις· ἡ δὲ Ἀφροδίτη, τὴν Ἑλένην. οὕτως οὖν νικᾷ Ἀφροδίτη, καὶ λαμβάνει τὸ μῆλον. Ἐντεῦθεν συμπλεύσασα Ἀλεξάνδρῳ εἰς Σπάρτην, δίδωσιν αὐτῷ τὴν Ἑλένην,— Τὸ δὲ Ἂν δωρικῶς ἀντὶ τοῦ Ἦν. 640. Ἐπὶ δόρι] ἀπόδος ταῦτ' ἀνωτέρω εἰς τὸ κρίνει. 642. Εὐρώταν] ποταμὸς οὗτος διεξιὼν παρὰ τὴν Σπάρτην· βούλεται δὲ εἰπεῖν, ὡς οὐ μόνον Τρωσὶ μεγάλων κακῶν ἐγένεθ' ὁ πόλεμος, ἀλλὰ καὶ αὐτῶν τῶν Ἑλληνίδων ἄλλαι μὲν θρηνοῦσι τοὺς ἑαυτῶν ἄνδρας· ἄλλαι δὲ κλαίουσι παῖδας, καὶ τύπτουσι τὰς ἑαυτῶν κεφαλάς, δρύπτοντας τὰς παρειάς, ὥστε αἱματοῦν καὶ τοὺς ὄνυχας· 647. Γυναῖκες] ἐπιστραφεῖσα ἡ δούλη ἀπὸ τοῦ ὕδατος (ἴδε ἀνωτέρω στίχ. 604.) φέρει τὸν τοῦ Πολυδώρου νεκρὸν, ὃν Πολυμήστωρ φονεύσας, ἔῤῥιψε

Ἡ πάντα νικῶσ' ἄνδρα καὶ θῆλυν σπορὰν
Κακοῖσιν; οὐδεὶς στέφανον ἀνθαιρήσεται.
ΧΟ. Τί δ', ὦ τάλαινα, σῆς κακογλώσσου βοῆς;
Ὡς οὔποθ' εὕδει λυπράσου κηρύγματα.
ΘΕ. Ἑκάβη φέρω τόδ' ἄλγος· ἐν κακοῖσι δὲ
Οὐ ῥάδιον βροτοῖσιν εὐφημεῖν στόμα.
ΧΟ. Καὶ μὴν περῶσα τυγχάνει δόμων ἄπο
Ἥδ', ἐς δὲ καιρὸν σοῖσι φαίνεται λόγοις.
ΘΕ. Ὦ παντάλαινα, κἄτι μᾶλλον ἢ λέγω,
Δέσποιν', ὄλωλας, οὐκέτ' εἶ βλέπουσα φῶς,
Ἄπαις, ἄνανδρος, ἄπολις, ἐξεφθαρμένη.
ΕΚ. Οὐ καινὸν εἶπας, εἰδόσιν δ' ὠνείδισας·
Ἀτὰρ τί νεκρὸν τόνδε μοι Πολυξένης
Ἥκεις κομίζουσ', ἧς ἀπηγγέλθη τάφος
Πάντων Ἀχαιῶν διὰ χερὸς σπουδὴν ἔχειν;
ΘΕ. Ἥδ' οὐδὲν οἶδεν, ἀλλά μοι Πολυξένην
Θρηνεῖ, νέων δὲ πημάτων οὐχ ἅπτεται.
ΕΚ. Οἳ 'γὼ τάλαινα, μῶν βακχεῖον κάρα
Τῆς θεσπιῳδοῦ δεῦρο Κασάνδρας φέρεις;
ΘΕ. Ζῶσαν λέλακας, τὸν θανόντα δ' οὐ στένεις
Τόνδ'· ἀλλ' ἄθρησον σῶμα γυμνωθὲν νεκροῦ,
Εἴ σοι φανεῖται θαῦμα καὶ παρ' ἐλπίδας.
ΕΚ. Οἴμοι, βλέπω δὴ παῖδ' ἐμὸν τεθνηκότα

εἰς τὴν θάλασσαν· 649. Οὐδεὶς ἀνθαιρήσεται στέφανον] ἕπεται γὰρ τῇ νίκῃ ὁ στέφανος· ἐπειδὴ ἡ Ἑκάβη νικᾷ πάντα ἄνθρωπον ἐν ταῖς συμφοραῖς, εἰκότως λήψεται καὶ τὸν στέφανον τῶν κακῶν· 665. Το βακχεῖον κάρα] τὸ μέρος ἀντὶ τοῦ ὅλου· βακχεῖον δὲ καὶ βακχικὸν, τὸ μαντικὸν, οἱονεὶ μανικὸν ὄν. οἱ γὰρ μαντεύοντες μαίνονται. 667. Λέλακας] ἐλάλησας· τὸ θέμα λάκω, ἢ λάκεω·

τε καὶ θῆλυ γένος τοῖς κακοῖς ὑπερβαλοῦσα; οὐδεὶς γὰρ ἂν τὸν τῶν ἀγώνων τουτωνὶ αὐτῆς ἀνθέλοιτο ςέφανον.

ΧΟ. Τί ταῦτ᾽ αὖθις, ὦ τάλαινα, σὺ κακολογεῖς; οὐ παύσῃ ποτὲ τοιαῦτ᾽ ἀεὶ κακόφημα φθεγγομένη;

ΘΕ. Ἑκάβη καὶ τόδε ἥκω φέρουσα καρδίας δηκτήριον· ἐν γὰρ συμφοραῖς πῶς ἂν εἴη στόμα εὔφημον ἔχειν;

ΧΟ. Καὶ μὴν ἴδε, ὅσον οὔπω πάρεςιν ἐκεῖθεν ἥκουσα δεῦρο ὡς ἡμᾶς, μεταξὺ σοῦ λεγούσης.

ΘΕ. Ὦ δύςηνε δέσποινα, καὶ πλέον ἢ ἐξηγοῦμαι λόγῳ, ἀπόλωλας, καὶ οὐκέτι σοι βιώσιμον ἔςαι, οὐ παῖδα, οὐκ ἄνδρα, οὐ πόλιν, ουδὲν ὅ,τι λοιπὸν ἐχούσῃ.

ΕΚ. Οὐ καινὰ, οὐδ᾽ ἄγνωςα, ἀλλ᾽ ἐν εἰδόσιν ἡμῖν ταῦτα τυγχάνεις εἰρηκυῖα· ἀλλὰ τί δήποτε τὸν τῆς Πολυξένης νεκρὸν ἐκόμισας ὧδε; ἀπηγγέλθη γὰρ ἡμῖν ὁ τάφος διὰ σπουδῆς τοῖς Ἕλλησι πᾶσιν εἶναι.

ΘΖ. Ἀλλ᾽ αὕτη οἶδεν, ὡς ἔοικεν, οὐδὲν τῶν παρόντων, Πολυξένην καὶ τὰ παρελθόντα θρηνοῦσα.

ΕΚ. Οἴμοι τῇ δυςήνῳ, μῶν τὴν κεφαλὴν τῆς θεσπιῳδοῦ Κασάνδρας ἤνεγκας ὧδε;

ΘΕ. Τὴν ζῶσαν λέγεις, τὸν δ᾽ ἀπολωλότα οὐ θρηνεῖς· δεῦρο ἴδε σῶμα γεγυμνωμένον, εἴ σοι φανεῖται θαῦμα, καὶ παρ᾽ ἐλπίδα.

ΕΚ. Οἴμοι, Πολύδωρος οὑμὸς οὗτος παῖς, οὐκ ἄλλος, ὁ πα-

---

974. Κατάρχομαι] τὸν στεῖχον τοῦτον καὶ τὸν ἑπόμενον, ὡς μὴ σώζοντας τὸ μέτρον, οἱ νεώτεροι διεῖλον εἰς τρεις. καὶ ἀντὶ νόμων βακχείων γράφουσιν ἐνιαχῶς, νόμον βακχεῖον, καίτοι ἀναλυθέντος τοῦ ἰαμβικοῦ, ἄμεινον ἦν τὸ πληθυντικόν. ὁ δὲ νοῦς ἐκ τῶν Βακχῶν τοῦ Διονύσου αἱ μαινόμεναι. καὶ διαῤῥηγνύουσαι τὰ ἑαυτῶν πολλάκις ἱμάτια, ὕμνουν τὸν Βάκχον· εἰς τοιαύτην οὖν μανίαν

Πολύδωρον, ὅν μοι Θρῂξ ἔσωζ' οἴκοις ἀνήρ.
Ἀπωλόμην δύστηνος, οὐκέτ' εἰμὶ δή.
Ὦ τέκνον, τέκνον;
Αἶ, αἶ, κατάρχομαι νόμον
Βακχεῖον, ἐξ ἀλάστορος
Ἀρτιμαθὴς κακῶν.
ΘΕ. Ἔγνως γὰρ ἄτην παιδὸς, ὦ δύστηνε σύ;
ΕΚ. Ἄπιστ', ἄπιστα, καινὰ, καινὰ δέρκομαι.
Ἕτερα δ' ἀφ' ἑτέρων κακὰ κακῶν κυρεῖ·
Οὐδέποτ' ἀδάκρυτον, ἀστένακτον ἁ-
Μαρ ἔμ' ἐπισχήσει.
ΧΟ. Δεῖν', ὦ τάλαινα, δεινὰ πάσχομεν κακά.
ΕΚ. Ὦ τέκνον, τέκνον ταλαίνης ματρὸς,
Τίνι μόρῳ θνήσκεις, τίνι πότμῳ κεῖσαι;
Πρὸς τίνος ἀνθρώπων;
ΘΕ. Οὐκ οἶδ'· ἐπ' ἀκταῖς νιν κυρῶ θαλασσίαις.
ΕΕ. Ἐκβλητον, ἢ πέσημα φοινίου δορός;
ΘΕ. Ἐν ψαμάθῳ λευρᾷ
Πόντουνιν ἐξήνεγκε πελάγιος κλύδων.
ΕΚ. Ὤμοι, αἶ, αἶ,
Ἔμαθον ἐνύπνιον, ὀμμάτων
Ἐμῶν ὄψιν (οὔ με παρέβα φάντα-
Σμα μελανόπτερον)
Ἂν ἐξεῖδον ἀμφί σ',
Ὦ τέκνον, οὐκέτ' ὄντα Διὸς ἐν φάει.
ΘΕ. Τίς γάρ νιν ἔκταν'; οἶσθ', ὀνειρόφρον, φράσαι;
ΕΚ. Ἐμὸς, ἐμὸς ξένος, Θρήκιος ἱππότας,
Ἵν' ὁ γέρων πατὴρ ἔθετό νιν κρύψας.
ΘΕ. Ὤμοι τί λέξεις, χρυσὸν ὡς ἔχῃ κτανών;
ΕΚ. Ἄῤῥητ', ἀνωνόμαστα, θαυμάτων πέρα,
Οὐχ ὅσι', οὐδ' ἀνεκτά· ποῦ δίκα ξένων;

ρὰ τῷ πατρῴῳ σωζόμενος ξένῳ κατὰ τὴν Θράκην· ἀπόλωλα, ἐκτέτηκα τὴν καρδίαν· οὐκέτ' εἰμί· ὦ τέκνον, ὦ παῖ, αἶ, αἶ· νόμων κατάρχω βακχείων ἤδη, νέα ἐξ ἀλάστορος δαίμονος κακὰ μαθοῦσα.

ΔΕ. Ἔγνως ἤδη τὸ πάθος, ὦ δύστηνε σύ.

ΕΚ. Ἄπιστ', ἄπιστα, καινὰ καινὰ κακὰ βλέπω, ἑτέρων ἀεὶ διάδοχα κακῶν· ἐξ ὧν οὐδεμίαν ἡμέραν ἀδάκρυτος καὶ ἀστένακτος διαγίγνομαι.

ΧΟ. Δεινὰ, δεινὰ πάσχομεν, ὦ τάλαινα, κακά.

ΕΚ. Ὦ τέκνον, τέκνον δυστήνου μητρὸς, τίνι τρόπῳ τέθνηκας; ποίᾳ δὲ τύχῃ; ὑπὸ τίνος ἀνθρώπων;

ΘΕ. Οὐδὲν οἶδα, οὕτως εὑροῦσα αὐτὸν κείμενον ἐν τῇ ψάμμῳ.

ΕΚ. Ἐκβεβρασμένον ὑπὸ τῶν κυμάτων, ἢ ἀνῃρημένον;

ΘΕ. Ἔοικε μᾶλλον ὑπὸ τῶν κυμάτων ἐκβεβλῆσθαι.

ΕΚ. Οἴμοι· αἶ, αἶ· νῦν ἔγνων ὅ,τι μοι ἐβούλετο ἀρτίως ὁ μελανόπτερος ἐκεῖνος ὄνειρος, ὃν εἶδον, ὦ τέκνον, περὶ σοῦ, ὡς μηκέτι εἰς τὸ φῶς περιόντος.

ΘΕ. Ἆρα τίς ἐσθ' οὗτος, ὃς ἐς τοσοῦτον ἤλασε τόλμης, ὥστ' ἀνελεῖν αὐτόν; λέγε αὐτὴ, εἴτι οἶσθα ἐκ τῶν ὀνείρων.

ΕΚ. Ξένος ὁ ἐκ Θρᾴκης, ᾧ ὁ πατὴρ αὐτὸν ὑπεξέθετο.

ΘΕ. Μανθάνω· ἵνα κύριος γένηται τοῦ χρυσοῦ.

ΕΚ. Ἄῤῥητ' ἄῤῥητα πέπρακται, ἀνονόμαστ', ἄπιστ', ἀνόσια, κἀνύποιστα· ποῦ ἐστιν ἡ δίκη ἡ τῶν ξένων ἔφορος; ἰὼ κα-

---

καὶ ἡ Ἑκάβη φησὶ περιστῆναι ὑπὸ τῶν κακῶν. 692. Ὄψιν] τὸ ὄνειρον. ἴδε ἀνωτέρω μετὰ τὸν Πρόλογον. 701. Δίκα] ποῦ ἐστι Ζεὺς ξένιος, καὶ ἡ

Ὦ κατάρατ' ἀνδρῶν, ὡς διεμοιράσω
Χρόα, σιδαρέῳ τεμὼν φασγάνῳ
Μέλεα τοῦδε παιδὸς, οὐδ' ᾤκτισας.
ΧΟ. Ὦ τλῆμον, ὥς σε πολυπονωτάτην βροτῶν
Δαίμων ἔθηκεν, ὅστις ἐστί σοι βαρύς.
Ἀλλ', εἰσορῶ γὰρ τοῦδε δεσπότου δέμας
Ἀγαμέμνονος, τοὐνθένδε σιγῶμεν, φίλαι.
ΑΓ. Ἑκάβη, τί μέλλεις παῖδα σὴν κρύπτειν τάφῳ
Ἐλθοῦσ', ἐφ' οἷςπερ Ταλθύβιος ἤγγειλέ μοι,
Μὴ θιγγάνειν σῆς μηδέν' Ἀργείων κόρης;
Ἡμεῖς μὲν οὖν εἰῶμεν, οὐδὲ ψαύομεν·
Σὺ δὲ σχολάζεις, ὥστε θαυμάζειν ἐμέ.
Ἥκω δ' ἀποστελῶν σε· τἀκεῖθεν γὰρ εὖ
Πεπραγμέν' ἐστὶν, εἴ τι τῶνδ' ἐστὶν καλῶς.
Ἔα! τίν' ἄνδρα τόνδ' ἐπὶ σκηναῖς ὁρῶ
Θανόντα Τρώων; οὐ γὰρ Ἀργείων πέπλοι
Δέμας περιπτύσσοντες ἀγγέλλουσί μοι.
ΕΚ. Δύστην', (ἐμαυτὴν γὰρ λέγω, λέγουσα σὲ,)
Ἑκάβη, τί δράσω; πότερα προσπέσω γόνυ
Ἀγαμέμνονος τοῦδ', ἢ φέρω σιγῇ κακά;
ΑΓ. Τί μοι προσώπῳ νῶτον ἐγκλίνασα σὸν
Δύρῃ, τὸ πραχθὲν δ' οὐ λέγεις; τίς ἔσθ' ὅδε;
ΕΚ. ἀλλ' εἴ με δούλην, πολεμίαν θ' ἡγούμενος,
Γονάτων ἀπώσαιτ', ἄλγος ἂν προσθείμεθ' ἄν.
ΑΓ. Οὔ τοι πέφυκα μάντις, ὥςτε μὴ κλύων
Ἐξιστορῆσαι σῶν ὁδὸν βουλευμάτων.
ΕΚ. Ἆρ' ἐκλογίζομαί γε πρὸς τὸ δυσμενὲς
Μᾶλλον φρένας, τοῦδ', ὄντος οὐχὶ δυσμενοῦς;

---

δίκη αὐτοῦ ἡ ἔφορος τούτων. 708. Δέμας Ἀγαμέμνονος] τὸ μέρος ἀντὶ τοῦ

τάρατ' ἀνδρῶν ἁπάντων, ὅπως ἀπετόλμησας οὕτω διατεμεῖν τὸ σῶμα ξίφει, οὐδ' ᾤκτειρας τὸν ἁπαλὸν τοῦτον χρῶτα.

**ΧΟ.** Ὦ τάλαινα, ὡς βαρύν σοι ὁ δαίμων ἐφώρμησεν, ἀθλιωτάτην σε πάντων ἀνθρώπων ἀποδείξας· ἀλλ ἤδη παυόμεθα λόγων· ὁρῶ γὰρ ἐκεῖνον Ἀγαμέμνονα, τὸν δεσπότην ἡμῶν ἐρχόμενον δεῦρο.

**ΑΓ.** Τί ποθ' οὕτως ἀναβάλλεις σύγε τὴν τῆς σῆς θυγατρὸς ταφήν; Ταλθύβιος γὰρ ἐλθὼν ἐκέλευσε παρὰ σοῦ μηδένα ἡμῶν αὐτῆς θιγγάνειν, καὶ ἡμεῖς ὑπακούσαντες, ἀπεσχόμεθα· σὺ δ' οὐκ οἶδα, τί ποθ' οὕτω διατρίβεις· τὰ γὰρ ἐκεῖ ἔχει πάντα καλῶς, εἰ μή τι ἐνταῦθα ἔτι ἀποκωλύει. Ἔα· τίνα τοῦτον ὁρῶ νεκρὸν ὧδε ὑπὸ τὴν σκηνήν; τῶν Τρῴων ἔσθ' οὗτος, ὡς ἀπὸ τῆς ςολῆς εἰκάσαι.

**ΕΚ.** Δύςηνος ἐγὼ τί ποιῶ; πότερον προσπέσω πρὸς τοῖς γόνασιν Ἀγαμέμνονος τούτου, ἢ φέρω σιγῇ τὸ πάθος;

**ΑΓ.** Τί οὕτως ὀλοφύρῃ σὺ καθ' ἑαυτὴν, ἔμπαλιν τὸ πρόσωπον στρέψασα; ὃ δὲ πέπρακται, οὐ πάνυ πρόθυμος εἶ ἐξειπεῖν; τίς ἔσθ' οὗτος;

**ΕΚ.** Εἰ γὰρ ὡς πολεμίαν ἀπώσαιτό με, ἐπὶ πλέον ἡμῖν ἐπιξανεῖ τὸ τραῦμα.

**ΑΓ.** Μάντις μὲν οὐκ εἰμὶ, ὥστε μὴ ἀκούσας, τὰ σὰ προγνῶναι βουλεύματα.

**ΕΚ.** Μὴ μάτην δυσμενῆ αὐτὸν οἴομαι, φίλα ἡμῖν φρονοῦντα;

---

ὕλου, ἐν ποιητικῇ περιφράσει, ὡς καὶ τὸ Βακχικὸν κάρα μικρὸν ἀνωτέρω. Ἀναξίως δέ πως ἐνταῦθα εἰσάγεται Ἀγαμένων ἀπὸ τοῦ στρατοπέδου ἐλθὼν, ὃ κήρυκός ἐστιν ἔργον, ἀλλ' οὐ βασιλέως. 709. Δύστηνε] πρὸς ἑαυτὴν ταῦτα λέγει, ἀποροῦσα πότερον, εἴπῃ τὰ πεπραγμένα Ἀγαμέμνονι, ἢ οὔ. 728. Ἐκλογίζομαι] ἆρα λογίζομαι τὰς φρένας πρὸς ἔχθραν,

ΑΓ. Εἴ τοί με βούλει τῶνδε μηδὲν εἰδέναι,
Ἐς ταὐτὸν ἥκεις· καὶ γὰρ οὐδ' ἐγὼ κλύειν.
ΕΚ. Οὐκ ἂν δυναίμην τοῦδε τιμωρεῖν ἄτερ
Τέκνοισι τοῖς ἐμοῖσι· τί στρέφω τάδε;
Τολμᾷν ἀνάγκη, κἂν τύχω, κἂν μὴ τύχω.
Ἀγάμεμνον, ἱκετεύω σε τῶνδε γουνάτων,
Καὶ σοῦ γενείου, δεξιᾶς τ' εὐδαίμονος.
ΑΓ. Τί χρῆμα μαστεύουσα; μῶν ἐλεύθερον
Αἰῶνα θέσθαι; ῥᾴδιον γὰρ ἐστί σοι.
ΕΚ. Οὐ δῆτα· τοὺς κακοὺς δὲ τιμωρουμένη,
Αἰῶνα τὸν ξύμπαντα δουλεῦσαι θέλω.
ΑΓ. Καὶ δὴ τίν' ἡμᾶς εἰς ἐπάρκεσιν καλεῖς;
ΕΚ. Οὐδέν τι τούτων, ὧν σὺ δοξάζεις, ἄναξ.
Ὁρᾷς νεκρὸν τόνδ', οὗ καταστάζω δάκρυ;
ΑΓ. Ὁρῶ· τὸ μέντοι μέλλον οὐκ ἔχω μαθεῖν.
ΕΚ. Τοῦτόν ποτ' ἔτεκον, κἄφερον ζώνης ὕπο.
ΑΓ. Ἔστιν δὲ τίς σῶν οὗτος, ὦ τλῆμον, τέκνων;
ΕΚ. Οὐ τῶν θανόντων Πριαμιδῶν ὑπ' Ἰλίῳ.
ΑΓ. Ἦ γάρ τιν' ἄλλον ἔτεκες, ἢ κείνους, γύναι;
ΕΚ. Ἀνόνητά γ', ὡς ἔοικε, τόνδ', ὃν εἰσορᾷς.
ΑΓ. Ποῦ δ' ὢν ἐτύγχαν', ἡνίκ' ὤλλυτο πτόλις;
ΕΚ. Πατήρ νιν ἐξέπεμψεν, ὀῤῥωδῶν θανεῖν.
ΑΓ. Ποῖ τῶν τότ' ὄντων χωρίσας τέκνων μόνον;
ΕΚ. Ἐς τήνδε χώραν, οὗπερ εὑρέθη θανών.
ΑΓ. Πρὸς ἄνδρ', ὃς ἄρχει τῆσδε Πολυμήστωρ χθονός;
ΕΚ. Ἐνταῦθ' ἐπέμφθη πικροτάτου χρυσοῦ φύλαξ.

---

μάτην, μὴ ὄντος αὐτοῦ τοιούτου; 733. Τί στρέφω τάδε] μέχρι δεῦρο καθ' ἑ-

ΑΓ. Εἰ κρύπτῃ με ταῦτα, καλῶς ποιεῖς· κἀμοὶ γὰρ ἥδιον τοῦτο.

ΕΚ. Ἀλλ' ἄνευ τούτου πῶς ἂν γενοίμην τιμωρὸς τοῖς ἐμαυτῆς τέκνοις; οὔκουν καιρὸς στρέφειν ταῦτα· τολμᾶν δ' ἀνάγκη κἂν τύχω, κἂν μὴ τύχω. Ἀγάμεμνον, ἱκετεύω σε, τῶν τε γονάτων, τῆς τε γενειάδος, καὶ τῆς σῆς εὐδαίμονος δεξιᾶς ἁπτομένη.

ΑΓ. Τί ποτε βούλει παρ' ἐμοῦ σοι γενέσθαι; μῶν ἐλευθερίας τυχεῖν ἐρᾷς; οὐδὲν τούτου ῥᾷον.

ΕΚ. Οὐ μενοῦν· ἑλοίμην γὰρ ἂν τὸν ἅπαντα δουλεύειν αἰῶνα, τοὺς ἐμαυτῆς ἐχθροὺς τισαμένη.

ΑΓ. Τίνος δὲ βοηθείας τυχεῖν παρ' ἐμοῦ ἀξιοῖς;

ΕΚ. Οὐδεμιᾶς, ὧν ὑπολαμβάνεις· ὁρᾷς δὲ τὸν νεκρὸν τοῦτον, οὗ τοσαῦτα δάκρυα καταχέω;

ΑΓ· Ὁρῶ· ἀλλ' οὐκ ἔχω συμβαλεῖν ὅ,τι εἴη.

ΕΚ Τοῦτον ἐγὼ αὐτὴ ποτὲ τυγχάνω τετοκυῖα.

ΑΓ. Τί φής; τῶν σῶν παίδων ἐστὶ καὶ οὗτος;

ΕΚ. Ἀλλ' οὐ τῶν ἐν Ἰλίῳ ἀποθανόντων.

ΑΓ. Ἦν δέ τις σοι παρ' ἐκείνους καὶ ἄλλος;

ΕΚ. Φροῦδος καὶ οὗτος, ὡς ὁρᾷς μετ' ἐκείνων.

ΑΓ· Ποῦ δὲ περιῆν, Τροίας ἁλισκομένης οὗτος;

ΕΚ. Ὁ πατὴρ αὐτὸν ὑπεξέθετο πρὸς σωτηρίαν μόνον.

ΑΓ. Ποῖ δήποτε, καὶ ὅπως τῶν ἄλλων μόνον;

ΕΚ. Ἐνταῦθ', ὅπου εὑρέθη τεθνηκὼς ἡμῖν ἀρτίως.

ΑΓ. Πρὸς τὸν ἡγεμόνα τῆς χώρας τῆσδε;

ΕΚ. Πρὸς τοῦτόν γε, φύλαξ χρυσοῦ ἀθλίου.

---

καὶ αὐτὴν ἐσκέπτετο, πότερον δεῖ ποιεῖν· νῦν δὲ τολμᾷ εἰπεῖν αὐτῷ τὸ γεγονὸς, καὶ αἰτῆσαι παρ' ἐκείνου βοήθειαν ἀμύνασθαι Πολυμήστορι. 737. Ἐλεύθερον αἰῶ-

ΑΓ. Θνήσκει δὲ πρὸς τοῦ, καὶ τίνος πότμου τυχών;
ΕΚ. Τίνος γ' ὑπ' ἄλλου; Θρῄξ νιν ὤλεσε ξένος.
ΑΓ. Ὦ τλῆμον, ἤπου χρυσὸν ἠράσθη λαβεῖν;
ΕΚ. Τοιαῦτ, ἐπειδὴ ξυμφορὰν ἔγνω Φρυγῶν.
ΑΓ. Εὗρες δὲ ποῦ νιν, ἢ τίς ἤνεγκεν νεκρόν;
ΕΚ. Ἥδ', ἐντυχοῦσα ποντίας ἀκτῆς ἔπι.
ΑΓ. Τοῦτον ματεύουσ', ἢ πονοῦσ' ἄλλον πόνον;
ΕΚ. Λοῦτρ ᾤχετ' οἴσουσ' ἐξ ἁλὸς Πολυξένῃ.
ΑΓ. Κτανὼν νιν, ὡς ἔοικεν, ἐκβάλλει ξένος.
ΕΚ. Θαλασσόπλαγκτόν θ', ὧδε διατεμὼν χρόα.
ΑΓ. Ὦ σχετλία σὺ τῶν ἀμετρήτων πόνων!
ΕΚ. Ὄλωλα, κοὐδὲν λοιπὸν, Ἀγάμεμνον, κακῶν.
ΑΓ. Φεῦ, φεῦ· τίς οὕτω δυστυχὴς ἔφυ γυνή;
ΕΗ. Οὐκ ἔστιν, εἰ μὴ τὴν τύχην αὐτὴν λέγοις.
Ἀλλ' ὧνπερ οὕνεκ' ἀμφὶ σὸν πίπτω γόνυ,
Ἄκουσον· εἰ μὲν ὅσιά σοι παθεῖν δοκῶ,
Στέργοιμ' ἄν· εἰ δὲ τοὔμπαλιν, σύ μοι γενοῦ
Τιμωρὸς ἀνδρὸς ἀνοσιωτάτου ξένου,
Ὃς οὔτε τοὺς γῆς νέρθεν, οὔτε τοὺς ἄνω
Δείσας, δέδρακεν ἔργον ἀνοσιώτατον,
Κοινῆς τραπέζης πολλάκις τυχὼν ἐμοὶ,
Ξενίας τ' ἀριθμῷ πρῶτα τῶν ἐμῶν φίλων·
Τυχὼν δ' ὅσων δεῖ, καὶ λαβὼν προμηθίαν,
Ἔκτεινε, τύμβου δ', εἰ κτανεῖν ἐβούλετο,
Οὐκ ἠξίωσεν, ἀλλ' ἀφῆκε πόντιον.
Ἡμεῖς μὲν οὖν δοῦλοί τε κἀσθενεῖς ἴσως·

---

...να, τὴν ἐλευθερίαν. 769. Εἰ μὴ τὴν τύχην] οὐδεὶς ἐμοῦ δυστυχέστερος, πλὴν

ΑΓ. Τέθνηκε δὲ πρὸς τίνος, καὶ τίνι τρόπῳ;

ΕΚ· Πρὸς τίνος ἄλλου, ἢ πρὸς Θρᾳκὸς τοῦ ξένου;

ΑΓ· Ὦ δύστηνε, ἵνα τὸν χρυσὸν, ὡς ἔοικεν, ἔχῃ.

ΕΚ· Δηλονότι, πεσούσης ἤδη τῆς Τροίας.

ΑΔ. Τίς δὲ, καὶ ποῦ εὑρὼν τὸν νεκρὸν, ἐκόμισεν ὧδε;

ΕΚ. Ἥδε, ἐντυχοῦσα αὐτῷ ἐπὶ τῆς ψάμμου.

ΑΓ. Τοῦτον ζητοῦσα, ἢ κατὰ συγκυρίαν;

ΕΚ. Λουτρὰ τῇ Πολυξένῃ ᾤχετο οἴσουσά μοι.

ΑΓ. Ὁ ξένος, ὡς ἔοικεν, ἔῤῥιψεν αὐτὸν, ἀνελών.

ΕΚ. Οὗτος ἐν τῷ κύματι, διατεμὼν τὸ σῶμα ὧδε.

ΑΓ. Ὦ δύστηνε σύγε, τῶν ἀνυποίστων συμφορῶν.

ΕΚ. Ἀπόλωλα, κοὐκέθ' ὑπόλοιπόν μοι παθεῖν οὐδέν.

ΑΓ. Φεῦ, φεῦ· οὐκ ἔστι σοῦ ὄντως γυνὴ ἀθλιωτέρα.

ΕΚ. Οὐκ ἔστιν, Ἀγάμεμνον, πλὴν εἰ μήτις αὐτὴν τὴν δυστυχίαν λέγοι· νῦν δ' ἄκουσον, ἃ πρὸς σοῦ μοι ἱκετεύω ὑπάρξαι· εἰ μὲν γὰρ δίκαια δοκῶ σοι πεπονθέναι, οὐδὲν ἂν εἴποιμι· εἰ δὲ ἀνόσια παρ' ἀνδρὸς ἀνοσιωτάτου, σύ μοι γενοῦ τιμωρὸς ἐπ' αὐτόν· ὃς μήτε τοὺς ὑπὸ γῆν, μήτε τοὺς ἄνω Θεοὺς φοβηθεὶς, δέδρακεν ἔργον ἀνοσιώτατον πάντων, καίτοι καὶ τραπέζης πολλάκις ἡμῖν γενόμενος κοινωνὸς, καὶ ξένος ὢν ἡμῖν ἐν τοῖς μάλιστα· δεξάμενος δὲ πᾶσαν τὴν περὶ τοῦ παιδὸς προμήθειαν παρὰ τοῦ πατρὸς, ἀνεῖλεν αὐτόν· καὶ οὐκ ἠρκέσθη τούτοις, ἀλλ' οὐδέγε ταφῆς ἠξίωσεν αὐτὸν ἀνελὼν, ῥίψας ἐν τοῖς κύμασιν ὑποβρύχιον. Ἡμεῖς τοίνυν ὁρᾷς ὅπως

---

αὐτὴ ἡ δυστυχία· Προσωποποιεῖ εἰθικῶς ἐνταῦθα τὴν δυστυχίαν ὁ ποιητής·

Ἀλλ' οἱ θεοὶ σθένουσι χὡ κείνων κρατῶν
Νόμος· νόμῳ γὰρ τοὺς θεοὺς ἡγούμεθα,
Καὶ ζῶμεν, ἄδικα καὶ δίκαι' ὡρισμένοι·
Ὃς ἐς σ' ἀνελθὼν εἰ διαφθαρήσεται,
Καὶ μὴ δίκην δώσουσιν, οἵτινες ξένους
Κτείνουσιν, ἢ θεῶν ἱερὰ τολμῶσιν φέρειν,
Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις ἴσον.
Ταῦτ' οὖν ἐν αἰσχρῷ θέμενος, αἰδέσθητί με,
Οἴκτειρον ἡμᾶς, ὡς γραφεύς τ' ἀποσταθεὶς,
Ἰδοῦ με, κἀνάθρησον, οἷ' ἔχω κακά.
Τύραννος ἦν ποτ', ἀλλὰ νῦν δούλη σέθεν,
Εὔπαις πότ' οὖσα, νῦν δὲ γραῦς ἄπαις θ' ἅμα,
Ἄπολις, ἔρημος, ἀθλιωτάτη βροτῶν.
Οἴμοι τάλαινα, ποῖ μ' ὑπεξάγεις πόδα;
Ἔοικα πράξειν οὐδέν· ὦ τάλαιν' ἐγώ!
Τί δῆτα θνητοὶ τἄλλα μὲν μαθήματα
Μοχθοῦμεν, ὡς χρὴ, πάντα, καὶ μαστεύομεν,
Πειθὼ δὲ, τὴν τύραννον ἀνθρώποις μόνην,
Οὐδέν τι μᾶλλον ἐς τέλος σπουδάζομεν,
Μισθοὺς διδόντες, μανθάνειν, ἵν' ᾖ ποτὲ
Πείθειν, ἅ τις βούλοιτο, τυγχάνειν θ' ἅμα;
Πῶς οὖν ἔτ' ἄν τις ἐλπίσαι πράξειν καλῶς;
Οἱ μὲν τοσοῦτοι παῖδες οὐκέτ' εἰσί μοι.

---

778. Προμηθίαν] πρόνοιαν, χρήματα. 782. Χὡ κείνων κρατῶν νόμος] καὶ ὁ νόμος ἐκείνων ὁ ἔχων τὸ κράτος ἐν τῷ βίῳ, δι' ὃν θεοὺς ὑπάρχειν νομίζομεν, καὶ δι' ὃν ζῶμεν ἐν κοινωνίᾳ μετ' ἀλλήλων, τίνα δίκαια, καὶ τίνα ἄδικά εἰσι, τάξαντες δι' αὐτοῦ. τὸ δὲ, Ὡρισμένοι, ἐν μέσῃ διαθέσει ἐκληπτέον, οὕτω γάρ μοι δοκεῖ ἄμεινον ἔχειν, τὸ Ἄδικα καὶ δίκαια ἄμφω ἀναφέροντι πρὸς τὸ Ὡρισμένοι· εἰ δὲ ἀποδοῖμεν τὸ ἄδικα εἰς τὸ Ζῶντες, ἑρμηνευτέον οὕτω· καὶ ζῶμεν ἀδίκως, καίτοι ὡρισμένοι ζῆν δικαίως 785. Φέρειν] ἄγειν καὶ φέρειν, κινεῖν, παραβαίνειν τὰ ἱε-

ἐσμὲν ἀσθενεῖς, οἷα εἰκὸς ἐν δουλείᾳ· ἀλλ' οἱ Θεοί εἰσιν ἰσχυροὶ, καὶ ὁ νόμος ἐκείνων, δι' ὃν τιμῶνται παρ' ἡμῶν, καὶ δι' ὧν ζῶμεν, ἄδικά τε καὶ δίκαια ἑαυτοῖς ὁρισάμενοι, ὁμοίως ἐστὶν ἰσχυρός· ὃν ἐκπεριελθόντα εἰς σὲ, εἰ μὴ τηρήσειας, μηδὲ δίκην δοῖεν οἱ Θεῶν ἱερὰ παραβάντες, ἀποκτανόντες ξένους, οὐκ ἔσθ' εὑρεῖν δίκαιον ἐν ἀνθρώποις. Ταῦτ' οὖν ἐν δεινῷ τιθέμενος, αἰδέσθητί με, οἴκτειρον τοὐμὸν γῆρας, ἐφ' οἷς ἐσμὲν πεπονθότες, ἐμβλέψας εἰς ἡμᾶς, ὡς γραφεὺς πόῤῥωθεν, οἷα κακὰ φέρω· ἦν μὲν γὰρ ὅτε κἀγὼ βασίλισσα ἦν, νῦν ἀριθμοῦμαι ἐν τοῖς δούλοις τοῖς σοῖς, αἰχμάλωτος ἀγομένη· καλλίπαις μὲν ποτε, νῦν δ' ἄτεκνος ὅλως τῶν πάντων ἀγαθῶν ἐν βραχυτάτῳ ῥυέντων χρόνῳ· γραῦς, ἄπολις, ἔρημος, πάντων ἀνθρώπων ἀθλιωτάτη. Ἀλλ' οἴμοι τῆς δυςυχίας, ποῖ μεθίστασαι, διακενῆ με καταλιπών; ὦ τάλαιν' ἐγώ, ἔοικα μηδὲν καταπράξεσθαι κακῶς ἄρα πράττεται παρὰ τοῖς ἀνθρώποις· τὰ μὲν γὰρ ἄλλα ἐκμανθάνουσι πάντα· ῥητορικῆς δὲ, τὴν πλείστην ἰσχὺν ἐχούσης παρ' αὐτοῖς, ἀμελοῦσι, καίτοι ἐχρῆν περὶ ταύτην ἐκ μεγάλων συντάξεων τὸ πλεῖστον ποιήσασθαι τῆς σπουδῆς, ἵν', ἃ ποθ' ἡμῖν βουλομένοις ἂν ᾖ κατορθοῦν, ῥᾷον ἔχοιμεν πείθειν· πῶς οὖν ἂν εἴη μοι τοῦ λοιποῦ εὐτυχῆσαι, οὐκ ἔχω συμβαλεῖν· οἱ μὲν γὰρ παῖδες ἀπώλοντο

---

ρά· ὅ ἐστι, τοὺς τῆς ξενίας νόμους, ἐν οἷς προηγοῦνται σπονδαί, καὶ θυσίαι, καὶ ὅρ-
κοι. 790. Ἀποσταθεὶς] σταθεὶς μακρόθεν· σύνηθες γὰρ τοῖς ζωγράφοις, μεθιςα-
μένους τῶν εἰκόνων, ἃς ἂν γράφωσι, σκέπτεσθαι αὐτὰς, εἰ καλῶς ἔχοιεν. 795
Ὑπεξάγεις πόδα] ὑπεχώρησεν ἐνταῦθα Ἀγαμέμνων μικρὸν, ἀμφιῤῥέπων ἔ[illegible]

Αὐτὴ δ' ἐπ' αἰσχροῖς αἰχμάλωτος οἴχομαι·
Καπνὸν δὲ πόλεως τόνδ' ὑπερθρώσκονθ' ὁρῶ.
Καὶ μὴν (ἴσως μὲν τοῦ λόγου κενὸν τόδε,
Κύπριν προβάλλειν· ἀλλ' ὅμως εἰρήσεται·)
Πρὸς σοῖσι πλευροῖς παῖς ἐμὴ κοιμίζεται
Ἡ φοιβὰς, ἣν καλοῦσι Κασάνδραν Φρύγες.
Ποῦ τὰς φίλας δῆτ' εὐφρόνας δείξεις, ἄναξ,
Ἢ τῶν ἐν εὐνῇ φιλτάτων ἀσπασμάτων
Χάριν τιν' ἕξει παῖς ἐμὴ, κείνης δ' ἐγώ;
Ἐκ τοῦ σκότου γὰρ τῶν τε νυκτέρων πάνυ
Φίλτρων μεγίστη γίγνεται βροτοῖς χάρις·
Ἄκουε δή νυν· τὸν θανόντα τόνδ' ὁρᾷς;
Τοῦτον καλῶς δρῶν ὄντα κηδεστὴν σέθεν
Δράσεις· ἑνός μοι μῦθος ἐνδεής ἔτι.
Οἴμοι γένοιτο φθόγγος ἐν βραχίοσι
Καὶ χερσὶ καὶ κόμαισι καὶ ποδῶν βάσει,
Ἢ Δαιδάλου τέχναισιν, ἢ θεῶν τινὸς,
Ὡς πάνθ' ὁμαρτῇ σῶν ἔχοιτο γουνάτων
Κλαίοντ', ἐπισκήπτοντα παντοίους λόγους.
Ὦ δέσποτ', ὦ μέγιστον Ἕλλησιν φάος,
Πιθοῦ, πάρασχε χεῖρα τῇ πρεσβύτιδι
Τιμωρὸν, εἰ καὶ μηδέν ἐστιν, ἀλλ' ὅμως.

---

ποτὲ ποιοίη· οὐ γὰρ ἐβούλετο Πολυμήστορα κακῶς δρᾶν φίλον ὄντα. 817. Κηδεστὴς] γυναικάδελφος. 819. Ἐν βραχίοσι] ὅμοια ταῦτα, οἷς αὐτῷ πεποίηται κὰν Ἠλέκτρᾳ. ἴδε αὐτόθι στίχ. 536. καὶ ἑξῆς. 321. Δαιδάλου] ἀγαλματοποιὸς ἦν Δαίδαλος ἄριστος· ὥστε τὰ ὑπ' αὐτοῦ πλαστουργούμενα δόκησιν παρεῖχε κινεῖσθαι διὰ τελειότητα, καὶ προΐετο φωνήν. Τὸ δὲ Ὁμαρτῇ, ὁμοιόσημόν ἐστι τῷ ὁμοῦ. θεὸν δὲ τὸν Ἥφαιστον μᾶλλον ἐννοητέον

πάντες· αὐτὴ δ' αἰχμάλωτος αἰσχρῶς περιάγομαι· καπνὸς δ' ἐκεῖνος ὑπερθρώσκει τὴν πόλιν· μή τι ἡ Ἀφροδίτη ἐν τούτοις χαρήσεταί μοι; ἀλλὰ καὶ τοῦτ' αὖ δοκεῖ μοι ἀμφίβολον εἶναι, ἀλλὰ τολμητέον. Ἀγάμεμνον, οἶσθα Κασάνδραν τὴν ἐμὴν θυγατέρα, πρὸς ταῖς σαῖς πλευραῖς παρακλινομένην· ποῦ τοίνυν θήσῃ αὐτός γε τὰς εὐφροσύνους νύκτας; τίνα δὲ χάριν τῶν ἐκεῖθεν φιλτάτων ἀσπασμάτων τῇ τ' ἐμῇ θυγατρὶ, κἀμοὶ δι' ἐκείνην ἕξεις; ἐκ γὰρ νυκτερινῶν φίλτρων πολλὰ πολλάκις τοῖς ἀνθρώποις χαρίεντα πέφυκε γίγνεσθαι· καί μοι σύντεινον πρὸς ὀλίγον τὸ οὖς· ὁρᾷς τὸν νεκρὸν τοῦτον; κηδεστής ἐστι σός· καλῶς οὖν ποιῶν, εὖ δράσεις τοῦτον· ἓν δ' ἔτι μοι ὑπόλοιπον εὔξασθαι· εἴθε μοι εἴη λόγος ἐν βραχίοσιν, ἐν χεροῖν, ἐν ποδοῖν, ἐν κόμαις, ἤτοι τέχνῃ τινὶ Δαιδάλου, ἢ δυνάμει Θεῶν τινὸς, ἵνα πάνθ' ὁμοῦ τῶν σῶν γονάτων ἁψάμενα, κλαίοντα, παντοίους ἐπισκήπτοντα λόγους, οἷά τε ὦσι πείθειν. Ἀλλ' ὦ δέσποτα, μέγιστον Ἑλλάδος κλέος, πείθου μοι, πάρεσχε χεῖρα βοηθείας τῇ πρεσβύτιδι τῇδε, καίτοι μηδὲν ἔτι οὔσῃ, ἀλλ' ὅμως... χρησοῦ

726. Ἀλλ' ὅμως] ἀναπληρωτέον τοῦτο ὡδί. Ἀλλ' ὅμως διὰ τὸ δίκαιον αὐτὸ δεῖσε τίσασθαι τὸν τούτου φονέα. 829. Ὡς ἅπαντα συμπιτνεῖ.] συμπίπτουσι πάντα, καλὰ καὶ κακὰ, μεταβαλλόμενα εἰς πᾶν τοὐναντίον, τῶν φίλων ἐχθρῶν γενομένων, καὶ ἀνάπαλιν· διώρισαν δὲ τὰς ἀνάγκας οἱ νόμοι, εἴτ' οὖν ἐβεβαίωσαν, ὥστε ἐν ἀνάγκαις τὸν μὲν φίλον ἐχθρὸν γενέσθαι, τὸν δὲ ἐχθρὸν φίλον· καὶ ταῦτα μὲν οὐκ οἶδ' ὅπως καὶ γράφων, οὐ πείθομαι· ὅσον δὲ ἐκ τῶν κειμένων, τοῦθ' οἷός τε ἐγενόμην ἐννοεῖν· εἰ δὲ μεταβάλοιμεν τὸ κείμενον, τὸ μὲν Ἀνάγκας εἰς τὸ Ἀνάγκαι, τὸ δὲ Νόμοι εἰς τὸ Νόμους κινοῦντες, εὐοδοῖτ' ἂν μᾶλλον

Ἐσθλοῦ γὰρ ἀνδρὸς τῇ δίκῃ θ' ὑπηρετεῖν,
Καὶ τοὺς κακοὺς δρᾷν πανταχοῦ κακῶς ἀεί.
ΧΟ. Δεινόν γε, θνητοῖς ὡς ἅπαντα συμπιτνεῖ,
Καὶ τὰς ἀνάγκας οἱ νόμοι διώρισαν,
Φίλους τιθέντες τούς γε πολεμιωτάτους,
Ἐχθρούς τε τοὺς πρὶν εὐμενεῖς ποιούμενοι·
ΑΓ. Ἔγωγε καὶ σὸν παῖδα καὶ τύχας σέθεν,
Ἑκάβη, δι' οἴκτου, χεῖρά θ' ἱκεσίαν ἔχω,
Καὶ βούλομαι θεῶν θ' οὕνεκ' ἀνόσιον ξένον
Καὶ τοῦ δικαίου τήνδε σοι δοῦναι δίκην,
Εἴ πως φανείη γ', ὥστε σοί τ' ἔχειν καλῶς,
Στρατῷ τε μὴ δόξαιμι Κασάνδρας χάριν
Θρῄκῃ ἄνακτι τόνδε βουλεῦσαι φόνον·
Ἔστιν γὰρ ᾗ ταραγμὸς ἐμπέπτωκέ μοι·
Τὸν ἄνδρα τοῦτον φίλιον ἡγεῖται στρατὸς,
Τὸν κατθανόντα δ' ἐχθρόν· εἰ δέ σοι φίλος
Ὅδ' ἐστὶ, χωρὶς τοῦτο κοὐ κοινὸν στρατῷ.
Πρὸς ταῦτα φρόντιζ'· ὡς θέλοντα μέν μ' ἔχεις
Σοὶ ξυμπονῆσαι καὶ ταχὺν προσαρκέσαι,
Βραδὺν δ', Ἀχαιοῖς εἰ διαβληθήσομαι.
ΕΚ. Φεῦ, οὐκ ἔστι θνητῶν, ὅστις ἔστ' ἐλεύθερος·
Ἢ χρημάτων γὰρ δοῦλός ἐστιν, ἢ τύχης,
Ἢ πλῆθος αὐτὸν πόλεος, ἢ νόμων γραφαὶ
Εἴργουσι χρῆσθαι μὴ κατὰ γνώμην τρόποις.
Ἐπεὶ δὲ ταρβεῖς τῷ τ' ὄχλῳ πλέον νέμεις,
Ἐγώ σε θήσω τοῦδ' ἐλεύθερον φόβου.
Ξύνισθι μὲν γὰρ, ἤν τι βουλεύσω κακὸν
Τῷ τόνδ' ἀποκτείναντι, συνδράσῃς δὲ μή.

γὰρ ἀνδρὸς δικαίοις μὲν προστίθεσθαι· τοὺς δὲ κακοὺς καὶ φαύλους κακῶς δρᾷν.

ΧΟ. Ὡς δεινόν ἐστιν, ἡνίκα τὰ πράγματα τοῖς ἀνθρώποις συγχέονται· αἱ γὰρ ἀνάγκαι καὶ αὐτοὺς τοὺς νόμους μετέβαλον, φίλους μὲν ποιοῦσαι τοὺς πολεμιωτάτους· ἐχθροὺς δὲ τοὺς πρὶν φίλους ὄντας.

ΑΓ. Σὲ μὲν, ὦ Ἑκάβη, καὶ τὸν παῖδα τὸν σὸν οἰκτείρω, ἐφ' οἷς πάσχεις, καὶ βούλομαι μὲν Θεῶν ἕνεκα χαρίσασθαι ταῦτά σοι, εἴγε δυνατὸν εἴη ἔμοιγε, ὥστε καὶ τοῦτο καλῶς συμπρᾶξαι, καὶ τῷ στρατῷ μὴ δόξαιμι, ὡς χαριζόμενος τῇ Κασάνδρᾳ, συνήνεσά σοι ἀνελεῖν τὸν τῆς Θρᾴκης κρατοῦντα· ἔστι γάρ τι ἐντεῦθεν τὴν ἐμὴν διάνοιαν ἐκταράττον· οἶσθα γὰρ τὸν μὲν ἄνδρα τοῦτον φίλον γεγενημένον παντὶ τῷ στρατῷ· τὸν δ' ἀποθανόντα, ἐχθρόν· εἰ δ' οὗτος ἐγὼ φίλος σοι, οὐδὲν τοῦτο πρὸς τὸν στρατόν· πρὸς ταῦτα οὖν ἴσθι με βουλόμενον μὲν συμπρᾶξαί σοι ὅ,τι ποτ' ἂν οἷός τε ὦ, ἀνακοπτόμενον δὲ τῇ διανοίᾳ, μή τι με οἱ Ἕλληνες αἰτιάσωνται.

ΕΚ. (Φεῦ) οὐδεὶς ἄρα τῶν ἀνθρώπων ἐστὶν ἐλεύθερος οὐδαμοῦ· ἢ γὰρ χρημάτων, ἢ τύχης, ἢ δήμου, ἢ νόμων ἥττων ἐσθ' ἕκαστος, καὶ οὐκ ἂν ἔχοι ἐλευθέρως τοῖς πράγμασι χρῆσθαι· ἀλλ' ἐπειδὴ ὑπόνοιά τις, ὡς φῇς, μεταξὺ τὴν σὴν ὑποτρέχει διάνοιαν, καὶ τὸ πλέον ἀπονέμεις τῷ πλήθει, ἐγώ σοι ἐξαιρήσω τὸν φόβον τοῦτον· σύνισθι μὲν γὰρ, εἰ ἐγὼ δίκην λήψομαι παρὰ τοῦ ἀνελόντος τοῦτον, δράσεις δ' αὐτὸς μηδέν· εἶργε δὲ μόνον τὸν στρατὸν ἀφανῶς μη-

ὥσπερ ἐποίησεν ἄντικρυς ἐν τῇ παραφράσει. 834. Χεῖρά θ' ἱκεσίαν] ἐλεῶ δηλ· τὴν σὴν χεῖρα, ἥν προτείνεις πρός με ἱκετεύουσα. 837. εἴπως φανείη] εἰ δυνατόν μοι σοί τε καλῶς ταῦτα παρέχειν, κἀγὼ μὴ δοξαίμι τοῖς Ἕλλησι φίλῳ

Ἦν δ' ἐξ Ἀχαιῶν θόρυβος, ἢ 'πικουρία,
Πάσχοντος ἀνδρὸς Θρῃκὸς, οἷα πείσεται,
Φανῇ τις, εἶργε, μὴ δοκῶν ἐμὴν χάριν·
Τὰ δ' ἄλλα θάρσει· πάντ' ἐγὼ θήσω καλῶς.
ΑΓ. Πῶς οὖν; τί δράσεις; πότερα φάσγανον χερὶ
Λαβοῦσα γραία, φῶτα βάρβαρον κτενεῖς.
Ἢ φαρμάκοισιν, ἢ 'πικουρία τινί;
Τίς σοι ξυνέσται χείρ; πόθεν κτήσῃ φίλους;
ΕΚ. Στέγαι κεκεύθασ' αἵδε Τρῳάδων ὄχλον.
ΑΓ. Τὰς αἰχμαλώτους εἶπας, Ἑλλήνων ἄγραν;
ΕΚ. Ξὺν ταῖσδε τὸν ἐμὸν φονέα τιμωρήσομαι.
ΑΓ. Καὶ πῶς γυναιξὶν ἀρσένων ἔσται κράτος;
ΕΚ. Δεινὸν τὸ πλῆθος, ξὺν δόλῳ τε δύσμαχον.
ΑΓ. Δεινόν· τὸ μέντοι θῆλυ μέμφομαι γένος.
ΕΚ. Τί δ'; οὐ γυναῖκες εἷλον Αἰγύπτου τέκνα,
Καὶ Λῆμνον ἄρδην ἀρσένων ἐξῴκισαν;
Ἀλλ' ὣς γενέσθαι, τόνδε μὲν μέθες λόγον·
Πέμψον δέ μοι τήνδ' ἀσφαλῶς διὰ στρατοῦ
Γυναῖκα· καὶ σὺ Θρῃκὶ πλαθεῖσα ξένῳ,
Λέξον· Καλεῖ σ' ἄνασσα δήποτ' Ἰλίου
Ἑκάβη, σὸν οὐκ ἔλασσον ἢ κείνης χρέος,

ἀνδρὶ τυρεῦσαι φόνον, χαριζόμενος τῇ Κασάνδρᾳ. 869. Αἴγυπτος καὶ Δαναὸς ἀδελφοὶ ἦσαν ἐν Ἄργει, ὧν ὁ μὲν ἔσχεν υἱοὺς πεντήκοντα· ὁ δὲ Δαναὸς ἴσας θυγατέρας· φθονήσας δὲ οὗτος Αἴγυπτον τῆς ἀῤῥενοτοκίας, ἐξέωσεν αὐτὸν εἰς Αἴγυπτον, χρόνῳ δὲ ἐκεῖνος γενόμενος δυνατὸς, ἦλθεν εἰς Ἄργος τιμωρησόμενος τὸν Δαναὸν τῆς φυγῆς, ἣν ἔφυγεν ὑπ' αὐτοῦ. Ἐκ τούτου οὖν συναλλαγέντων, καὶ συνθεμένων, ἐφ' ᾧ οἱ πεντήκοντα παῖδες λήψονται τὰς πεντήκοντα θυγατέρας εἰς γυναῖκας, αἱ παρθένοι αὗται ἐκ συμβουλῆς τοῦ πατρὸς ἐφόνευ-

δένα θόρυβον ποιεῖν, μήδ᾽ ἐπικουρίαν ἐκείνῳ πάσχοντι, οἷα πείσεται, παρασχεῖν, τὰ δ᾽ ἄλλα θάῤῥει· εὖ γάρ μοι πεπράξεται πάντα.

ΑΓ· Πῶς δὲ δράσεις ταῦτα; πότερον ξίφει φρονεῖς ἐπιέναι αὐτῷ ἀνδρὶ ὄντι, γυνὴ αὐτὴ καὶ μάλιστα γραῦς ἤδη οὖσα, ἢ φαρμάκοις ἐπ᾽ αὐτὸν χρησαμένη; ἢ ἄλλην τινὰ ἄλλοθεν ἔχεις χεῖρα βοηθόν; ἀλλὰ πόθεν σοι φίλοι πρὸς τὸ τόλμημα ἔσονται τοῦτο;

ΕΚ· Πολὺς ὄχλος Τρῳάδων εἰσὶν ἐντὸς τῶν σκηνῶν·

ΑΓ. Τὰς αἰχμαλώτους φής; μὴ καὶ γελοῖον ᾖ ταῦτα λέγειν.

ΕΚ. Μετὰ τούτων ἔγωγε λήψομαι δίκην παρ᾽ ἐκείνου.

ΑΓ. Καὶ πῶς ἂν γυναῖκες ἀνδρῶν γένοιντο κρείττους;

ΕΚ. Δεινὸν τὸ πλῆθος, καὶ ταῦθ᾽ ὁρμώμενον ἐκ δόλου.

ΑΓ. Δεινόν γε πάντως, ἀλλὰ μέμφομαι τὰς γυναῖκας.

ΕΚ. Πῶς; τίνες γάρ ποτε Αἰγύπτου ἀπέκτειναν τοὺς παῖδας; τίνες δ᾽ αὖ τὴν Λῆμνον ἀνδρῶν ἐξερήμωσαν; οὐ γυναῖκες; ἀλλ᾽ ὅπως ἔσται τοῦτο, μηδέν σοι μελέτω· ἄφες τοῦτ᾽ ἔμοιγε· σὺ δέ μοι δίες τὴν γυναῖκα ταυτηνὶ ἀσφαλῶς πρὸς τὸν Θρᾷκα. Δεῦρο δὴ σὺ αὐτὴ ἴθι ὡς τὸν ξένον ἐροῦσ᾽ αὐτῷ ἐν ὑποκρίσει, ὡς Ἑκάβη ἡ ποτὲ βασίλισσα Τροίας καλεῖ σέ τε, καὶ τοὺς παῖδας τοὺς σούς· ὃ γὰρ ἔχει ἐξειπεῖν σοι, σύμφορον ὂν ἀμφοτέροις ἀπὸ

---

σαν τοὺς ἑαυτῶν ἄνδρας ἐν τῇ εὐνῇ ὁμοφώνως, πλὴν μία ἡ Ὑπερμνήστρα, ἥτις ἐφείσατο τοῦ Λυγκέως· Τὸ δ᾽ αὖ τῆς Λήμνου τοιοῦτον λέγεται· αἱ γυναῖκες αὐτόθι, ἐπειδὴ ἔλιπον ἑορτήν τινα κατ᾽ ἔθος γενομένην, τῷ θεῷ, ἐνέβαλεν αὐταῖς ἡ Ἀφροδίτη δυσωδίαν, ὥστε μὴ δύνασθαι τοὺς ἄνδρας πλησίον γενέσθαι, αἱ δὲ ὑποτοπήσασαι καταπεφρονῆσθαι, ἀπέκτεινον πάντας. 873. Ἀλλ᾽ ὡς γενέσθαι] ἀλλ᾽ ὡς δεῖ γενέσθαι. ἴδε Τρῳ. στίχ. 728. διορθοῦσι τοῦτο εἰς τὸ Γενέσθω, οὐ καλῶς. 873. Καὶ σὺ] ὦ γύναι, πλαθεῖσα, πελασθεῖσα, πλησιάσασα

Καὶ παῖδας· ὡς δεῖ καὶ τέκν' εἰδέναι λόγους
Τοὺς ἐξ ἐκείνης. Τὸν δὲ τῆς νεοσφαγοῦς
Πολυξένης ἐπίσχες, Ἀγάμεμνον, τάφον,
Ὡς τώδ' ἀδελφὼ πλησίον μιᾷ φλογὶ,
Δισσὴ μέριμνα μητρὶ, κρυφθῆτον χθονί.

ΑΓ. Ἔσται τάδ' οὕτω· καὶ γὰρ, εἰ μὲν ἦν στρατῷ
Πλοῦς, οὐκ ἂν εἶχον τήνδε σοι δοῦναι χάριν·
Νῦν δ', (οὐ γὰρ ἵησ' οὐρίους πνοὰς θεὸς,)
Μένειν ἀνάγκη, πλοῦν ὁρῶντας ἥσυχον.
Γένοιτο δ' εὖ πως· πᾶσι γὰρ κοινὸν τόδε,
Ἰδίᾳ θ' ἑκάστῳ καὶ πόλει, τὸν μὲν κακὸν
Κακόν τι πάσχειν, τὸν δὲ χρηστὸν εὐτυχεῖν.

ΧΟ. Σὺ μὲν, ὦ πατρὶς Ἰλιὰς, (Στρ. ά.
Τῶν ἀπορθήτων πόλις οὐκέτι λέξῃ·
Τοῖον Ἑλλάνων νέφος ἀμφί σε κρύπτει
Δορὶ δὴ, δορὶ πέρσαν.
Ἀπὸ δὲ στεφάναν κέκαρσαι
Πύργων, κατὰ δ' αἰθάλου
Κηλῖδ' οἰκτροτάταν κέχρωσαι,
Τάλαιν', οὐκέτι σ' ἐμβατεύσω.
Μεσονύκτιος ὠλλύμαν, (Ἀντ. ά.)
Ἦμος ἐκ δείπνων ὕπνος ἡδὺς ἐπ' ὄσσοις
Κίδναται, μολπᾶν δ' ἄπο καὶ χοροποιῶν
Θυσιᾶν καταπαύσας
Πόσις, ἐν θαλάμοις ἔκειτο,

880. Δισσὴ μερίμνα] ἡ διπλῆ φροντὶς τῆς μητρός. ἐν ἄλλοις δὲ κεῖται εἰς δοτικὴν οὐ καλῶς. 889. Ἥσυχον] νῦν γὰρ νηνεμία ἐστίν. 892. Ἀπὸ δὲ στεφά-

τοῦ ἴσου, βούλεται καὶ τοὺς σοὺς παῖδας ὁμοίως εἰδέναι τοῦτο· σὺ δ', ὦ Ἀγάμεμνον, ἐπίσχες μικρὸν τὴν τῆς Πολυξένης ἔτι ταφήν· ἵνα μιᾷ πυρᾷ ἀμφοτέρους τοὺς νεκροὺς, τὴν διττὴν τῆς μητρὸς ταύτην φροντίδα, ἐκ μιᾶς ἐπιμελείας τῇ γῇ ἀναγκαίως παραδῶμεν.

ΑΓ· Ἔσται ταῦθ' οὕτως· εἰ μὲν γὰρ ἐξῆν τοῖς Ἕλλησιν ἀναχθῆναι, οὐκ ἂν εἶχον χαρίσασθαί σοι ταῦτα· νῦν δ' ἀπλοίας ἔτ' οὔσης, παραμένειν ἀνάγκη· εἴη δέ σοι ταῦτα κατὰ θυμὸν συμβῆναι· συμφέρει γὰρ καὶ πόλει καὶ ἰδιώτῃ τὸν μὲν κακὸν, κακῶς ἀπολέσθαι· τὸν δὲ χρηστὸν, εὖ πράττειν.

ΧΟ. Σὺ μὲν, ὦ πατρὶς, οὐκέτι πόλις ἀπόρθητος προσαγορευθήσῃ· τοσοῦτον ἤδη καλύπτει σε πλῆθος Ἑλλήνων, ἐξελόντων σε πολέμῳ· τούς τε γὰρ πύργους ἄνωθεν ἀποκέκαρσαι πάμπαν, καὶ τὸ ὅλον ἀπησβόλωσαι πανταχόθεν· τάλαιν' ἐγὼ, ὡς οὐκέτι ἐν σοὶ κατοικήσω!

Μόλις ἐπὶ τοῖς ὀφθαλμοῖς ἡδὺς διασκίδναται ὕπνος, κἀγὼ μεσονύκτιος ἡ δύστηνος ἀπωλόμην· ὁ δ' ἀνὴρ οὑμὸς ἀπὸ τοῦ πασσάλου ἐξαρτήσας τὸ δόρυ, ὡς μηκέθ' ὁρῶν στρατὸν ἐπιόντα, τῆς τ' ᾠδῆς καὶ τῶν θυσιῶν πεπαυμένος, ἀνεπαύετο ἐν τῷ θαλάμῳ.

Ἐμοῦ γὰρ τὰ περὶ τοὺς βοστρύχους, ὅπως ἂν ἔχοι μοι καλῶς πρὸς ὕπνον, ἀσκούσης πρὸς ἔνοπτρα χρυσᾶ, θόρυβος διῆκεν ἀνὰ πᾶσαν τὴν πόλιν, παρακελεύσμα-

---

ϖων κέκαρσαι] τμῆσις τοῦτο· ἔστι δὲ, ἀποκέκαρσαι τὴν στεφάνην τῶν πύργων. στεφάνη δὲ ἡ ἄνω περιφέρεια πράγματός τινος, ὡς καὶ τῶν τεχῶν· τὸ δὲ Κρύπτει μικρὸν ἀνωτέρω, ἐν ἄλλοις κεῖται Καλύπτει. καὶ ἔτι κατωτέρω ἀντὶ τοῦ Αἰθάλου, Αἰθάλῳ κηλῖδι, ἐπιθετικῶς. 894. Κέχρωσαι] κατακέχρωσαι. 898.

Ξυστὸν δ' ἐπὶ πασσάλῳ,
Ναύταν οὐκέθ' ὁρῶν ὅμιλον
Τροίαν Ἰλιάδ' ἐμβεβῶτα·
Ἐγὼ δὲ πλόκαμον ἀναδέτοις (Στρ. β'.)
Μίτραισιν ἐῤῥυθμιζόμαν
Χρυσέων ἐνόπτρων
Λεύσσουσ' ἀτέρμονας εἰς αὐγὰς,
Ἐπιδέμνιος ὡς πέσοιμ' ἐς εὐνάν.
Ἀνὰ δὲ κέλαδος ἔμολε πόλιν·
Κέλευσμα δ' ἦν κατ' ἄστυ Τροίας
Τόδ'· Ὦ παῖδες Ἑλλάνων, πότε δὴ,
Πότε τὰν Ἰλιάδα σκοπιὰν
Πέρσαντες ἥξετ' οἴκους;
Λέχη δὲ φίλια μονόπεπλος (Ἀντ. β'.)
Λιποῦσα, Δωρὶς ὡς κόρα,
Σεμνὰν προσίζουσ'
Οὐκ ἥνυσ' Ἄρτεμιν ἁ τλάμων.
Ἄγομαι δὲ, θανόντ' ἰδοῦσ' ἀκοίταν
Τὸν ἐμὸν, ἅλιον ἐπὶ πέλαγος,
Πόλιν τ' ἀποσκοποῦσ', ἐπεὶ
Νόστιμον ναῦς ἐκίνησεν πόδα, καί μ'
Ἀπὸ γᾶς ὥρισεν Ἰλιάδος·
Τάλαιν', ἀπεῖπον ἄλγει,
Τὰν τοῖν Διοσκόροιν Ἑλέναν κάσιν, Ἰ- (Ἐπῳδός.)
Δαῖόν τε βούταν αἰνόπαριν κατάρᾳ
Διδοῦσ', ἐπεί με γᾶς
Ἐκ πατρῴας ἀπώλεσεν,
Ἐξῴκισέ τ' οἴκων γάμος, οὐ γάμος, ἀλλ'
Ἀλάστορός τις οἰζύς·
Ἂν μήτε πέλαγος ἅλιον ἀπαγάγοι πάλιν,
Μήτε πατρῷον ἵκοιτ' ἐς οἶκον.

τά τε διηκούετ' ἐκεῖνα. Ἴτε, ὦ παῖδες Ἑλλήνων, χωρεῖτε· πότε γὰρ πότε, ἐξελόντες Τροίαν, εἰς φίλην απονοστήσετε γαῖαν;

Μονόπεπλος δὲ, ὡς κόρη Δωρὶς, ἐκλιποῦσα τὴν ἐμὴν φίλην εὐνὴν, προσέπεσον τῇ Ἀρτέμιδι, ἀλλ' ἤνυσα οὐδέν· ἄγομαι δὲ ἤδη πελάγιος, τόντ' ἐμαυτοῦ ἄνδρα κατιδοῦσα τεθνηκότα· καὶ τὴν πόλιν ἀποσκοποῦσα νῦν πεσοῦσαν· ἤδη γὰρ τῆς νεὼς ὀπισθόρμητον λαβούσης πλοῦν, τὴν φίλην ἀπολιποῦσα πατρίδα, ἀπάγομαι ἄλλοσε· τάλαινα ἐγώ! ἐκπίπτει μοι ἡ καρδία ὑπὸ τοῦ πάθους!

Καταρῶμαι δὲ τῇ Ἑλένῃ τῇ τῶν Διοσκούρων ἀδελφῇ, Πάριδί τε τῷ ἐν Ἴδῃ ποτὲ κακῷ βουκόλῳ, ὡς τῆς ἐμῆς ἀπωλείας γενομένοιν αἰτίοιν· ὁ γὰρ γάμος τούτων (εἰ δεῖ γάμον λέγειν, ἀλλ' οὐχὶ μᾶλλον ἀλάστορος δαίμονος, καὶ Ἐριννύος ἐπήρειαν) ἄντικρυς ἀπώλεσέ με· ἀλλ' ἐκείνη μὴ ἵκοιτο οἴκαδε ἐς πατρῷον πώποτ' ἔδαφος, πέλαγος ὅλον διαπεραιωθεῖσα.

---

Χοροποιῶν] ἐν ἄλλοις κεῖται χαροποιῶν· 902. Ξυστὸν δ' ἐπὶ πασσάλῳ ἦν; ἢ τοιοῦτό τι· κατὰ δὲ παρένθεσιν ἀναγνωστέον τοῦτο. 907. Ἀτέρμονας] εἰς αὐγὰς μὴ ἐχούσας τέρμα· τὰ γὰρ κυκλωτερῆ, ὡς καὶ τὰ σφαιρικὰ τέρμα ἔχουσιν οὐδαμοῦ καὶ πανταχοῦ· ἔστι δὲ, εἰς κάτοπτρον κυκλωτερές. 908. Ἐπιδέμνιος ὡς πέσοιμι] δέμνιον μὲν στρῶμά τι κατὰ γῆς· ἐπιδέμνιος δὲ ὁ ἐπ' αὐτοῦ ἀνακεκλιμένος· σημείωσαι δὲ καὶ τὸ Πέσοιμι, ἀντὶ τοῦ Κατακλιναίμην· ὅπερ ἔτι καὶ νῦν ἐν τῇ Ἑλλάδι ἡ συνήθεια σώζει. 912. Σκοπιὰν] τὴν ἀκρόπολιν. 915. Δωρὶς κόρα] τὰς γὰρ Δωρίδας, εἴτ' οὖν Σπαρτιάτιδας μονοχίτωνας ἐν τοῖς ἀγῶσί φασι παρουσιάζεσθαι. ἴδε Εὐριπ. Ἀνδρομ. στίχ 588. 919. Ἄλιον ἐπὶ πέλαγος] ἀπόδος τοῦτο εἰς τὸ Ἄγομαι ἀνωτέρω· τὸ δὲ, Ἀποσκοποῦσα, τὸ πόῤῥωθεν θεωροῦσα βούλεται λέγειν. 921. Νόστιμον] ἐπιστρεπτικὸν, παλινόρμητον· τὸ δὲ Ὤρισεν, ἀντὶ τοῦ ἀφώρισεν. 925. Αἰνόπαριν] κακότροπον Πάριν. 929. Ἀλάστορος οἰζὺς] ἄτη καὶ βλάβη δαίμονος κακοποιοῦ.

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

## ΠΟΛΥΜΗΣΤΩΡ, ΕΚΑΒΗ, ΧΟΡΟΣ.

ΠΟ. Ὦ φίλτατ' ἀνδρῶν Πρίαμε, φιλτάτη δὲ σὺ,
Ἑκάβη, δακρύω σ' εἰσορῶν πόλιν τε σὴν,
Τήν τ' ἀρτίως θανοῦσαν ἔκγονον σέθεν.
(Φεῦ) οὐκ ἔστιν οὐδὲν πιστὸν, οὔτ' εὐδοξία,
Οὔτ' αὖ καλῶς πράσσοντα μὴ πράξειν κακῶς.
Φύρουσι δ' αὔθ' οἱ θεοὶ πάλιν τε καὶ πρόσω,
Ταραγμὸν ἐντιθέντες, ὡς ἀγνωσίᾳ
Σέβωμεν αὐτούς. ἀλλὰ ταῦτα μὲν τί δεῖ
Θρηνεῖν, προκόπτοντ' οὐδὲν ἐς πρόσθεν κακῶν;
Σὺ δ' εἴ τι μέμφῃ τῆς ἐμῆς ἀπουσίας,
Σχές· τυγχάνω γὰρ ἐν μέσοις Θρήκης ὅροις
Ἀπὼν, ὅτ' ἦλθες δεῦρ'· ἐπεὶ δ' ἀφικόμην,
Ἤδη πόδ' ἔξω δωμάτων αἴροντί μοι
Ἐς ταυτὸν ἥδε συμπιτνεῖ δμωῒς σέθεν,
Λέγουσα μύθους, ὧν κλύων ἀφικόμην·
ΕΚ. Αἰσχύνομαί σε προσβλέπειν ἐναντίον,
Πολυμῆστορ, ἐν τοιοῖσδε κειμένη κακοῖς.
Ὅτῳ γὰρ ὤφθην εὐτυχοῦσ', αἰδώς μ' ἔχει,

932. Ὦ φίλτατε Πρίαμε] οὐ καλεῖ αὐτὸν, τεθνηκότα ἤδη· ἀλλὰ θρηνεῖ μᾶλλον, τὴν οἰκογένειαν αὐτοῦ ἅπασαν ὁρῶν ἀπολωλυῖαν· ἄρχεται δὲ φιλοσοφεῖν περὶ τῆς μεταβολῆς ἐφ' ἑκάτερα τῶν ἀνθρωπίνων πραγμάτων, ἀναφέρων ταῦτα πρὸς Πρίαμον, μὴ εἰδὼς, ὡς αὐτίκα ταῦτα πείσεται καὶ αὐτός. 938

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

## ΠΟΛΥΜΗΣΤΩΡ, ΕΚΑΒΗ, ΧΟΡΟΣ.

ΠΟ. Ὦ φίλτατε πάντων Πρίαμε, φιλτάτη δὲ καὶ σὺ Ἑκάβη, ἀλγῶ ἐπὶ σοὶ, τῇτε πόλει τῇ σῇ, καὶ τῇ θυγατρὶ τῇ ἀρτίως ἀποθανούσῃ· φεῦ, ὡς οὐκ ἔστιν ἐν τῷ βίῳ μηδὲν κακότητος ἄμικτον· οὔτ' εὐτυχία, εἰς δυστυχίαν ποθ' ὕστερον μὴ μεταβαλοῦσα· οὕτως οἱ Θεοὶ ἄγουσι καὶ φέρουσι τὰ ἀνθρώπινα, ἵν' αὐτῶν ἀδήλων ἡμῖν ἐν τῷ μέλλοντι ὄντων, πολλὴν πρὸς αὐτοὺς εὐσέβειαν ἔχοιμεν· ἀλλὰ τί δεῖ θρηνεῖν ταῦτα, μὴ δυνάμενα εἰς τὸ πρῶτον μεταβληθῆναι σχῆμα; σὺ δὲ, εἴτι σοι δοκῶ μὴ ἐν καιρῷ παραγενέσθαι, μὴ θαύμαζε· ἡνίκα γὰρ ἦλθες ὧδε, ἐτύγχανον ἀπιὼν πόῤῥωπη κατὰ μέσην τὴν Θρᾴκην· ἤδη δὲ μέλλοντι ἐξελθεῖν πρὸς σὲ τῆς οἰκίας, ἐντυγχάνει μοι ἡ θεραπαινὶς, ἀγγέλλουσα τὰ παρὰ σοῦ, ὧν ἕνεκα πάρειμι.

ΕΚ. Αἰσχύνομαι προσβλέπειν σε, Πολυμήστωρ, οὕτως ἔχουσ', ὡς ἔχω νῦν· ᾧ γὰρ ὤφθην ποτὲ εὐδαίμων, τοῦτον ὀρθοῖς

---

Ὡς ἀγνωσίᾳ σέβωμεν αὐτοὺς] ἵνα μὴ εἰδότες τὸ μέλλον, καὶ φοβούμενοι μήτι πάθωμεν, σεβώμεθα τούτους, δεόμενοι αὐτῶν σώζεσθαι. 940. Προκόπτοντα] προχωροῦντα ἔμπροσθεν τῶν κακῶν· ὅ ἐστι μὴ δυνάμενα λιπεῖν τὰ κακὰ ὀπίσω· ἐὰν γὰρ μείνωσι τὰ κακὰ ὀπίσω, δῆλον, ὅτι αὐτὰ μὲν ἔρχονται εἰς λήθην, τὰ δὲ καλὰ χωροῦσιν ἔμπροσθεν αὐξόμενα. ἴδε καὶ Ἱππόλ. στίχ. 1311. καὶ ἑξῆς. 942. Τυγχάνω] ἀντιχρονισμὸς, ἀντὶ τοῦ ἐτύγχανον. 947. Αἰσχύνομαι] μὴ ἀνεχομένη ἡ πολυπαθὴς γραῦς βλέπειν πρὸς τοιοῦτον ἐχθρὸν,

Ἐν τῷδε πότμῳ τυγχάνουσ', ἵν' εἰμὶ νῦν,
Κοὐκ ἂν δυναίμην προσβλέπειν σ' ὀρθαῖς κόραις·
Ἀλλ' αὐτὸ μὴ δύσνοιαν ἡγήσῃ σέθεν,
Πολυμῆστορ· ἄλλως δ' αἴτιόν τι καὶ νόμος,
Γυναῖκας ἀνδρῶν μὴ βλέπειν ἐναντίον.
ΠΟ. Καὶ θαῦμά γ' οὐδέν· ἀλλὰ τίς χρεία σ' ἐμοῦ;
Τί χρῆμ' ἐπέμψω τὸν ἐμὸν ἐκ δόμων πόδα;
ΕΚ. Ἴδιον ἐμαυτῆς δή τι πρὸς σὲ βούλομαι
Καὶ παῖδας εἰπεῖν σούς· ὀπάονας δέ μοι
Χωρὶς κέλευσον τῶνδ' ἀποστῆναι δόμων.
ΠΟ. Χωρεῖτ'· ἐν ἀσφαλεῖ γὰρ ἥδ' ἐρημία.
Φίλη μὲν ἡμῖν εἶ σὺ, προσφιλὲς δέ μοι
Στράτευμ' Ἀχαιῶν· ἀλλὰ σημαίνειν σε χρὴ,
Τί χρὴ τὸν εὖ πράσσοντα μὴ πράσσουσιν εὖ
Φίλοις ἐπαρκεῖν· ὡς ἕτοιμός εἰμ' ἐγώ.
ΕΚ. Πρῶτον μὲν εἰπὲ παῖδ' ὃν ἐξ ἐμῆς χερὸς
Πολύδωρον ἔκ τε πατρὸς ἐν δόμοις ἔχεις,
Εἰ ζῇ· τὰ δ' ἄλλα δεύτερόν σ' ἐρήσομαι.
ΠΟ. Μάλιστα· τοὐκείνου μὲν εὐτυχεῖς μέρος.
ΕΚ. Ὦ φίλταθ', ὡς εὖ κἀξίως σέθεν λέγεις.
ΠΟ. Τί δῆτα βούλει δεύτερον μαθεῖν ἐμοῦ;
ΕΚ. Εἰ τῆς τεκούσης τῆσδε μέμνηταί τί μου.
ΠΟ. Καὶ δεῦρό γ' ὥς σε κρύφιος ἐζήτει μολεῖν.
ΕΚ. Χρυσὸς δὲ σῶς, ὃν ἦλθεν ἐκ Τροίας ἔχων;
ΠΟ. Σῶς, ἐν δόμοις γε τοῖς ἐμοῖς φρουρούμενος.
ΕΚ. Σῶσόν νυν αὐτὸν, μηδ' ἔρα τῶν πλησίον.

---

προσποιεῖται αἰσχύνεσθαι, ἐφ' οἷς δῆθεν δυστυχεῖ. 960. Χωρεῖτε] ἐξέλθετε.

προσβλέπειν τοῖς ὄμμασιν, τῶν πραγμάτων εἰς πᾶν τοὐναντίον μοι περιστάντων, αἰδώς με κατέχει. διὸ μὴ δύσνοιάν τινα τοῦθ' ὑπάρχειν πρὸς σεαυτὸν ἡγήσῃ· ἄλλως τε καὶ νόμου ὄντος, γυναῖκας ἐναντίον πρὸς ἄνδρας μὴ προσβλέπειν·

ΠΟ. Οὐδὲν θαυμαςόν· ἀλλὰ τί ποτε δεομένη μετεπέμψω με;

ΕΚ. Ἀπόῤῥητόν τι πρὸς σὲ καὶ τοὺς σοὺς παῖδας κοινώσασθαι βούλομαι· ἀλλὰ κέλευσον μικρὸν τοὺς θεράποντας μεταστῆναι.

ΠΟ. Χωρεῖθ' ὑμεῖς ἐκποδών· ἀσφαλῆ γὰρ τὰ τῇδε· οὔτε γὰρ φίλη μοι εἶ, καὶ ὁ τῶν Ἑλλήνων στρατὸς ὁμοίως· ὥρα οὖν σε λέγειν ὅ,τι ποτὲ βούλει πρὸς ἐμοῦ εὐτυχοῦντος ὑπάρξαι σοι δυςυχούσῃ· κέλευε μόνον καὶ ἔσται σοι πᾶν τόγε δυνατόν.

ΕΚ. Πρῶτον μὲν Πολύδωρον, ὃν ἔκ τε τῆς τοῦ πατρὸς, καὶ τῆς ἐμῆς ἐδέξω ἀγκάλης, βούλομαι εἰδέναι, εἰ ζῇ.

ΠΟ. Μάλιστα· εὖ σοι τὰ κατ' ἐκεῖνον ἔχει.

ΕΚ. Ὦ φίλτατε, ὡς ἀξίως σεαυτοῦ ταῦτα λέγεις.

ΠΟ. Ἐκ δὲ τούτου τί ποθ' ἕτερον παρ' ἐμοῦ μαθεῖν ἀξιοῖς;

ΕΚ. Εἰ κἀμοῦ τῆς μητρός ποτε μνήμην ἔχει.

ΠΟ. Πῶς γὰρ οὔ; καὶ νῦν ἠξίου μετ' ἐμοῦ ἐλθεῖν δεῦρο.

ΕΚ. Ὁ δὲ χρυσὸς σῶς ἐστιν, ὃν ἧκεν ἔχων;

ΠΟ. Μάλιςα, ἀκριβῶς παρ' ἐμοὶ φυλαττόμενος.

ΕΚ. Σῶζε ἐκεῖνον, τῶν ἀλλοτρίων ἀπεχόμενος ὅλως.

---

πρὸς τοὺς οἰκέτας ταῦτα. 969. Ὡς εὖ κἀξίως σέθεν λέγεις] ἢ χλευάζουσα ἐκεῖνον ταυτά φησιν, ἢ ὡς ψευδῆ ταῦτα, καὶ ἄξια τοῦ ψευδομένου λέγει·

ΠΟ. Ἥκιστ'· ὀναίμην τοῦ παρόντος, ὦ γύναι,
ΕΚ. Οἶσθ' οὖν, ἃ λέξαι σοί τε καὶ παισὶν θέλω;
ΠΟ. Οὐκ οἶδα· τῷ σῷ τοῦτο σημανεῖς λόγῳ.
ΕΚ. Ἔστω φιληθεὶς, ὡς σὺ νῦν ἐμοὶ φιλεῖ.
ΠΟ. Τί χρῆμ', ὃ κἀμὲ καὶ τέκν' εἰδέναι χρεών;
ΕΚ. Χρυσοῦ παλαιαὶ Πριαμιδῶν κατώρυχες.
ΠΟ. Ταῦτ' ἔσθ', ἃ βούλει παιδὶ σημῆναι σέθεν;
ΕΚ. Μάλιστα, διὰ σοῦ γ'· εἶ γὰρ εὐσεβὴς ἀνήρ.
ΠΟ. Τί δῆτα τέκνων τῶνδε δεῖ παρουσίας;
ΕΚ. Ἄμεινον, ἢν σὺ κατθάνῃς, τούσδ' εἰδέναι.
ΠΟ. Καλῶς ἔλεξας τῇδε καὶ σοφώτερον.
ΕΚ. Οἶσθ' οὖν Ἀθάνας Ἰλίας ἵνα στέγαι.
ΠΟ. Ἐνταῦθ' ὁ χρυσός ἐστι; σημεῖον δὲ τί;
ΕΚ. Μέλαινα πέτρα γῆς ὑπερτέλλουσ' ἄνω.
ΠΟ. Ἔτ' οὖν τι βούλει τῶν ἐκεῖ φράζειν ἐμοί;
ΕΚ. Σῶσαί σε χρήμαθ', οἷς ξυνεξῆλθον, θέλω.
ΠΟ. Ποῦ δῆτα; πέπλων ἐντὸς ἢ κρύψασ' ἔχεις;
ΕΚ. Σκύλων ἐν ὄχλῳ ταῖσδε σώζεται στέγαις.
ΠΟ. Ποῦ δ'; αἵδ' Ἀχαιῶν ναύλοχοι περιπτυχαί.
ΕΚ. Ἴδιαι γυναικῶν αἰχμαλωτίδων στέγαι.
ΠΟ. Τἄνδον δὲ πιστὰ, κἀρσένων ἐρημία;
ΕΚ. Οὐδεὶς Ἀχαιῶν ἔνδον, ἀλλ' ἡμεῖς μόναι.
Ἀλλ' ἕρπ' ἐς οἴκους· καὶ γὰρ Ἀργεῖοι νεῶν
Λῦσαι ποθοῦσιν οἴκαδ' ἐκ Τροίας πόδα·
Ὡς πάντα πράξας, ὧν σε δεῖ, στείχῃς πάλιν
Ξὺν παισὶν, οὗπερ τὸν ἐμὸν ᾤκισας γόνον.
ΧΟ. Οὔπω δέδωκας, ἀλλ' ἴσως δώσεις δίκην·

ΠΟ. Πολλή γε ἀνάγκη· ἐγὼ δ' ὀναίμην τῶν ἰδίων.
ΕΚ· Οἶσθα δ' ἅ σοι καὶ τοῖς σοῖς παισὶ μέλλω λέγειν;
ΠΟ. Οὐ δῆτα, πρὶν ἂν αὐτὴ ἐξείπῃς πρῶτον.
ΕΚ· Φίλει ἐκεῖνον, ὅσον κἀγὼ φιλῶ σε ἤδη.
ΠΟ. Τί δ' ἐστιν, ὃ χρὴ εἰδέναι ἐμέ τε καὶ τοὺς παῖδας;
ΕΚ. Θησαυροί τινες ἡμῖν εἰσι κατορωρυγμένοι.
ΠΟ. Ταῦτ' ἐστὶν, ἃ τῷ σῷ παιδὶ χρή με λέγειν;
ΕΚ. Μάλιστα· θεοσεβὴς γάρ τις δοκεῖς μοι εἶναι.
ΠΟ· Τῶν δ' ἐμῶν τούτων παίδων τίς ποτε χρεία;
ΕΚ. Ἢν γὰρ σὺ τελευτήσῃς, τούτους δεῖ ταῦτ' εἰδέναι.
ΠΟ. Προνοητικώτερά σοι ταῦτα καὶ σοφὰ δοκεῖ εἶναι.
ΕΚ. Οἶσθ' οὖν τὸν τῆς Ἀθηνᾶς ναὸν, ἔνθ' ἐστίν;
ΠΟ. Ἐκεῖ ἔστιν ὁ χρυσός; σημεῖον δὲ ποῖον;
ΕΚ. Μέλαινα, μικρὸν τῆς γῆς ἀνέχουσα, πέτρα.
ΠΟ. Εὖ ταῦτ' ἔχει· ἄλλο δὲ τί πρὸς τούτῳ;
ΕΚ. Σῶσαί σε χρὴ, καὶ ἃ νῦν ἥκω κομίσασα ἐνταῦθα.
ΠΟ. Ποῦ ἐστι ταῦτα; ἆρ' ἐν τοῖς πέπλοις κεῖται;
ΕΚ. Ἐν ταῖς σκηναῖς ὧδε μεταξὺ τῶν λαφύρων.
ΠΟ. Οὐχ ὁρῶ, εἰ μὴ ναυτικὰ ταῦθ' ἱστία.
ΕΚ. Γυναῖκες αἰχμάλωτοι χωρὶς οἰκοῦσιν.
ΠΟ. Ἔστι δέ τις ἔνδον τῶν ἀῤῥένων ὧδε;
ΕΚ. Οὐδὲ εἷς, πλὴν ἡμῶν μόνων· ἀλλ' εἴσελθε· ὁρῶ γὰρ καὶ τοὺς Ἕλληνας σπεύδοντας ἀναχθῆναι· ἵν' εὐθὺς πάντα πράξας, ὡς δεῖ, ἐπανήκῃς εὖ σὺν τοῖς παισὶν, ὅπου καὶ οὑμός ἐστι παῖς.
ΧΟ. Οὔπω μὲν, ὧν ἔπραξας, δίκην δέδωκας, ἀλλ', οὐκ ἂν

979. Ἔστω φιληθεὶς, ὡς σὺ νῦν ἐμοὶ φίλη] ἑτέραν ταῦθ' ὑποκρύπτει ἔννοιαν,

Αλίμενόν τις ὡς ἐς ἄντλον ἐμπεσὼν
Λέχριος, ἐκπέσῃ φίλας καρδίας,
Αμέρσας βίον· τὸ γὰρ ὑπέγγυον
Δίκᾳ καὶ θεοῖσιν οὐ ξυμπιτνεῖ
Ὀλέθριον, ὀλέθριον κακόν.
Ψεύσει σ' ὁδοῦ τῆσδ' ἐλπὶς, ἥ σ' ἐπήγαγε
Θανάσιμον πρὸς Αΐδαν, ὦ τάλας.
Απολέμῳ δὲ χειρὶ λείψεις βίον.

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΠΟΛΥΜΗΣΤΩΡ, ΗΜΙΧΩΡΙΟΝ, ΕΚΑΒΗ, ΑΓΑΜΕΜΝΩΝ.

ΠΟ. Ὤμοι τυφλοῦμαι φέγγος ὀμμάτων τάλας.
ΗΜ. Ἠκούσατ' ἀνδρὸς Θρῃκὸς οἰμωγὴν, φίλαι;
ΠΟ. Ὤμοι μάλ' αὖθις τέκνα δυστήνου σφαγῆς!
ΗΜ. Φίλαι πέπρακται καίν' ἔσω δόμων κακά.
ΠΟ. Αλλ' οὔτι μὴ φύγητε λαιψηρῷ ποδί·
Βάλλων γὰρ οἴκων τῶνδ' ἀναῤῥήξω μυχούς.
ΗΜ. Ἰδοὺ, βαρείας χειρὸς ὁρμᾶται βέλος.

παρ' ὃ ὁ Πολυμήστωρ ἀκούει. 1003. Εἰς ἄντλον ἐμπεσὼν] ὥστις ἐμπεσὼν εἰς πέλαγος, μὴ ἔχον λιμένα, λέχριος, ὕπτιος, οὕτως ἀπολέσεις τὸ ζῆν. 1006. Οὐ ξυμπτινεῖ] οἱ μὲν οὕτω γράφουσιν· οἱ δὲ τοπικῶς, Οὗ ξυμπιτνεῖ· ἀλλ' ἑκάτερα δύσληπτα, καὶ λίαν ἀσαφῆ· ῥητέον οὖν τὸ παριστάμενον. Τὸ ὑπέγγυον, ὅ ἐστιν, ὃ ὑπέγγυον ὂν δίκῃ καὶ θεοῖς (ὡς ὁ Πολυμήστωρ, ἢ καὶ ὁ Πολύδωρος] οὐ συμπιτνεῖ, οὐ συμφωνεῖ τοῖς πράγμασιν· ὅ ἐστιν, οὐ μένει πιστὸν

διαφύγοις· αὐτίκα γὰρ καταστρέψεις, ὥσπερ οἱ ἐν ἀλιμένῳ χωρίῳ ναυαγίῳ χρώμενοι· τὸ γὰρ τῇ δίκῃ καὶ τοῖς Θεοῖς ὑπέγγυον ὂν, τοῦτο παραβαινόμενον, ὀλέθριον κακὸν γίγνεται τοῖς ἀνθρώποις· ὧν δ' ἕνεκα ἦλθες, ταῦτα λήσει σε εἰς Ἅδου κατάγοντα· ἰὼ τάλας, ὅπως ἐξ ἀδυνάτου βραχίονος αὐτίκα κταταστρέψεις.

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΠΟΛΥΜΗΣΤΩΡ, ΗΜΙΧΟΡΙΟΝ, ΕΚΑΒΗ, ΑΓΑΜΕΜΝΩΝ.

ΠΟ. Οἴμοι· τοῦ φωτὸς ἀπεσέρημαι τῶν ὀμμάτων.

ΗΜ. Ἠκούσατ', ὦ φίλαι, οἷα ὁ Θρᾷξ οἰμώζει ἔνδον;

ΠΟ. Οἴμοι αὖθις, ὡς ἀπησέρημαι καὶ τῶν παίδων.

ΗΜ. Φίλαι, δεινὰ καινὰ δοκεῖ ἔνδον πεπρᾶχθαι.

ΠΟ. Ἀλλ' οὐκ ἂν τὰς ἐμὰς ἐκφύγοιτε χεῖρας· αὐτίκα γὰρ ἐκβαλῶ ἁρμοὺς, καὶ τοίχους πάντας ἐφ' ἡμᾶς διαῤῥήξω.

ΗΜ. Βαρείας χειρὸς ἰσχὺς ὡρμήθη· καιρὸς ἄρ', εἰ δοκεῖ, συνει-

ὡς συνεφωνήθη, ὀλέθριον τοῖς παραβάσι γίνεται κακόν· ὅ ἐστιν. Ὃς τήν τε τῶν ἀνθρώπων δίκην, καὶ τοὺς θεοὺς ἐναντίους ἔχει ἐπὶ παραβάσει ἐγγυήσεως, ἀπολεσθήσεται· ταῦτα μὲν οὕτως· εἰ δὲ γράψαιμεν ἐρωτηματικῶς ἐν ἀποφαντικῷ, οὐ συμπιτνεῖ; ἀνακύψει ἡ αὐτὴ ἡ ἔννοια ὡδί. τὸ ὑπὸ τὴν ἐγγύησιν (ὡς ὁ Πολύδωρος) τῆς δίκης καὶ τῶν θεῶν, οὐ συμπίπτει; οὐ φυλάττεται; ὀλέθριον τῷ παραβαίνοντι κακόν· 1017. Ἰδοὺ] τὸ Ἡμιχόριον λέγει ταῦτα· ἐπειδὰν γὰρ ὁ Χορὸς πρὸς ἑαυτὸν ποιῆται τοὺς λόγους, διαιρούμενος εἰς δύο ἡμιχόρια, διαλέγεται. 1019. Τρῳάσι] ταῖς γυναιξὶν ἐντὸς τῶν σκηνῶν, 1020. Ἀ-

Βούλεσθ' ἐπεσπέσωμεν; ὡς ἀκμὴ καλεῖ
Ἑκάβῃ παρεῖναι Τρῳάσιν τε συμμάχους.
ΕΚ. Ἄρασσε, φείδου μηδὲν, ἐκβάλλων πύλας·
Οὐ γάρ ποτ' ὄμμα λαμπρὸν ἐνθήσεις κόραις,
Οὐ παῖδας ὄψει ζῶντας, οὓς ἔκτειν' ἐγώ.
ΧΟ. Ἦ γὰρ καθεῖλες Θρῆκα, καὶ κρατεῖς ξένου,
Δέσποινα, καὶ δέδρακας, οἷάπερ λέγεις;
ΕΚ. Ὄψει νιν αὐτίκ' ὄντα δωμάτων πάρος
Τυφλὸν τυφλῷ στείχοντα παραφόρῳ ποδὶ,
Παίδων τε δισσῶν σώμαθ', οὓς ἔκτειν' ἐγὼ
Ξὺν ταῖς ἀρίσταις Τρῳάσιν· δίκην δέ μοι
Δέδωκε· χωρεῖ δ', ὡς ὁρᾷς, ὅδ' ἐκ δόμων.
Ἀλλ' ἐκποδὼν ἄπειμι κἀποστήσομαι
Θυμῷ ζέοντι Θρῃκὶ δυσμαχωτάτῳ.
ΠΟ. Ὤμοι ἐγὼ,
Πᾷ βῶ, πᾷ στῶ, πᾷ κέλσω;
Τετράποδος βάσιν θηρὸς ὀρεστέρου
Τιθέμενος ἐπὶ χεῖρα κατ' ἴχνος;
Ποίαν, ἢ ταύταν, ἢ τάνδ'
Ἐξαλλάξω,
Τὰς ἀνδροφόνους μάρψαι χρῄζων
Ἰλιάδας, αἵ με διώλεσάν;
Τάλαιναι, τάλαιναι, κόραι Φρυγῶν,
Ὦ κατάρατοι, ποῖ καί με φυγᾷ
Πτώσσουσι μυχῶν;
Εἴθε μοι ὀμμάτων αἱματόεν βλέφαρον
Ἀκέσαι, ἀκέσαιο τυφλὸν, Ἅλιε,
Φέγγος ἀπαλλάξας!
Ἆ ἆ σίγα, σίγα, κρυπτὰν
Βάσιν αἰσθάνομαι τᾶνδε γυναικῶν.

σπεσεῖν καὶ ἡμᾶς, ἐφ' ᾧ τῇθ' Ἑκάβῃ καὶ ταῖς περὶ αὐτὴν βοηθεῖν ὅ,τι δέοι·

ΕΚ. Ἄρασσε νῦν, ἔκβαλε θύρας, φείδου μηδὲν μηδενός· οὐκέτι γὰρ ἐξομματώσεις σεαυτόν· οὐδὲ τοὺς παῖδας, οὓς ἔσφαξα νῦν ἐγὼ, ὄψει ζῶντας.

ΗΜ. Πάντως, ὦ δέσποινα σύγε, καθεῖλες τὸν Θρᾷκα;

ΕΚ. Ἔγωγε· ὄψει δ' αὐτὸν αὐτίκ' ἐξιόντα παραφόρῳ ποδί. καὶ τοὺς παῖδας αὐτοῦ, ὑπ' ἐμοῦ τε καὶ τῶν ἀρίστων Τρῳάδων ἐσφαγμένους· ἀξίαν οὖν δίκην λαβοῦσα ἔχω· Ἀλλ' ὁρᾷς τὸν ἀλητήριον προκύπτοντα; ἀποστῶ μικρὸν Θρᾳκὸς ἀποτεταυρωμένου, κἀκ πολλοῦ ὁρμωμένου θυμοῦ.

ΠΟ. Οἴμοι τῶν κακῶν, ποῖ πορευθῶ; πῆ στῶ; ποῖ μεταβῶ; ὥσπερ γὰρ θηρίον, τετράπους χερσίτε ποσίτε βαίνων, ζητῶ ποτέραν ταύτην, ἢ ἐκείνην βαδίσω, τὰς ἀνδροφόνους, αἵ με διώλεσαν, ἐπιθυμῶν διαῤῥῆξαι. Τάλαιναι, τάλαιναι κόραι Φρυγῶν· ἰὼ, ἰὼ κατάρατοι, ποῖ ποτε τῶν μυχῶν τουτωνὶ τὰς ἐμὰς διαφευξεῖσθε χεῖρας; Ἥλιε, σέγε τὸ μέγα καλῶ ἄστρον· εἴθε μοι εἴθε ἀκέσειας τὰς ὄψεις, φέγγος ἀντὶ τοῦ σκότους ἐντιθεὶς ὡς τὸ πρῶτον. Ἆ, ἆ· σίγα, σίγα· γυναῖκας ᾔσθημαι τάσδε ὑποδραμούσας ἀκροβατῶς.

---

ρασσε] ἐκπηδήσασα ἡ Ἑκάβη, ἐξυβρίζει ἐκεῖνον, λέγουσα ταῦτα. 1034. βάσιν] τετράποδος θηρὸς ἀγρίου βάσιν (βάδισμα) λαβὼν κατά τε τὰς χεῖρας καὶ τοὺς πόδας, ποίαν ὁδὸν βαδίσω; τυφλὸς γὰρ ὢν ἤδη, ταῖς τῶν χειρῶν ἀφαῖς κύψας ἀνακρίνειν πειρᾶται, ὅποι οἱ βαδιστέον. 1042. Πτώσσουσι] ποῦποτε τῶν μυχῶν καταδύσονται, πτοούμεναί με; 1045. Φέγγος ἀπαλλάξας] ἀπαλλάξας τοὺς ὀφθαλμοὺς τοῦ σκότους εἰς φέγγος· λίαν δὲ ἀσαφῶς εἴρηκε διὰ τὴν ταραχήν· αἰτεῖ δὲ τοῦτο καλῶς παρὰ τοῦ ἡλίου ὡς πηγῆς τοῦ φωτός. 1046. Ἆ ἆ.] ἀκούσας τῶν γυναικῶν βαδιζουσῶν ἀκροβατῶς, ζητεῖ ἡσυχίαν, ὅπως

Πᾷ πόδ' ἐπάξας, σαρκῶν ὀ-
Στέων τ' ἐμπλησθῶ,
Θοίναν ἀγρίων θηρῶν τιθέμενος.
Ἀρνύμενος λώβαν,
Λύμας ἀντίποιν' ἐμᾶς; ὢ τάλας!
Ποῖ, πᾷ φέρομαι, τέκν' ἔρημα λιπὼν
Βάκχαις Ἅδου διαμοιρᾶσαι,
Σφακτὰν κυσί τε φοινίαν δαῖτ', ἀνή-
Μερόν τ' οὐρείαν ἐκβολάν;
Πᾷ στῶ, πᾷ κάμψω, πᾷ βῶ,
Ναῦς ὅπως ποντίοις πείσμασι λινόκροκον
Φάρος στέλλων,
Ἐπὶ τάδε συθεὶς τέκνων ἐμῶν φύλαξ
Ὀλέθριον κοίταν;

ΧΟ. Ὦ τλῆμον, ὥς σοι δύσφορ' εἴργασται κακά·
Δράσαντι δ' αἰσχρὰ, δεινὰ τἀπιτίμια
Δαίμων ἔδωκεν, ὅστις ἐστί σοι βαρύς.

ΠΟ. Αἶ αἶ, ἰὼ Θρήκης
Λογχοφόρον, ἔνοπλον, εὔιππον, Ἄρει
Κάτοχον γένος!
Ἰὼ Ἀχαιοὶ, ἰὼ Ἀτρεῖδαι!
Βοὰν, βοὰν ἀϋτῶ, βοάν·
Ὦ ἴτε, μόλετε πρὸς θεῶν.
Κλύει τις, ἢ οὐδεὶς ἀρκέσει; τί μέλλετε;
Γυναῖκες ὤλεσάν με,
Γυναῖκες αἰχμαλώτιδες.
Δεινὰ, δεινὰ πεπόνθαμεν.
Ὤμοι ἐμᾶς λώβας!
Ποῖ τράπωμαι; ποῖ πορευθῶ;
Αἰθέρ' ἀμπτάμενος οὐράνιον ὑ-
Ψιπετὲς ἐς μέλαθρον,
Ὠρίων ἢ Σείριος ἔνθα πυρὸς φλογέας ἀφίη-

φεῦ, ποῦ ἔλθω; ὅπως τῶν σαρκῶν τε καὶ ὀστέων τῶν ἀγρίων ἐμφορηθεὶς θηρίων, δίκην, ὧν πέπονθα παρ' αὐτῶν, ἀξίαν λάβω; ἰὼ τάλας, ἀλλὰ ποῖ αὖθις φέρομαι, ταῖς βάκχαις ὀπίσω καταλιπὼν τὰ τέκνα διατεμεῖν αὐτὰ θηρσί τε ὀρεσιτρόφοις καὶ κυσὶν, ὥστε γενέσθαι βρῶμα; οἴμοι, πῆ στῶ; πῆ κάμψω στρέψας, ὥσπερ ναῦς τοῖς ἱστίοις, ἐπὶ τὴν ὀλέθριον ταύτην κοίτην, ἵνα φύλαξ τῶν ἐμαυτοῦ παίδων γένωμαι;

ΧΟ. Ὦ τλῆμον, ὡς ἀνύποιστά σοι πέπρακται τὰ παρόντα· οἷα γὰρ δέδρακας, τοιαῦτα καὶ τἀπιτίμια ἀνταποδέδοταί σοι παρὰ τῆς τύχης· ἣ ὡς χαλεπωτάτῃ ἐνέτυχας τήμερον

ΠΟ. Αἶ, αἶ· ἰὼ Θρᾷκες, λογχοφόρον, εὔιππον, ἔνοπλον ἀρειμανὲς γένος· ἰὼ Ἕλληνες, ἰὼ Ἀτρεῖδαι· βοῇ, βοῇ βοῶ πρὸς ἡμᾶς· ἴτε, χωρεῖτε, δράμετε πρὸς ἡμᾶς, σπεύσατε πρὸς Θεῶν· ἆρ' οὐκ ἀκούει τις; ἢ οὐδεὶς ἐπαρκέσει μοι; τί μέλλετε; γυναῖκες, γυναῖκες ἀπώλεσάν με· γυναῖκες αἰχμαλώτιδες· δεινὰ δεινὰ πεπόνθαμεν· οἴμοι τῆς ἐμῆς

---

πρὸς τὰ ἴχνη ὁρμήσας, λάβῃ τινὰ, ὥς' ἀμύνασθαι τῆς βλάβης. 1053. Ποῖ φέρομαι] προχωρήσας μικρὸν, ἐπιςρέφει πάλιν πρὸς φύλαξιν τῶν παιδίων. 1060. Συθὺς] κινηθεὶς, ἐν ἄλλοις Ἐσσυθείς· ἡ δὲ τάξις τῶν ὀνομάτων ἔχει ὧδέ. Πᾶ ςῶ, συθεὶς ἐπὶ τάνδε τὴν ὀλέθριον κοίταν φύλαξ τῶν ἐμῶν παίδων, ςέλλων (κινῶν ἐμαυτὸν) ὥσπερ (κινεῖ) ἡ ναῦς τὸ λινόκροτον φᾶρος (τὸ ἱςίον) ποντίοις πείσμασι (τοῖς θαλασσίοις σχοινίοις) 1079. Ὠρίων, ἢ Σείριος] ἀςέρες οὗτοι τῶν ἐπισημοτέρων. 1082. Πορθμὸν] τὸν Ἀχέροντα ποταμὸν τὸν ἄγοντα

Σιν ὅσσων αὐγάς;
Ἢ τὸν ἐς ἄϊδα μελανοχρῶτα πορ-
Θμὸν ᾄξω τάλας.
ΧΟ. Ξύγγνωσθ', ὅταν τις κρείσσον' ἢ φέρειν κακὰ
Πάθῃ, ταλαίνης ἐξαπαλλάξαι ζόης.
ΑΓ. Κραυγῆς ἀκούσας ἦλθον· οὐ γὰρ ἥσυχος
Πέτρας ὀρείας παῖς λέλακ' ἀνὰ στρατὸν
Ἠχὼ, διδοῦσα θόρυβον· εἰ δὲ μὴ Φρυγῶν
Πύργους πεσόντας ἦσμεν Ἑλλήνων δορὶ,
Φόβον παρέσχ' ἂν οὐ μέσως ὅδε κτύπος.
ΠΟ. Ὦ φίλτατ'. (ᾐσθόμην γὰρ, Ἀγάμεμνον, σέθεν
Φωνῆς ἀκούσας.) εἰσορᾷς ἃ πάσχομεν;
ΑΓ. Ἔα! Πολυμῆστορ ὦ δύστηνε, τί σ' ἀπώλεσεν;
Τίς ὄμμ' ἔθηκε τυφλὸν, αἱμάξας κόρας,
Παῖδάς τε τούσδ' ἔκτεινεν; ἦ μέγαν χόλον
Σοὶ καὶ τέκνοισιν εἶχεν, ὅστις ἦν ἄρα.
ΠΟ. Ἑκάβη με σὺν γυναιξὶν αἰχμαλωτίσιν
Ἀπώλεσ', οὐκ ἀπώλεσ', ἀλλὰ μειζόνως.
ΑΓ. Τί φής; σὺ τοὖργον εἴργασαι τόδ', ὡς λέγει;
Σὺ τόλμαν, Ἑκάβη, τήνδ' ἔτλης ἀμήχανον;
ΠΟ. Ὤμοι, τί λέξεις; ἦ γὰρ ἐγγύς ἐστί που;
Σήμηνον, εἰπὲ ποῦ 'σθ', ἵν' ἁρπάσας χεροῖν
Διασπάσωμαι καὶ καθαιμάξω χρόα.
ΑΓ. Οὗτος, τί πάσχεις;
ΠΟ. Πρὸς θεῶν σε λίσσομαι,
Μέθες μ' ἐφεῖναι τῇδε μαργῶσαν χέρα.

---

εἰς ᾅδην ἐννοεῖ. 1083. Σύγγνωσθ'] συγγνωστά. 1086. Πέτρας παῖς] παῖδα τῆς

δυστυχίας ποῖ τράπωμαι; ποῖ πορευθῶ; πότερον ὑψηπέτης ἀναπτῶ πρὸς τὸν οὐρανὸν, ἢ πρὸς τὴν ἄγουσαν εἰς τὸ ὑποχθόνιον σκότος;

ΧΟ. Οὐδὲν θαυμαστὸν τοὺς κρείσσω, ἢ κατ' ἄνθρωπον παθόντας δεινὰ, ἐθέλειν ἀπαλλαγῆναι τοῦ βίου.

ΑΓ. Κραυγῆς ἀκούσας οὐ σμικρᾶς, ἔσπευσα ὀψόμενος ὅ,τι εἴη· ἠχὼ γάρ τις, ὡς ἀπ' ὀρεινῆς πεσοῦσα πέτρας, θόρυβον μέγαν παρέσχε παντὶ τῷ στρατῷ· καὶ εἰ μὴ ἴσμεν Τροίαν ἑαλωκυῖαν, οὐκ ἂν μετρίῳ κατεσχέθημεν δέει.

ΠΟ· Ὦ φίλτατε Ἀγάμεμνον (ᾐσθόμην γάρ σε παραγεγενημένον ἀπό γε τῆς φωνῆς) ὁρᾷς, οἷα πάσχομεν;

ΑΓ· Ἔα, δύστηνε Πολυμήστωρ, τίς σε διέθηκεν οὕτω, τούς τ' ὀφθαλμοὺς ἐξορωρυχὼς, καὶ τοὺς παῖδας ἀπολωλεκὼς τουτουσί; ἦπου γ' ἐκ πολλοῦ πάθους δοκεῖ ἐπιπεσεῖν σοι, ὅστις ἦν οὗτος.

ΠΟ. Ἑκάβη μετὰ τῶν αἰχμαλώτων γυναικῶν ἀπώλεσέ με, εἰ τοῦτ' ἀπώλειαν, ἀλλ' οὐ καὶ μεῖζόν τι χρὴ λέγειν.

ΑΓ· Τί φής; σὺ, ὦ Ἑκάβη, ἔπραξας ταῦτα; σὺ τοιοῦτον καὶ τηλικοῦτον ἔργον ἀπετόλμησας εἰς ἄνδρα;

ΠΟ. Οἴμοι, τί φής; ᾧδ' ἐστιν αὕτη; σήμηνον δέομαι· εἰπὲ ποῦ ἐστιν, ἵνα συλλαβὼν τὴν ὄλεθρον διαῤῥήξω.

ΑΓ. Οὗτος, τί οὕτω μαίνῃ; ἔχ' ἀτρέμας.

ΠΟ. Πρὸς Θεῶν, Ἀγάμεμνον, ἄφες ἐπιβαλεῖν αὐτῇ τὰς ἀκαταμαχήτους χεῖρας ταύτας.

---

πέτρας καλεῖ τὴν ἠχῶ· ἐκεῖθεν γὰρ ἡ φωνὴ προσβάλλουσα, ἀντεκπέμπεται κατὰ γωνίαν τῆς ἀνακλάσεως ἴσην τῇ τῆς προπτώσεως. 1100. Τί λέξεις] ἀντὶ τοῦ Λέγεις ἐν Ἐνεστῶτι. ἀκούσας γὰρ Πολυμήστωρ τὸ τῆς Ἑκάβης ὄνομα, καὶ

ΑΓ. Ἴσχ'· ἐκβαλὼν δὲ καρδίας τὸ βάρβαρον,
Λέγ', ὡς ἀκούσας σοῦ τε τῆσδέ τ' ἐν μέρει,
Κρίνω δικαίως, ἀνθ' ὅτου πάσχεις τάδε.
ΠΟ. Λέγοιμ' ἄν· ἦν τις Πριαμιδῶν νεώτατος
Πολύδωρος, Ἑκάβης παῖς, ὃν ἐκ Τροίας ἐμοὶ
Πατὴρ δίδωσι Πρίαμος ἐν δόμοις τρέφειν,
Ὕποπτος ὢν δὴ Τρωϊκῆς ἁλώσεως.
Τοῦτον κατέκτειν'· ἀνθ' ὅτου δ' ἔκτεινά νιν,
Ἄκουσον, ὡς εὖ καὶ σοφῇ προμηθίᾳ.
Ἔδεισα, μή σοι πολέμιος λειφθεὶς ὁ παῖς,
Τροίαν ἀθροίσῃ καὶ ξυνοικίσῃ πάλιν,
Γνόντες δ' Ἀχαιοὶ ζῶντα Πριαμιδῶν τινὰ,
Φρυγῶν ἐς αἶαν αὖθις αἴροιεν στόλον,
Κἄπειτα Θρῄκης πεδία τρίβοιεν τάδε
Λεηλατοῦντες, γείτοσιν δ' εἴη κακὸν
Τρώων, ἐν ᾧπερ νῦν, ἄναξ, ἐκάμνομεν.
Ἑκάβη δὲ, παιδὸς γνοῦσα θανάσιμον μόρον,
Λόγῳ με τοιῷδ' ἤγαγ', ὡς κεκρυμμένας
Θήκας φράσουσα Πριαμιδῶν ἐν Ἰλίῳ
Χρυσοῦ· μόνον δὲ σὺν τέκνοισί μ' εἰσάγει
Δόμους, ἵν' ἄλλος μή τις εἰδείη τάδε.
Ἵζω δὲ κλίνης ἐν μέσῳ κάμψας γόνυ·
Πολλαὶ δὲ χειρὸς αἱ μὲν ἐξ ἀριστερᾶς,
Αἱ δ' ἔνθεν, ὡς δὴ παρα φίλων, Τρώων κόραι
'Θάκουν, ἔχουσαι κερκίδ' Ἠδωνῆς χερὸς,
Ἤνουν, ὑπ' αὐγὰς τούσδε λεύσσουσαι πέπλους·
Ἄλλαι δὲ, κάμακα Θρηκίαν θεώμεναι,
Γυμνόν μ' ἔθηκαν διπτύχου στολίσματος.

ΑΓ. Ἐπίσχες, φημὶ, ἐκβαλὼν τὸ βάρβαρον τῆς καρδίας· λέγε δὲ ἡσύχως, ὡς ἀκούσας ἑκατέρων ἐν μέρει, ἔχοιμι κρίνειν δικαίως, ἀνθ' ὧν ταῦτα πάσχεις.

ΠΟ. Καὶ μὴν ἄκουσον· Πολύδωρον τὸν Ἑκάβης, νεώτατον ὄντα τῶν Πριαμιδῶν, ὑποπτεύσας ὁ πατὴρ τὴν τῆς πόλεως ἅλωσιν, ὑπεξέπεμψέ μοι, τρέφειν αὐτὸν ἠξιώσας παρ' ἐμαυτῷ· ἐγὼ δὲ παραλαβὼν αὐτὸν τότε, ἀπέκτεινα νῦν οὐκ ἀλόγως, ἀλλὰ καὶ σὺν πολλῇ προνοίᾳ· δείσας γὰρ μή σοι πολέμιος ὑποληφθεὶς, Τροίαν αὖθις συνοικίσῃ τῷ χρόνῳ, ἐφ' ᾧ ὀργισθέντες οἱ Ἕλληνες αὖθις, ἐκστρατείαν ποιήσοιντ' αὖθις ἄν ποθ' ὕστερον, καί μοι τὴν χώραν ἐπιτρέχοντες κατὰ τὰ πεδία, δηώσοιεν, καθάπερ καὶ πρότερον τῷ ὁμόρους ἡμᾶς εἶναι τοῖς Τρωσὶ οὐκ ὀλίγα κακὰ ὑπὸ τοῦ ςρατοῦ ἐσμὲν πεπονθότες· ταῦτα δὴ δείσας, σὺν λόγῳ ἀπέκτεινα· Ἑκάβη δὲ, οὐκ οἶδ' ὁπόθεν τοῦτ' αἰσθομένη, δόλῳ μετεπέμψατό με δεῦρο, θησαυρούς τινας ἐν Τροίᾳ κατορωρυγμένους ἐξειπεῖν μοι ὑποκριναμένη· Οὕτως οὖν εἰσαγαγοῦσά με μόνον εἴσω σὺν τοῖς παισὶν ὡς ἐν ἀποῤῥήτῳ, κατακλίνει με μικρόν· ὄχλος δὲ γυναικῶν, αἱ μὲν ἔνθεν, αἱ δὲ ἔνθεν φιλίως προσιοῦσαι, παρεκαθέσθησαν ἑκατέρωθεν· εἶθ' οὕτως αἱ μὲν πέπλους τουτουσὶ τοὺς Ἡδωνικοὺς ἀγάμεναι καθ' ἑαυτάς· αἱ δὲ τὸ Θρᾴκιον διαθεώμεναι δόρυ, γυμνόν με κατέλιπον· ὅσαι

νεται ἐπ' αὐτὴν, εἴπως λάβοι. 1129. Κερκίδ' Ἠδονῆς χειρὸς] Ἠδωνοὶ μὲν ἔθνος Θρᾳκικὸν ἢ Μακεδονικὸν περὶ τὰς ἐκβολὰς τοῦ Στρυμῶνος· περὶ δὲ τῆς Κερκίδος ἴδε ἀνωτέρω ςίχ. 360. σχολ. 1131. Κάμακα] τὸ δόρυ. δίπτυχον

Ὅσαι δὲ τοκάδες ἦσαν, ἐκπαγλούμεναι
Τέκν' ἐν χεροῖν ἔπαλλον, ὡς πρόσω πατρὸς
Γένοιντο, διαδοχαῖς ἀμείβουσαι χεροῖν.
Κᾆτ' ἐκ γαληνῶν (πῶς δοκεῖς;) προσφθεγμάτων
Εὐθὺς λαβοῦσαι φάσγαν' ἐκ πέπλων ποθὲν,
Κεντοῦσι παῖδας, αἱ δὲ πολεμίων δίκην
Ξυναρπάσασαι τὰς ἐμὰς εἶχον χέρας
Καὶ κῶλα· παισὶ δ' ἀρκέσαι χρῄζων ἐμοῖς,
Εἰ μὲν πρόσωπον ἐξανισταίην ἐμὸν,
Κόμης κατεῖχον, εἰ δὲ κινοίην χέρας,
Πλήθει γυναικῶν οὐδὲν ἤνυτον τάλας.
Τὸ λοίσθιον δὲ πῆμα πήματος πλέον,
Ἐξειργάσαντο δείν'· ἐμῶν γὰρ ὀμμάτων,
Πόρπας λαβοῦσαι, τὰς ταλαιπώρους κόρας
Κεντοῦσιν, αἱμάσσουσιν· εἶτ' ἀνὰ στέγας
Φυγάδες ἔβησαν· ἐκ δὲ πηδήσας ἐγὼ,
Θὴρ ὣς, διώκω τὰς μιαιφόνους κύνας,
Ἅπαντ' ἐρευνῶν τοῖχον, ὡς κυνηγέτης,
Βάλλων, ἀράσσων. τοιάδε σπεύδων χάριν
Πέπονθα τὴν σὴν, πολέμιόν τε σὸν κτανὼν,
Ἀγάμεμνον· ὡς δὲ μὴ μακροὺς τείνω λόγους,
Εἴ τις γυναῖκας τῶν πρὶν εἴρηκεν κακῶς,
Ἢ νῦν λέγων τίς ἐστιν, ἢ μέλλει λέγειν,
Ἅπαντα ταῦτα συντεμὼν ἐγὼ φράσω·
Γένος γὰρ οὔτε πόντος, οὔτε γῆ τρέφει
Τοιόνδ'· ὁ δ' ᾀεὶ ξυντυχὼν, ἐπίσταται.

ΧΟ. Μηδὲν θρασύνου, μηδὲ τοῖς σαυτοῦ κακοῖς
Τὸ θῆλυ συνθεὶς ὧδε πᾶν μέμψῃ γένος.

θ' αὖ ἔτεκον αὐτῶν ποτε, αὗται δὴ τὰ τέκνα θαυμάζουσαι, ἔπαλλον αὐτὰ ἐν χερσὶ, δὶ ἀλλήλων αἱ ἐγγύτεραι ἀεὶ παραπέμπουσαι πρὸς τὰς ἀπωτέρω, ἵν' ὡς μάλιστ' ἐμοῦ ἄπο γένωνται. Οὕτως οὖν ἐκ φιλικῶν (πῶς οἴῃ;) ὁρμώμεναι προσφθεγμάτων, αἴφνης ἐκ τῶν πέπλων, οὐκ οἶδ' ὁπόθεν, φάσγανα προσλαβοῦσαι, κεντοῦσι τοὺς παῖδας· ἅμα δὲ κἀμὲ χεῖρας καὶ πόδας ἕτεραι αὖ συλλαβοῦσαι δίκην πολεμίων, κατεῖχόν με ἰσχυρῶς, καὶ βουλόμενόν με ἐπαρκέσαι τοῖς παισὶ, ὅπως εἶχον, ἐκώλυον· εἰ μὲν ἐπειρώμην ἐξαναστῆσαι τὴν κεφαλὴν, προσῄλουν ἐκ τῆς κόμης ἐπιβρίθουσαι κατὰ τοῦ ἐδάφους· εἰ δὲ χεῖρας κινεῖν, οὐκ ἀνίεσαν ἀθρόαι, καὶ τελευτῶσαι τὰ μέγιστα πάντων τῶν κακῶν με εἰργάσαντο· βελόνας γὰρ λαβοῦσαί ποθεν, καὶ τὰς κόρας κεντήσασαι τῶν ὀμμάτων, ἐξωμμάτωσαν· καὶ ταῦτα δράσασαι, ἐξέφυγον ἄλλῃ ἄλλοσε ἀνὰ τὰς σκηνάς· ἐκ δὴ τούτων ἀναπηδήσας ἐγὼ, ὡς λέων, διώκω οὕτω τὰς μιαιφόνους κύνας, ἅπανθ' ὡς κυνηγέτης διερευνῶν, πάντα τοῖχον βάλλων, ἀράσσων. τοιαῦτά σοι πέπονθα, ὦ Ἀγάμεμνον, τὸν σὸν ἀποκτείνας ἐχθρόν· ὥς' εἴ τις γυναῖκας εἴρηκε κακῶς, ἢ νῦν λέγει, ἢ μέλλει ἐρεῖν, ἐγὼ ἅπαντα εἰς ἓν συλλαβὼν ταῦτα, συλλήβδην φράσω· γένος γὰρ τοιοῦτον οὔτε θάλασσα, οὔτε ἤπειρος τρέφει· ὁ δὲ ἀεὶ αὐταῖς συνὼν, οὗτος σύνοιδ', ὃ λέγω.

ΧΟ. Μὴ οὕτω καταθρασύνου· μήδ' ἐξ ὧν ἔπαθες αὐτὸς περὶ

---

δὲ σόλισμοι αὐτὸ τὸ δόρυ καὶ ὁ πέπλος ἐστί. 1160 Συνθεὶς] συναγαγὼν καὶ

Πολλαὶ γὰρ ἡμῶν, αἱ μέν εἰσ' ἐπίφθονοι,
Αἱ δ' εἰς ἀριθμὸν τῶν κακῶν πεφύκαμεν.
ΕΚ. Ἀγάμεμνον, ἀνθρώποισιν οὐκ ἐχρῆν ποτε
Τῶν πραγμάτων τὴν γλῶσσαν ἰσχύειν πλέον.
Ἀλλ' εἴτε χρήστ' ἔδρασε, χρήστ' ἔδει λέγειν,
Εἴτ' αὖ πονηρὰ, τοὺς λόγους εἶναι σαθροὺς,
Καὶ μὴ δύνασθαι τἄδικ' εὖ λέγειν ποτέ.
Σοφοὶ μὲν οὖν εἰσ' οἱ τάδ' ἠκριβωκότες,
Ἀλλ' οὐ δύναιτ' ἂν διὰ τέλους εἶναι σοφοὶ,
Κακῶς δ' ἀπώλοντ'· οὔτις ἐξήλυξέ πω.
Καί μοι τὸ μὲν σὸν ὧδε φροιμίοις ἔχει·
Πρὸς τόνδε δ' εἶμι, καὶ λόγοις ἀμείψομαι,
Ὃς φὴς Ἀχαιῶν πόνον ἀπαλλάσσων διπλοῦν
Ἀγαμέμνονός θ' ἕκατι παῖδ' ἐμὸν κτανεῖν.
Ἀλλ' ὦ κάκιστε, πρῶτον οὔποτ' ἂν φίλον
Τὸ βάρβαρον γένοιτ' ἂν Ἕλλησιν γένος,
Οὔτ' ἂν δύναιτο· τίνα δέ καὶ σπεύδων χάριν
Πρόθυμος ἦσθα; πότερα κηδεύσων τινὰ,
Ἢ ξυγγενὴς ὤν; ἢ τίν' αἰτίαν ἔχων;
Ἢ σῆς ἔμελλον γῆς τεμεῖν βλαστήματα,
Πλεύσαντες αὖθις; τίνα δοκεῖς πείσειν τάδε;
Ὁ χρυσὸς, εἰ βούλοιο τἀληθῆ λέγειν,
Ἔκτεινε τὸν ἐμὸν παῖδα καὶ κέρδη τὰ σά.
Ἐπεὶ δίδαξον τοῦτο· πῶς, ὅτ' εὐτύχει
Τροία, πέριξ δὲ πύργος εἶχ' ἔτι πτόλιν,
Ἔζη τε Πρίαμος, Ἕκτορός τ' ἤνθει δόρυ,

συμμίξας πάσας γυναῖκας πρὸς τὰ σαυτοῦ κακά. 1168. Οἱ τάδ' ἠκριβηκότε.]

πασῶν τὴν ψῆφον τίθει· πολλαὶ γὰρ ἡμῶν κακαὶ, ἀλλ' εἰσὶ πολλαὶ καὶ πρὸς ζῆλον ἐπίφθονοι.

ΕΚ. Ἀγάμεμνον, οὐκ ἐχρῆν τοὺς ἀνθρώπους κρείττω τῶν πραγμάτων τὴν γλῶτταν ἔχειν· ἀλλ' ὃς μὲν χρηστὰ τυγχάνει δεδρακὼς, χρηςὰ λέγειν· ὃς δὲ πονηρὰ, τούτου τοὺς λόγους μάτην νομίζειν ἐῤῥίφθαι· μηδὲ τἄδικα εὖ δύνασθαι λέγειν· σοφοὶ μὲν γὰρ δοκοῦσιν οἱ τὰς τέχνας ταύτας ἐξευρημένοι· ἀλλ' οὐκ ἐς τέλος, ὡς κακοὶ κακῶς ἀπολούμενοι οἱ τοιοῦτοι, δυνήσονται πείθειν· οὐδεὶς γὰρ αὐτῶν πω ἐξέφυγε τὸ μὴ οὐχὶ ἀξίαν δίκην δοῦναι, καὶ πρός σὲ μὲν ταῦτα ἐν προοιμίοις γε εἰρήσθω. Σὺ δ', ὦ κάκιστε, πάντων ἀνθρώπων, πῶς φῂς ἀνελεῖν τὸν ἐμὸν παῖδα, χαριζόμενος Ἀγαμέμνονι τουτῳΐ, καὶ ἵνα μὴ καὶ αὖθις ἐπὶ τάδε οἱ Ἕλληνες ἐπιπλεύσωσιν; ἀλλ' ὦ κάκιςε πάντων, οὐκ οἶσθ', ὅτι τὸ Ἑλληνικὸν οὐκ ἄν ποτε πρὸς τὸ βάρβαρον φιλίαν ποιήσαιτο; ἔπειτα τίνα προβαλλόμενος τοῦ πράγματος χάριν, τοσαύτην ἐσπούδασας ἐπιδείξασθαι προθυμίαν; πότερον ἐπιγαμίαν τινὰ σπεύδων ποιήσασθαι, ἢ ἄλλην ἔχων συγγένειαν, ἢ ἑτέραν τινὰ αἰτίαν εὐπρόσωπον; ἀλλ' ἐπιςρατεύσαντες αὖθις, ἤμελλον τὴν σὴν χώραν τεμεῖν, καὶ τίνα δοκεῖς ταῦτα πείσειν; ὁ χρυσὸς, εἰ δεῖ τἀληθὲς εἰπεῖν, ὁ χρυσὸς τὸν ἐμὸν ἐφόνευσε παῖδα, καὶ πλεονεξία ἡ σή. Τροίας γὰρ ὀρθουμένης, καὶ περιόντος Πριάμου, καὶ τοῦ Ἕκτορος εὐτυχοῦντος

---

οἱ ῥήτορες, οἱ τὰ μικρὰ μεγάλα ποιοῦντες, καὶ τοῖς μικροῖς περιτιθέντες μέγεθος. 1170· Ἀπώλοντ', οὔτις] ἐν ἄλλοις δὲ κεῖται οὐ καλῶς, ἀπώλοντο, κοὔτις 1173. Πόνον διπλοῦν] δευτέραν ἐπὶ Τροίαν ἐκστρατείαν.

Τί δ' οὐ τότ', εἴπερ τῷδ' ἐβουλήθης χάριν
Θέσθαι, τρέφων τὸν παῖδα, κἀν δόμοις ἔχων,
Ἔκτεινας, ἢ ζῶντ' ἦλθες Ἀργείοις ἄγων;
Ἀλλ' ἡνίχ' ἡμεῖς οὐκέτ' ἦμεν ἐν φάει,
Καπνῷ δ' ἐσήμην' ἄστυ πολεμίων ὕπο,
Ξένον κατέκτας σὴν μολόντ' ἐφ' ἑστίαν.
Πρὸς τοῖσδε νῦν ἄκουσον, ὡς φανῇ κακός.
Χρῆν σ', εἴπερ ἦσθα τοῖς Ἀχαιοῖσιν φίλος,
Τὸν χρυσὸν, ὃν φῂς οὐ σὸν, ἀλλὰ τοῦδ', ἔχειν,
Δοῦναι φέροντα πενομένοις τε, καὶ χρόνον
Πολὺν πατρῴας γῆς ἀπεξενωμένοις·
Σὺ δ' οὐδὲ νῦν πω σῆς ἀπαλλάξαι χερὸς
Τολμᾷς, ἔχων δὲ καρτερεῖς ἔτ' ἐν δόμοις.
Καὶ μὴν τρέφων μὲν, ὥς σε παῖδ' ἐχρῆν τρέφειν,
Σώσας τε τὸν ἐμὸν, εἶχες ἂν καλὸν κλέος·
Ἐν τοῖς κακοῖς γὰρ οἱ 'γαθοὶ σαφέστατοι
Φίλοι· τὰ χρηστὰ δ' αὔθ' ἕκαστ' ἔχει φίλους.
Εἰ δ' ἐσπάνιζες χρημάτων, ὁ δ' εὐτύχει,
Θησαυρὸς ἄν σοι παῖς ὑπῆρχ' οὑμὸς μέγας·
Νῦν δ' οὔτ' ἐκεῖνον ἄνδρ' ἔχεις σαυτῷ φίλον,
Χρυσοῦ τ' ὄνησις οἴχεται, παῖδές τε σοὶ,
Αὐτός τε πράσσεις ὧδε. Σοὶ δ' ἐγὼ λέγω,
Ἀγάμεμνον, εἰ τῷδ' ἀρκέσεις, κακὸς φανῇ·
Οὔτ' εὐσεβῆ γὰρ, οὔτε πιστὸν, οἷς ἐχρῆν,
Οὐχ ὅσιον, οὐ δίκαιον εὖ δράσεις ξένον·
Αὐτὸν δὲ χαίρειν τοῖς κακοῖς σὲ φήσομεν
Τοιοῦτον ὄντα· δεσπότας δ' οὐ λοιδορῶ.
ΧΟ. Φεῦ, φεῦ· βροτοῖσιν ὡς τὰ χρηστὰ πράγματα
Χρηστῶν ἀφορμὰς ἐνδίδωσ' ἀεὶ λόγων.

ἐν μάχαις, οὐκ ὤφθης οὐδὲν οὐδαμοῦ τοῖς Ἕλλησι χαριζόμενος· οὐδ' ἀπέκτεινας τὸν παῖδα, ἢ γοῦν παρέδωκας αὐτοῖς ζῶντ' ἀγαγών· ἅμα δ' ἡμῶν συμφορᾷ χρησαμένων, καὶ τῆς πόλεως ὑπὸ τῶν Ἑλλήνων πυρποληθείσης, ἀνεῖλες τὸν ξένον, γενόμενον ὁμωρόφιον· ἔδει γάρ σε, εἴτι φίλον ἐβούλου τοῖς Ἕλλησι δρᾶσαι, τὸν χρυσὸν, ὃν φῂς φυλάττειν τούτῳ, δοῦναι αὐτοῖς ἐνεγκόντα, ὡς πολὺν ἤδη χρόνον πόῤῥω τῆς ἑαυτῶν ταλαιπωρουμένοις· σὺ δ' ἀλλ' οὐδὲ νῦν ἐθέλεις ἑκὼν αὐτὸν ἐκβαλεῖν· καίτοι εἰ μὲν ἔσωζες τὸν ἐμὸν παῖδα, ὡς ἔδει, τρέφων, πολύ σοι ἂν κλέος ἦν· ἐν γὰρ ταῖς δυστυχίαις οἱ ἀγαθοὶ δοκιμάζονται φίλοι· ἄλλως τε καὶ τοῦ ἐμοῦ παιδὸς εὐτυχοῦντος, πολλὴ ἂν ἦν σοι δεομένῳ ποτὲ χρημάτων ἐντεῦθεν δαψίλεια· νῦν δὲ κἀκείνου ἀνδρὸς ἀγαθοῦ ἀπεστέρησαι, καὶ τοῦ χρυσοῦ σοι ὄνησις οὐδεμία, τῶν τε παίδων σοι τεθνηκότων, καὶ σοῦ τὸ τῶν ὀμμάτων φῶς ἀπολέσαντος· Σὺ δ' ὦ Ἀγάμεμνον, εἰ τούτῳ τῷ πονηρῷ ἔλοιο ἐπαρκέσαι, κακῶς δόξεις εἶναι παρὰ πᾶσιν ἀνθρώποις· ἀνδρὶ γὰρ ἀνοσιωτάτῳ, ἀπίστῳ τε καὶ ἀσεβεστάτῳ, ἐπαμυνεῖς· καὶ κακοῖς χαίρειν, τοῦτο ποιήσας, παρὰ πάντων ἀποίσῃ δόξαν· πλείω δὲ τούτων πρὸς δεσπότας παῤῥησιάζεσθαι οὐκέτι καλόν.

ΧΟ. Φεῦ, φεῦ, ὅπως τὰ χρηστὰ χρηστῶν ἀφορμὰς τοῖς ἀνθρώποις παρέχουσι.

---

1191. Καπνῷ] τόδε πλῆρες. Τὸ δὲ ἄστυ ἐφαίνετο ἀπησβολημένον ὑπὸ τῶν πολεμίων. 1195. Ὅν φῂς οὖσὸν] ἴδε ἀνωτέρω στίχ. 979. καὶ ἑξῆς, 1204. Χρυσοῦ τε ὄνησις οἴχεται] τίς γὰρ ὄνησις ἐκείνου τῶν παίδων ἀποθανόντων, καὶ αὐτοῦ τυφλοῦ



ΔΗΜΟ ... ΙΟΣ ΔΗΜ

ΑΓ. Ἀλγεινὰ μέν μοι τἀλλότρια κρίνειν κακά·
Ὅμως δ' ἀνάγκη· καὶ γὰρ αἰσχύνην φέρει,
Πρᾶγμ' ἐς χέρας λαβόντ', ἀπώσασθαι τόδε.
Ἐμοὶ δ' ἵν' εἰδῇς, οὔτ' ἐμὴν δοκεῖς χάριν,
Οὔτ' οὖν Ἀχαιῶν, ἄνδρ' ἀποκτεῖναι ξένον,
Ἀλλ' ὡς ἔχῃς τὸν χρυσὸν ἐν δόμοισι σοῖς.
Λέγεις δὲ σαυτῷ πρόσφορ', ἐν κακοῖσιν ὤν.
Τάχ' οὖν παρ' ὑμῖν ῥᾴδιον ξενοκτονεῖν·
Ἡμῖν δὲ γ' αἰσχρὸν τοῖσιν Ἕλλησιν τόδε.
Πῶς οὖν σε κρίνας μὴ 'δικεῖν, φύγω ψόγον;
Οὐκ ἂν δυναίμην· ἀλλ' ἐπεὶ τὰ μὴ καλὰ
Πράσσειν ἐτόλμας, τλῆθι καὶ τα μὴ φίλα.
ΠΟ. Οἴμοι, γυναικὸς, ὡς ἔοιχ', ἡσσώμενος
Δούλης, ὑφέξω τοῖς κακίοσιν δίκην.
ΑΓ. Οὔκουν δικαίως, εἴπερ εἰργάσω κακά.
ΠΟ. Οἴμοι τέκνων, τῶνδ' ὀμμάτων τ' ἐμῶν, τάλας!
ΕΚ. Ἀλγεῖς; τί δ' ἡμᾶς παιδὸς οὐκ ἀλγεῖν δοκεῖς;
ΠΟ. Χαίρεις ὑβρίζουσ' εἰς ἔμ', ὦ πανοῦργε σύ.
ΕΚ. Οὐ γάρ με χαίρειν χρὴ, σὲ τιμωρουμένην;
ΠΟ. Ἀλλ' οὐ τάχ', ἡνίκ' ἄν σε ποντία νοτίς—
ΕΚ. Μῶν ναυστολήσῃ γῆς ὅρους Ἑλληνίδος;
ΠΟ. Κρύψῃ μὲν οὖν, πεσοῦσαν ἐκ καρχησίων.
ΕΚ. Πρὸς τοῦ βιαίων τυγχάνουσαν ἁλμάτων;

---

θέντος. 1214. Τὰ χρηστὰ] οἱ χρηστῆς τυχόντες ἀγωγῆς ἀεὶ χρηστὰ λέγουσι. 1235. Ἡνίκ' ἄνσε ποντία νοτὶς] σύναψον τοῦτο πρὸς τὸν τρίτον ἀπὸ τούτου στεῖχον. Ἑκάβη γὰρ φθάσα διέκοψε τὸ τοῦ λόγου ἐντελές. 1241. Κύων] τὴν Ἑκάβην φασὶν, ὡς συνεχῶς καταρωμένην τοῖς Ἕλλησιν, ὀργισθέντας ἐκείνους

ΑΓ. Δυσχερὲς μὲν τἀλλότρια ἀνακρίνειν· ἀλλὰ τί καὶ πάθοι τὶς ἂν ἐν ἀνάγκαις γενόμενος; καὶ γὰρ εἰς ἐμὲ τὸ πρᾶγμα τοῦθ' ἧκον, ἀπώσασθαι οὐκ ἔξω ἡμῖν αἰσχύνης ἔςαι. Σὺ δ' οὖν, ὦ Θρᾷξ, ἴσθι, ὡς οὐδ' ἐμοὶ χάριν φέρων ἡντιναοῦν, οὔτε τοῖς ἄλλοις κοινῇ τῶν Ἑλλήνων, ἄνδρα ξένον ἀσεβῶς καὶ ἀνοσίως ἀνεῖλες, ἀλλ' ἵνα κύριος γένοιο τοῦ χρυσοῦ· λέγεις δ' οὖν νῦν εὐπρεπῆ, προσποιήσει συγκρύψαι ἐν τοσούτοις κακοῖς πειρώμενος τὸ τῆς διανοίας ἀναπολόγητον· τέως δ' οὖν ὑμῖν μὲν τοῖς βαρβάροις οὐ βαρὺ ἴσως τὸ ξενοκτονεῖν· ἡμῖν δὲ τοῖς Ἕλλησιν αἰσχρὸ καὶ ἀνόσιον· πῶς οὖν ἂν κρίνας σε χρηστὸν εἶναι, αὐτὸς ἔξω μέμψεως εἴην; οὐκ ἔςιν· Ἐπεὶ οὖν τὰ μὴ καλὰ πρώην τετόλμηκας πράσσειν, φέρε νῦν καὶ τὰ μὴ φίλα.

ΠΟ. Οἴμοι τῷ ἀθλίῳ, ὅτι δίδωμι τοῖς χείροσι δίκην, δούλης γυναικὸς ἥττων γεγενημένος.

ΑΓ. Οὐδὲν θαυμαστὸν, τὸν τοιαῦτ' εἰργασμένον.

ΠΟ. Οἴμοι τῶν ἐμῶν τέκνων καὶ τῶν ὀμμάτων.

ΕΚ. Ἀλγεῖς; πῶς οὖν οὐ δοκεῖς ταὐτὰ κἀμὲ πάσχειν;

ΠΟ. Ἐφήδῃ σύγ', ὦ πανοῦργε, καὶ ἐφυβρίζεις.

ΕΚ. Οὐκ ἐφήδεσθαι χρὴ, δίκην ἤδη λαβοῦσαν;

ΠΟ. Ἀλλ' οὐ διὰ πολλοῦ, ὁπόθ' ἡ θάλασσα...

ΕΚ. Ὁπότε με διαπεραιώσῃ εἰς τὴν Ἑλλάδα;

ΠΟ. Οὔκ, ἀλλὰ πεσοῦσαν ἀπὸ τῶν ἱστίων, κρύψει.

---

ῥίψαι αὐτὴν ἄνωθεν ὑπὸ τῶν Καρχησίων ἐπὶ κεφαλὴν εἰς τὴν θάλασσαν· ἀποθανοῦσαν δὲ ἐν μορφῇ κυνὸς, ἔθαψαν αὐτὴν ἐπὶ Θρᾴκης, ἔνθ' ὁ τόπος Κυνὸς

ΠΟ. Αὐτὴ πρὸς ἱστὸν ναὸς ἀμβήσῃ ποδί.
ΕΚ. Ὑποπτέροις νώτοισιν, ἢ ποίῳ τρόπῳ;
ΠΟ. Κύων γενήσῃ, πύρσ' ἔχουσα δέργματα.
ΕΚ. Πῶς δ' οἶσθα μορφῆς τῆς ἐμῆς μετάστασιν;
ΠΟ. Ὁ Θρῃξὶ μάντις εἶπε Διόνυσος τάδε.
ΕΚ. Σοὶ δ' οὐκ ἔχρησεν οὐδὲν, ὧν ἔχεις, κακῶν;
ΠΟ. Οὐ γάρποτ' ἂν σύ μ' εἷλες ὧδε σὺν δόλῳ.
ΕΚ. Θανοῦσα δ', ἢ ζῶσ' ἐνθάδ' ἐκπλήσω βίον;
ΠΟ. Θανοῦσα· τύμβῳ δ' ὄνομα σῷ κεκλήσεται —
ΕΚ. Μορφῆς ἐπῳδὸν, ἤ τί τῆς ἐμῆς ἐρεῖς;
ΠΟ. Κυνὸς ταλαίνης σῆμα, ναυτίλοις τέκμαρ.
ΕΚ. Οὐδὲν μέλει μοι, σοῦ γέ μοι δόντος δίκην.
ΠΟ. Καὶ σήν γ' ἀνάγκη παῖδα Κασάνδραν θανεῖν.
ΕΚ. Ἀπέπτυσ'· αὐτῷ ταῦτα σοὶ δίδωμ' ἔχειν.
ΠΟ. Κτενεῖνιν ἡ τοῦδ' ἄλοχος, οἰκουρὸς πικρά.
ΕΚ. Μήπω μανείη Τυνδαρὶς τοσόνδε παῖς.
ΠΟ. Καὐτόν γε τοῦτον, πέλεκυν ἐξάρασ' ἄνω.
ΑΓ. Οὗτος σὺ, μαίνῃ, καὶ κακῶν ἐρᾷς τυχεῖν.
ΠΟ. Κτεῖν', ὡς ἐν Ἄργει φόνια λουτρά σ' ἀναμένει.
ΑΓ. Οὐχ ἕλξετ' αὐτὸν, δμῶες, ἐκποδὼν βίᾳ;
ΠΟ. Ἀλγεῖς ἀκούων;
ΑΓ. Οὐκ ἐφέξετε στόμα;

---

σῆμα, ἢ Κυνόσημα παρωνομάσθη. 1243. Μάντις] ἦν δὲ μαντεῖον ἐν Θρᾴκῃ Διονυσίου τούτου, ὃ οἱ μὲν κατὰ τὸν Αἷμονα, οἱ δὲ κατὰ τὸ Πάγγαιον τάττουσιν· ἴδε δὲ περὶ τούτου Ἀλκ. στιχ. 960. καὶ ἑξῆς. 1246. Ἐκπλήσω βίον] θανοῦσα, ἢ ζῶσα εἰς κύνα μεταβληθήσομαι. 1248. Μορφῆς ἐπῳδὸν] ἐπώνυμον τοῦ εἴδους; σῆμα κυνὸς, σημεῖον τοῖς ναυτιλλομένοις· οἷοι γὰρ οἱ σαθμοὶ τοῖς κατὰ τὴν ξηρὰν ταχυδρόμοις μέτρα εἰσὶ τῆς ὁδοῦ, οὕτω κἀν τῇ θαλάσσῃ σημεῖά τινά εἰσι θαλασσοπλωΐας τοῖς πλωΐζομένοις, ὡς ἀκρωτήρια, καὶ νῆσοι, καὶ τὸ κυνοσημα τοῦτο. 1252. Ἀπέπτυσα] φυλάττει δὲ ἔτι καὶ νῦν ἡ συνή-

ΕΚ. Ὑπὸ τίνος μέλλω πείσεσθαι τοῦτο;
ΠΟ. Ὑπὸ σεαυτῆς, ἀναβᾶσα ἐπὶ τὸ ἱςίον.
ΕΚ. Ὑποπτέροις ὤμοις, ἢ ὅπως ἄλλως;
ΠΟ Κυνὸς ὄμματα καὶ εἶδος ὅλον μεταλαβοῦσα.
ΕΚ. Πόθεν φοιβάζῃ μοι τὴν μεταμόρφωσιν ταύτην;
ΠΟ. Διονύσιος γὰρ τοῦτο ὁ Θρακῶν εἶπε μάντις.
ΕΚ. Τί παθὼν οὗτος, οὐ προεῖπέ σοι τὰ παρόντα;
ΠΟ. Εἰ γὰρ, οὐκ ἄν με κακῶς σὺ ἐποίεις.
ΕΚ. Πότερον, θανοῦσα, ἢ ζῶσα πείσομαι ταῦτα;
ΠΟ. Θανοῦσα, ἐπώνυμον τοῖς ἔπειτα λιποῦσα τάφον.
ΕΚ. Ποῖον δὲ φὴς τὸ ἐπώνυμον τοῦτο;
ΠΟ. Κυνὸς μνῆμα τοῖς πλέουσι σημεῖον.
ΕΚ. Οὐδέν μοι μέλει, σοῦ ἤδη μοι δόντος δίκην.
ΠΟ. Καὶ Κασάνδραν αὐτὴν ἀποθανεῖν ἀνάγκη·
ΕΚ. Ἀπέπτυσα, κἀπί σε αὐτὸν ςρέφω τοῦτο.
ΠΟ. Κτενεῖ δὲ αὐτὴν ἡ τούτου γυνὴ οἴκοι·
ΕΚ. Μὴ εἴη τῇ Τυνδαρίδι οὕτω ποτὲ μανῆναι.
ΠΟ· Καὐτὸν δὲ τοῦτον, ὁμόσε χωροῦσα τῷ πελέκει.
ΑΓ. Οὗτος, σὺ μαίνῃ, καὶ κακόν τι παθεῖν ἐθέλεις.
ΠΟ. Κτεῖνε· λουόμενος γὰρ ἀποθανῇ ἐν Ἄργει.
ΑΓ. Οὐκ ἐκποδὼν ἀπώσεσθ' ὑμεῖς τὸν κύνα τοῦτον;
ΠΟ. Τί γὰρ οὕτω τἀληθῆ βαρέως φέρεις;
ΑΓ. Οὐκ ἐγκλείετε αὐτῷ οἱ θεράποντες τὸ στόμα;

θεια τὸ ἀποπτύειν ἐν τοῖς ἀπαισίοις ἀκούσμασι καὶ ὁράμασιν, οἷον ἀποτροπιαζομένων ἡμῶν πρὸς ἐκεῖνα. 1255. Πέλεκυν ἐξάρασ' ἄνω] Κλυταιμνήστρα συνεργὸν προσλαβοῦσα Αἴγισθον, ἀπέκτεινεν Ἀγαμέμνονα τον ἑαυτῆς ἄνδρα ἐν λουτρῷ, πέλεκυν ἐπ' αὐτον κατιεῖσα· οἱ δὲ οὐ πελέκει, ἀλλὰ χιτῶνι ἐπενδύσαντα, μὴ ἔχοντι διέξοδον ἄνωθεν, ζέον ἐπιχέασα ὕδωρ, διέφθειρε. 1260 Ἐγ-

ΠΟ. Ἐγκλύετ'· εἴρηται γάρ.
ΑΓ. Οὐχ ὅσον τάχος
Νήσων ἐρήμων αὐτὸν ἐκβαλεῖτέ ποι,
Ἐπείπερ οὕτω καὶ λίαν θρασυστομεῖ;
Ἑκάβη σὺ δ', ὦ τάλαινα, διπτύχους νεκροὺς
Στείχουσα θάπτε· δεσποτῶν δ' ὑμᾶς χρεὼν
Σκηναῖς πελάζειν, Τρῳάδες· καὶ γὰρ πνοὰς
Πρὸς οἶκον ἤδη τάσδε πομπίμους ὁρῶ.
Εὖ δ' ἐς πάτραν πλεύσαιμεν· εὖ δὲ τἀν δόμοις
Ἔχοντ' ἴδοιμεν, τῶνδ' ἀφειμένοι πόνων.
ΧΟ. Ἴτε πρὸς λιμένας σκηνάς τε, φίλαι,
Τῶν δεσποσύνων πειρασόμεναι
Μόχθων· στεῤῥὰ γὰρ ἀνάγκα.

**ΠΟ.** Ἐγκλείετ' ἤδη· ὃ γὰρ βούλομαι, εἶπον.

**ΑΓ.** Οὐχ ὅσον τάχος ἐς νῆσόν τινα ἔρημον ἐκβαλεῖτε, θρασυνάμενον οὕτω; Ἑκάβη, ὦ τάλαινα σὺ, ἴθι ξυνωρίδα νεκρῶν συγκρύψουσα τάφῳ· ὑμεῖς τε αἱ Τρῳάδες ταῖς τῶν δεσποτῶν ὑμῶν σκηναῖς πρόσητε· ὁρῶ γαρ ἤδη τὸ πνεῦμα οὔριον κατιὸν ἀπὸ τοῦ Ἑλλησπόντου· εὖ δὲ ἐς φίλην πλεύσαιμεν γαῖαν· εὖ δε καὶ τὰ οἴκοι ἔχοντα εὕροιμεν, τῶν πολλῶν καὶ ἀπεράντων ἀπαλλαγέντες κακῶν.

**ΧΟ.** Χωρεῖτε πρὸς λιμένας καὶ τὰς σκηνὰς, ὦ φίλαι, τῶν δεσποτικῶν πειρασόμεναι μόχθων. στεῤῥὰ γὰρ ἡ ἀνάγκη.

---

κλείετε ὥρμησαν γὰρ ἐνταῦθα οἱ οἰκέται ἐγκλεῖσαι αὐτῷ τὸ στόμα. 1269. Ἴτε.] αὐτὸς ὁ Χορὸς ἑαυτὸν κελεύει. 127. Στεῤῥὰ γὰρ ἀνάγκα] τὸ πεπρωμένον γὰρ ἀμετάβλητον· καὶ ὁ τῆς δουλείας νόμος ἰσχυρός·

# ΜΗΔΕΙΑ.

# ΥΠΟΘΕΣΙΣ.

ἸΑΣΩΝ εἰς Κόρινθον ἐλθὼν, ἐπαγόμενος καὶ Μήδειαν, ἐγγυᾶται τὴν Κρέοντος, τοῦ Κορινθίων βασιλέως, θυγατέρα Γλαύκην πρὸς γάμον· μέλλουσα δὲ Μήδεια φυγαδεύεσθαι ὑπὸ Κρέοντος ἐκ τῆς Κορίνθου, παραιτησαμένη μίαν ἡμέραν μεῖναι, καὶ τυχοῦσα, μισθὸν τῆς χάριτος δῶρα διὰ τῶν παίδων πέμπει τῇ Γλαύκῃ ἐσθῆτα καὶ χρυσοῦν στέφανον, οἷς ἐκείνη χρησαμένη διαφθείρεται· καὶ ὁ Κρέων δὲ, περιπλακεὶς τῇ θυγατρὶ, ἀπόλλυται. Μήδεια δὲ, τοὺς ἑαυτῆς παῖδας ἀποκτείνασα, ἐφ' ἅρματος δρακόντων πτερωτῶν, ὃ παρ' Ἡλίου ἔλαβεν, ἔποχος γενομένη ἀποδιδράσκει εἰς Ἀθήνας, κἀκεῖσε Αἰγεῖ τῷ Πανδίονος γαμεῖται. Φερεκύδης δὲ καὶ Σιμωνίδης φασὶν, ὡς ἡ Μήδεια ἀνεψήσασα, τὸν Ἰάσονα νέον ποιήσειε. περὶ δὲ τοῦ πατρὸς αὐτοῦ Αἴσονος ὁ τοὺς Νόστους ποιήσας φησὶν οὕτως·

Αὐτίκα δ' Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα,
Γῆρας ἀποξύσασ' εἰδυίῃσι πραπίδεσσι,
Φάρμακα πόλλ' ἕψουσ' ἐπὶ χρυσείοισι λέβησιν.

Αἰσχύλος δ' ἐν ταῖς Διονύσου Τροφοῖς ἱστορεῖ, ὅτι καὶ τὰς Διονύσου τροφοὺς μετὰ τῶν ἀνδρῶν αὐτῶν ἀνεψήσασα, ἐνεοποίησε. Στάφυλος δὲ φησὶ, τὸν Ἰάσονα τρόπον τινὰ ὑπὸ τῆς Μηδείας ἀναιρεθῆναι· ἐγκελεύσασθαι γὰρ αὐτὴν ὑπὸ τῇ πρύμνῃ τῆς Ἀργοῦς αὐτὸν κατακοιμηθῆναι, μελλούσης τῆς

νεὼς διαλύεσθαι ὑπὸ τοῦ χρόνου· ἐπιπεσούσης γοῦν τῆς πρύμνης τῷ Ἰάσονι, τελευτῆσαι αὐτόν.

Τὸ δρᾶμα δοκεῖ ὑποβαλέσθαι παρὰ Νεόφρονος διασκευάσεως, ὡς Δικαίαρχός τε περὶ τοῦ Ἑλλάδος βίου, καὶ Ἀριστοτέλης ἐν ὑπομνήμασι· μέμφονται δὲ αὐτῷ τὸ μὴ πεφυλακέναι τὴν ὑπόκρισιν τῇ Μηδείᾳ, ἀλλὰ πεσεῖν εἰς δάκρυα, ὅτε ἐπεβούλευσεν Ἰάσονι καὶ τῇ γυναικί· ἐπαινεῖται δὲ ἡ εἰσβολὴ, διὰ τὸ παθητικῶς ἄγαν ἔχειν, καὶ ἡ ἐπεξεργασία, «μηδ' ἐν νάπαισι,» καὶ τὰ ἑξῆς, ὅπερ ἀγνοήσας Τιμαχίδας τῷ ὑστέρῳ φησὶ πρώτῳ κεχρῆσθαι, ὡς καὶ Ὅμηρος, εἵματά τ' ἀμφιέσασα θυώδεα, καὶ λούσασα.

ΤΑ

# ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΤΡΟΦΟΣ.

ΠΑΙΔΑΓΩΓΟΣ.

ΜΗΔΕΙΑ.

ΧΟΡΟΣ γυναικῶν πολιτίδων.

ΚΡΕΩΝ.

ΙΑΣΩΝ.

ΑΙΓΕΥΣ.

ΑΓΓΕΛΟΣ.

ΠΑΙΔΕΣ ΜΗΔΕΙΑΣ.

# ΜΗΔΕΙΑ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΚΕΙΜΕΝΟΝ.

ΤΡΟΦΟΣ, ΠΑΙΔΑΓΩΓΟΣ, ΜΗΔΕΙΑ, ΧΟΡΟΣ.

Εἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος
Κόλχων ἐς αἶαν κυανέας Συμπληγάδας,
Μηδ' ἐν νάπαισι Πηλίου πεσεῖν ποτε
Τμηθεῖσα πεύκη, μηδ' ἐρετμῶσαι χέρας
Ἀνδρῶν ἀρίστων, οἳ τὸ πάγχρυσον δέρος
Πελίᾳ μετῆλθον· οὐ γὰρ ἂν δέσποιν' ἐμὴ

1. Εἴθε ὤφελε] ὅτε πρὸς εὐκτικὸν ταῦτα ἄμφω ἀποδιδῶτο, ὡς τὸ Εἴθ' ὤφελε μηδ' ἐγένοντο θεοὶ, ἐκ παραλλήλου εἰσὶν ἐπιῤῥήματα· ὁπότε δὲ ἀπαρέμφατον ἐπιφέρεται, τότε τὸ Ὤφελεν, ἀντὶ τοῦ Ὤφειλε, ῥῆμά ἐςι— Ἀργοῦς] Ἀργοῦς σκάφος, περιφραςικῶς, ἀντὶ τοῦ, ἡ Ἀργώ. λέγεται δὲ ἀπὸ τοῦ Ἄργους τοῦ ναυπηγήσαντος, καὶ ἀπὸ τῆς ταχυτῆτος· ἀργὸν γὰρ καὶ τὸ ταχύ. 2. Κόλχων] πόλις τις ἐν Σκυθίᾳ τῇ Ἀσιατικῇ οἱ Κόλχοι.— Κυανέας Συμπληγάδας] τὰς κατὰ τὸ ςόμα τοῦ Βοσπόρου πέτρας φησὶ διὰ τὸ καὶ κυανᾶς καὶ συμπλεούσας καὶ συμπληττομένας ἔνθεν κἀκεῖσε δοκεῖν ταῖς ὄψεσι παραφέρεσθαι. 3. Πηλίου] τὸ Πήλιον· ὄρος τοῦτ' ἔςιν ἐν Μαγνησίᾳ τῆς Θετταλίας, ἀφ' οὗ Ἰάσων ὑλοτομήσας, ἐξηρτύσατο τὴν Ἀργώ. 4. Ἐρετμῶσαι] εἴθε ἡ Ἀργὼ μὴ ἐνέβαλε τὰς χεῖρας τῶν ἀρίςων ἐπὶ τῶν ἐρετμῶν. ὅ ἐςιν, εἴθε μὴ ἐξέπλευσε,

# ΜΗΔΕΙΑ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΠΑΡΑΦΡΑΣΙΣ.

### ΤΡΟΦΟΣ, ΠΑΙΔΑΓΩΓΟΣ, ΜΗΔΕΙΑ, ΧΟΡΟΣ.

ΕἼΘΕ μὴ ἦλθεν Ἀργὼ ποτε εἰς Κόλχους, τὰς κυανᾶς διαπλεύσασα Συμπληγάδας, μήτε πεύκη ποτὲ ἀνδράσιν ἀρίστοις τμηθεῖσα ἐν τοῖς τοῦ Πηλίου κοιλάσιν, ὅπως τὸ χρυσοῦν ἐκεῖθεν δέρας κομίσαιεν Πελίᾳ, τὰς τῶν ἡρώων ἐκείνων εἰς τὸ ἐρέσσειν ὑπεδέξατο χεῖρας· οὐ

5. Πάγχρυσον δέρας] οἱ μὲν τοιοῦτον τὸ δέρμα ἐκείνου θέλουσιν· οἱ δὲ βεβαμμένον πορφύρᾳ. ἦν δὲ τὸ δέρας τοῦτο, φασί, τοῦ κριοῦ, ὃν Φρύξος σὺν τῇ Ἕλλῃ μὲν ἀναβὰς, μόνος δὲ διαπλεύσας τὸν Ἑλλήσποντον, ἔθυσε Διῒ σωτῆρι. 6 Πελίᾳ] Βασιλεὺς Πελίας ἦν Ἰωλκοῦ τῆς ἐν Θεσσαλίᾳ. χρησμοῦ δὲ δοθέντος αὐτῷ, τὸν μονοσάνδαλον φυλάττεσθαι, παρὰ τὸν ποταμὸν ὢν, ὁρᾷ Ἰάσονα ἐν τῷ διαβαίνειν τὸν πόρον ἀπολέσαντα ἐν τοῖς ὕδασι τῶν σανδάλων τὸ ἕτερον· ἐντεῦθεν συνέβαλεν αὐτὸν εἶναι τὸν φονεύσαντα· διὸ ἐκβιάζει αὐτὸν ἐκπλεύσαντα ἐς Κόλχους μισθὸν ἀφέσεως αὐτῷ (ἄλλως γὰρ ἐβούλετο αὐτὸν ἀνελεῖν) κομίσαι αὐτῷ τὸ χρυσοῦν δέρας. τοῦτο δ' ἦν μᾶλλον, ἵν' ἀπολεσθῇ ἐκεῖσε γενόμενος. πολλοὶ γὰρ καὶ ἄλλοι κίνδυνοι, καὶ δράκων πυρπνόος τὸ δέρας ἐφύλαττεν· ὃν ἡ Μήδεια ἡ θυγάτηρ Αἰήτου τοῦ κρατοῦντος Κόλχων, ἔρωτι ἁλοῦσα Ἰάσωνος, καταγοητεύσασα, ἀπενέκρωσε, καὶ παρέσχεν Ἰάσονι λαβεῖν τὸ δέρας ῥαδίως, ἐφ'

Μήδεια πύργους γῆς ἔπλευσ' Ἰωλκίας,
Ἔρωτι θυμὸν ἐκπλαγεῖσ' Ἰάσονος·
Οὐδ' ἂν κτανεῖν πείσασα Πελιάδας κόρας
Πατέρα, κατῴκει τήνδε γῆν Κορινθίαν
Ξὺν ἀνδρὶ καὶ τέκνοισιν, ἁνδάνουσα μὲν
Φυγῇ πολίταις, ὧν ἀφίκετο χθόνα,
Αὐτή τε πάντα συμφέρουσ' Ἰάσονι·
Ἥπερ μεγίστη γίγνεται σωτηρία,
Ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ.
Νῦν δ' ἐχθρὰ πάντα, καὶ νοσεῖ τὰ φίλτατα·
Προδοὺς γὰρ αὑτοῦ τέκνα δεσπότιν τ' ἐμὴν,
Γάμοις Ἰάσων βασιλικοῖς εὐνάζεται,
Γήμας Κρέοντος παῖδ', ὃς αἰσυμνᾷ χθονός·
Μήδεια δ' ἡ δύστηνος ἠτιμασμένη,
Βοᾷ μὲν ὅρκους, ἀνακαλεῖ δὲ δεξιᾶς,
Πίστιν μεγίστην, καὶ θεοὺς μαρτύρεται,
Οἵας ἀμοιβῆς ἐξ Ἰάσονος κυρεῖ.
Κεῖται δ' ἄσιτος, σῶμ' ὑφεῖσ' ἀλγηδόσι,
Τὸν πάντα συντήκουσα δακρύοις χρόνον,
Ἐπεὶ πρὸς ἀνδρὸς ᾔσθετ' ἠδικημένη,
Οὔτ' ὄμμ' ἐπαίρουσ', οὔτ' ἀπαλλάσσουσα γῆς
Πρόσωπον· ὡς δὲ πέτρος, ἢ θαλάσσιος
Κλύδων ἀκούει νουθετουμένη φίλων·

---

ᾧ γήμας αὐτὴν, ἄξει εἰς τὴν Ἑλλάδα. 9. Πελιάδας] Μήδεια Ἰάσονι χαριζομένη, ἑψήσασα κριὸν, ἐποίησεν αὐτὸν εὐθὺς εἶναι νέον, αἷς ᾔδει μαγγανείαις· πρὸς οὖν τοῦτο πείσασα καὶ τὰς θυγατέρας τοῦ Πελίου ἑψῆσαι τὸν ἑαυτῶν πατέρα, τούτῳ τῷ τρόπῳ διέφθειρεν· διο φυγόντες ἐκεῖθεν, ἦλθον εἰς Κόρινθον. 12· Πολίταις] οὕτως ἐν νεωτέροις ἀντὶ Πολιτῶν· οἷον, ἀγαπῶσα τῇ πρὸς Κορινθίους

γὰρ ἂν οὕτω δέσποινα ἡ ἐμὴ, ἔρωτι ἁλοῦσα Ἰάσονος εἰς Ἰωλκὸν ποτ' ἀφίκετο· οὐδ' ἂν Πελίαν ἀναπείσασα ἀποκτενεῖν τὰς αὐτοῦ θυγατέρας, εἵλετ' ἂν κατοικεῖν φυγὰς ἐν Κορίνθῳ, πάντα φέρουσα σὺν Ἰάσονι· μέγα γὰρ τοῦτο πρὸς εὐδαιμονίαν γυναῖκα πρὸς ἄνδρα εἰρήνην ἄγειν· νῦν δ' ἔχθρα δεινὴ αὐτοὺς διαστήσασα, εἰς πᾶν τοὐναντίον, τὰ πράγματα περιέστησεν· Ἰάσων μὲν γὰρ τά θ' ἑαυτοῦ τέκνα, καὶ τὴν δέσποιναν προδοὺς τὴν ἐμὴν, βασιλικὸν ἕτερον συνηρμόσατο γάμον· Μήδεια δὲ ἡ δύστηνος, ἐκπεσοῦσα, καὶ θρήνοις ἀεὶ κοπτομένη, ἤδη θεοκλυτεῖ, ὅρκων πρὸς ἐκεῖνον μεμνησκομένη, δεξιάς τε καὶ πιστὰ διὰ στόματος ἔχουσα, καὶ Θεοὺς μαρτυρομένη, οἵ' ἀνθ' οἵων ὑπ' αὐτοῦ τυγχάνει πεπονθυῖα· κεῖται δὲ ἄσιτος ἐν βαρυθυμίᾳ, πρὸς τῇ γῇ τὸ πρόσωπον ἔχουσα, δάκρυσι τὸν ἅπαντα περιῤῥεομένη χρόνον, καὶ συντηκομένη τῷ πάθει, παραμυθίαν, ὧν πέπονθεν οὐδένα τρόπον δυναμένη εὑρέσθαι, μήτε τὰ ὄμματα ἄνω στῆσαι, μήτε τὸ πρόσωπον ἀνεχομένη ἀπὸ τοῦ ἐδάφους ἀναλαβεῖν· οἷα γὰρ λίθος, ἢ κλύδων θαλάσσης, οὕτω πρὸς τὰς τῶν φίλων

---

φυγῇ· ἡ στέργουσα ἐκ τῆς φυγῆς τοῖς πολίταις, ὧν εἰς τὴν γῆν ἀφίκετο· εἰ δὲ γράψαιμεν εἰς γενικὴν, Πολιτῶν, ἐκληπτέον αὐτὸ ὡς παθητικὴν γενικὴν, ἢ μᾶλλον, ὡς κτητικήν· οἷον ἁνδάνουσα φυγῇ, ἣν ἐποίησε μὲν ἡ Μήδεια. ἐδέξαντο δὲ Κορίνθιοι. 14. Μεγίστη σωτηρία] μόνον τοῦτο; ἐγὼ δὲ προστίθημι, καὶ πᾶσα εὐδαιμονία· εἴγε ὁ γάμος ἐστὶ δῶρον Θεοῦ εἰς εὐδαιμονίαν τῶν ἀνθρώπων καὶ τοῦ εἴδους συντήρησιν· ἢν δὲ διαλυθῇ αὐτοῖς ἡ τοῦ γάμου ἁρμονία, καὶ ἀσύμφωνοι γένωνται, τοῦτο πάντα διέσπασε καὶ συνετάραξε. 19. Αἰσυμνᾷ] Κυμέας φασὶν αἰσυμνίτας καλεῖν τοὺς ἄρχοντας· ἐντεῦθεν ἄρα αἰσυμνᾷν τὸ ἄρχειν. 29. Ἀκούει νουθετουμένη φίλων] οὐ μᾶλλον ἀκούει τῶν φίλων νουθετούντων, ἢ καὶ πέτρα, ἢ κλύδων τῆς θαλάσσης. 33. Ἀτιμάσας] ἀ-

Ἣν μή ποτε στρέψασα πάλλευκον δέρην
Αὐτὴ πρὸς αὑτὴν πατέρ' ἀποιμώξῃ φίλον,
Καὶ γαῖαν οἴκους θ', οὓς προδοῦσ' ἀφίκετο
Μετ' ἀνδρὸς, ὅςσφε νῦν ἀτιμάσας ἔχει.
Ἔγνωκε δ' ἡ τάλαινα συμφορᾶς ὕπο,
Οἷον πατρῴας μὴ 'πολείπεσθαι χθονός.
Στυγεῖ δὲ παῖδας, οὐδ' ὁρῶσ' εὐφραίνεται.
Δέδοικα δ' αὐτὴν, μή τι βουλεύσῃ νέον·
Βαρεῖα γὰρ φρὴν, οὐδ' ἀνέξεται κακῶς
Πάσχουσ'· ἐγῷδα τήνδε, δειμαίνω τένιν,
Μὴ θηκτὸν ὤσῃ φάσγανον δι' ἥπατος,
Σιγῇ δόμους ἐσβᾶσ', ἵν' ἔστρωται λέχος,
Ἢ καὶ τύραννον, τόντε γήμαντα κτάνῃ,
Κἄπειτα μείζω ξυμφορὰν λάβῃ τινά·
Δεινὴ γάρ· οὔτοι ῥᾳδίως γε συμβαλὼν
Ἔχθραν τις αὐτῇ, καλλίνικον ᾄσεται.
Ἀλλ' οἵδε παῖδες, ἐκ τρόχων πεπαυμένοι,
Στείχουσι, μητρὸς οὐδὲν ἐννοούμενοι
Κακῶν· νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ.
ΠΑ. Παλαιὸν οἴκων κτῆμα δεσποίνης ἐμῆς,
Τί πρὸς πύλαισι τήνδ' ἄγουσ' ἐρημίαν
Ἕστηκας, αὐτὴ θρεομένη σαυτῇ κακά;
Πῶςσου μόνη Μήδεια λείπεσθαι θέλει;
ΤΡ. Τέκνων ὀπαδὲ πρέσβυ τῶν Ἰάσονος,
Χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν,
Κακῶς πιτνοῦντα, καὶ φρενῶν ἀνθάπτεται.
Ἐγὼ γὰρ ἐς τοῦτ' ἐκβέβηκ' ἀλγηδόνος,
Ὥσθ' ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ

οὐκ ἐπιστρέφεται νουθεσίας, οὐδὲ προσακούειν γ' ὅλως ἐθέλει· εἰ μήτι αὐτὴ ἀφ' ἑαυτῆς ἔσθ' ὅτε, τὴν κεφαλὴν μικρὸν ἂν ἀραμένη, τόντε πατέρα καὶ τὴν πατρίδα, ἣν προὔδωκε, σὺν τῷ ἀνδρὶ ἀφικομένη δεῦρο, ὑφ' οὗ νῦν ἐξυβρίσθη, ἐπιβοῷτο· ἔγνω δὲ νῦνγ' ἡ δύστηνος ἐξ ὧν ἔπαθεν, οἷόν ἐςὶ τὸ μὴ ἀπολείπειν τὴν πατρίδα· νῦν δ' οὐδ' ὁρῶσα τοὺς παῖδας, εὐφραίνεται· ἀλλ' ἐπίπαν μισεῖ, καὶ ὕποπτός ἐςι, μὴ καὶ χεῖρόν τι αὐτοῖς ἐκ τούτων βουλεύσηται· βαρύθυμος γὰρ ψυχὴ οὐκ ἀνέχεται προπηλακισθεῖσα· διὸ, ὡς τὴν φύσιν αὐτῆς ἐν πολλοῖς ἀκριβώσασα, δέδοικα, μὴ λαβοῦσα ξίφος, διελάσῃ αὐτοῖς εἰς τὸ ἧπαρ, σιγῇ εἰς τὸν θάλαμον εἰσιοῦσα, εἰ μὴ καὶ αὐτοὺς τούτους τόντε τύραννον καὶ τὸν γήματα διαχρήσαιτο· ἐξ ὧν ὕςερον μείζοσι κακοῖς περιπεσεῖται· ἀδυσώπητος γάρ ἐςι, καὶ οὐδεὶς ἄν, εἰς ἔχθραν αὐτῇ ἐλθών ποτε, καλῶς ἀπαλλάξειεν, οὐδ' ᾄσεται ἐπινίκιον. Ἀλλ' ἰδού μοι οἱ παῖδες ἐκεῖνοι, τῶν ἀθυρμάτων καὶ γυμνασίων ἤδη παυσάμενοι, προσίασιν ὡς ἡμᾶς, μηδὲν τῶν τῆς μητρὸς κακῶν ἐννοοῦντες· νηπιότης γὰρ τῶν ἀλγεινῶν ἀνεπαίσθητος ὅλως.

ΠΑ. Ἀρχαία λάτρις τῆς οἰκίας τῆς ἐμῆς δεσποτίδος, τί ποθ' ἕστηκας ἐνταῦθα παρὰ τὰς πύλας ἐν ἐρημίᾳ, πολλὰ τῶν ἀνιαρῶν ἀναλογιζομένη καθ' ἑαυτήν; πῶς ἡ Μήδεια τυγχάνει σου ἀπολειπομένη;

ΤΡ. Γέρον, ὃς παιδαγωγεῖς τοὺς παῖδας Ἰάσονος, ἴσθι, ὡς τὰ τῶν δεσποτῶν, ἐπειδὰν κακῶς ἔχῃ, καὶ τῶν δούλων τῶνγε χρηστῶν καιρίως καθάπτεται· ἔγωγ' οὖν ἐς τοῦτ'

---

τιμώσας ἐν ἄλλοις. 40. Δι' ἥπατος] τῶν παίδων δηλονότι· εἴωθε γὰρ ὁ ποιητὴς προλέγειν τὰ μέλλοντα ἔσεσθαι ἐν τῷ προλογίζειν. 41. Σιγῇ] ἐλλείπει ἐν ἄλλοις ὁ στίχος ὅδε. 46. Ἐκ τρόχων] ἐκ τῶν γυμνασίων, διατριβῶν, δρόμων,

Λέξαι μολούσῃ δεῦρο, δεσποίνης τύχας.
ΠΑ. Οὔπω γὰρ ἡ τάλαινα παύεται γόων;
ΤΡ. Ζηλῶ σ'· ἐν ἀρχῇ πῆμα, κοὐδέπω μεσοῖ.
ΠΑ. Ὦ μῶρος, εἰ χρὴ δεσπότας εἰπεῖν τόδε·
Ὡς οὐδὲν οἶδε τῶν νεωτέρων κακῶν.
ΤΡ. Τί δ' ἔστιν, ὦ γεραιέ; μὴ φθόνει φράσαι.
ΠΑ. Οὐδέν· μετέγνων καὶ τὰ πρόσθ' εἰρημένα.
ΤΡ. Μὴ, πρὸς γενείου, κρύπτε σύνδουλον σέθεν·
Σιγὴν γὰρ, εἰ χρὴ, τῶνδε θήσομαι πέρι.
ΠΑ. Ἤκουσά του λέγοντος, οὐ δοκῶν κλύειν,
Πεσσοὺς προσελθών· ἔνθα δὴ παλαίτατοι
Θάσσουσι, σεμνὸν ἀμφὶ Πειρήνης ὕδωρ,
Ὡς τούσδε παῖδας γῆς ἐλᾷν Κορινθίας
Ξὺν μητρὶ μέλλει τῆσδε κοίρανος χθονὸς
Κρέων· ὁ μέντοι μῦθος εἰ σαφὴς ὅδε,
Οὐκ οἶδα· βουλοίμην δ' ἂν οὐκ εἶναι τόδε.
ΤΡ. Καὶ ταῦτ' Ἰάσων παῖδας ἐξανέξεται
Πάσχοντας, εἰ καὶ μητρὶ διαφορὰν ἔχει;
ΠΑ. Παλαιὰ καινῶν λείπεται κηδευμάτων,
Κοὐκ ἔστ' ἐκεῖνος τοῖσδε δώμασιν φίλος.
ΤΡ. Ἀπωλόμεσθ' ἄρ', εἰ κακὸν προσοίσομεν
Νέον παλαιῷ, πρὶν τόδ' ἐξηντληκέναι.
ΠΑ. Ἀτὰρ σύ γ', (οὐ γὰρ καιρὸς εἰδέναι τάδε
Δέσποιναν,) ἡσύχαζε καὶ σίγα λόγον.
ΤΡ. Ὦ τέκν', ἀκούεθ' οἷος εἰς ὑμᾶς πατήρ;

---

68. Πεσσοὺς προσελθών] ἐλθὼν πρὸς τοὺς τόπους, ἔνθα εἰώθασιν οἱ γέροντες κυβεύειν· ἀπὸ τῶν ἐν τοῖς τόποις πραττομένων τὸν τόπον καλεῖ. 76. Παλαιὰ

ἐλήλυθα ἀθυμίας, ὥσθ' ἡδέως γενομένη ἐνταῦθα, ἐκτραγῳδῶ πρός τε τὴν γῆν αὐτὴν καὶ τὸν ουρανὸν τὴν τύχην τῆς Μηδείας.

ΠΑ. Τί δέ; οὔπω τῶν θρήνων ἐπαύσατο ἐκείνη;

ΤΡ. Θαυμάζω σε· τὸ γὰρ κακὸν ὠδῖνον, οὐδέπω τὸ μέσον ἔχει.

ΠΑ. Ὦ μῶρος, εἴγ' ἔξεσθ' οὕτως εἰπεῖν τοὺς δεσπότας· οὐδὲ γὰρ οἶδ', ὡς ἔοικεν, οὐδὲν, ὧν μέλλει πείσεσθαι ἔτι.

ΤΡ. Ἔστι τί νέον αὖθις; εἶτ' οὐκ ἂν φθάνοις κἀμοὶ τοῦτ' εἰπών;

ΠΑ. Οὐ γάρ· μετέγνων δὲ νῦν και ταῦτ' ἐκφράσας ἄρτι.

ΤΡ. Μὴ πρὸς τοῦ σοῦ γενείου, μὴ κρύπτε ταῦτά με σύνδουλον οὖσαν· ἐν γὰρ ἀποῤῥήτοις μοι κείσεται, εἰ τούτου δέοι.

ΠΑ. Ἐλθὼν, ἔνθ' οἱ πρεσβύτεροι πισσεύοντες κάθηνται, περὶ τὸ ἱερὸν τῆς Πειρήνης ὕδωρ, ἤκουσά του λέγοντος, δοκῶν μὴ ἀκούειν, ὡς ἔδοξε Κρέοντι ἐξελάσαι τοὺς παῖδας τούσδε, καὶ τὴν μητέρα μακρὰν τῆς Κορίνθου· ταῦτα παρ' ἐκείνου· εἰ δε ἔχεται ἀληθειας, ἄλλος λεγέτω· ἔγωγε δ' οὖν βουλοίμην ἂν ψευδῆ ταῦτ' εἶναι μᾶλλον.

ΤΡ. Τί δ' ὁ Ἰάσων; ἀνέξεται οὗτος, ὁρῶν τοὺς παῖδας ἐλαυνομένους, εἰ καὶ πρὸς τὴν μητέρα αὐτῶν ἠλλοτρίωται πάμπαν;

ΠΑ. Ἀρχαῖα ταῦτα· τὸ δὲ νέον κῆδος παρ' αὐτῷ ἐστι προτιμότερον· κοὐδεμία αὐτῷ φροντὶς τῶν ἐνὑκάδε.

ΤΡ. Φεῦ, ἀπολλύμεθα, εἰ πρὶν το παρὸν ἀπολωφῆσαι, ἕτερον κακὸν ἐπὶ παλαιῷ ἡμῖν ἐπαναςαίη.

ΠΑ. Τέως δ' οὖν σίγα τάδε, ἵνα μὴ ἔκπυστα γένηται τῇ δεσποίνῃ· οὔπω γάρ ἐςι καιρὸς εἰδέναι ταῦτα.

ΤΡ. Ὦ τέκνα, μανθάνετε, οἷός ἐςιν ὁ πατὴρ ἤδη πρὸς ἡμᾶς;

---

καινῶν λείπεται κηδευμάτων] ὅμοιον τοῦτο τῷ ἐν Ἠλέκτρᾳ στιχ. 265.
Γυναῖκες ἀνδρῶν, ὦ ξέν', οὐ παίδων φίλαι.

Ὄλοιτο μὲν μή· δεσπότης γὰρ ἔστ᾽ ἐμός·
Ἀτὰρ κακός γ᾽ ὢν ἐς φίλους ἁλίσκεται.
ΠΑ. Τίς δ᾽ οὐχὶ θνητῶν, ἄρτι γιγνώσκεις τόδε,
Ὡς πᾶς τις αὑτὸν τοῦ πέλας μᾶλλον φιλεῖ,
Οἱ μὲν δικαίως, οἱ δὲ καὶ κέρδους χάριν,
Εἰ τούσδε γ᾽ εὐνῆς οὕνεκ᾽ οὐ στέργει πατήρ;
ΤΡ. Ἴτ᾽, (εὖ γὰρ ἔσται,) δωμάτων ἔσω, τέκνα.
Σὺ δ᾽ ὡς μάλιστα τούσδ᾽ ἐρημώσας ἔχε,
Καὶ μὴ πέλαζε μητρὶ δυσθυμουμένῃ.
Ἤδη γὰρ εἶδον ὄμμα νιν ταυρουμένην
Τοῖσδ᾽, ὥς τι δρασείουσαν· οὐδὲ παύσεται
Χόλου, σάφ᾽ οἶδα, πρὶν κατασκῆψαί τινα.
Ἐχρούς γε μέντοι, μὴ φίλους δράσειέ τε.
ΜΗ. Δύστανος ἐγὼ μελέα τε πόνων,
Ἰώ μοί μοι, πῶς ἂν ὀλοίμαν;
ΤΡ. Τόδ᾽ ἐκεῖνο, φίλοι παῖδες· μάτηρ
Κινεῖ κραδίαν, κινεῖ δὲ χόλον.
Σπεύσατε θᾶσσον δώματος εἴσω,
Καὶ μὴ πελάσητ᾽ ὄμματος ἐγγὺς,
Μηδὲ προσέλθητ᾽, ἀλλὰ φυλάσσεσθ᾽
Ἄγριον ἦθος στυγεράν τε φύσιν
Φρενὸς αὐθάδους.
Ἴτε νυν, χωρεῖθ᾽ ὡς τάχος εἴσω.
Δῆλον δ᾽ ἀρχῆς ἐξαιρόμενον
Νέφος οἰμωγῆς, ὡς τάχ᾽ ἀνάψει
Μείζονι θυμῷ· τί ποτ᾽ ἐργάσεται
Μεγαλόσπλαγχνος, δυσκατάπαυστος
Ψυχὴ δηχθεῖσα κακοῖσιν;

ἐγὼ δ᾽ οὖν καταρᾶσθαι μὲν αὐτῷ, δεσπότῃ ὄντι, οὐκ ἂν βουλοίμην, ἀλλ᾽ ὅμως κακοὺς περὶ τοὺς φιλοῦντας δοκεῖ γενέσθαι.

ΠΑ. Θαυμάζω σου ἀγνοούσης τοῦτο, ὡς οὐδεὶς ἂν εἴη, ὅστις οὐχ ἑαυτὸν μᾶλλον, ἢ ἄλλον τινὰ φιλεῖ, ὁ μέντις καὶ δικαίως, οἱ δὲ πλείους τὰ συνοίσονθ᾽ ἑαυτοῖς ἰδίᾳ ποιοῦντες· αὐτίκα γὰρ ὁ πατὴρ οὐκ εὐνῆς ἕνεκα μισεῖ τούτους;

ΤΡ. Ἀλλ᾽ ἡμεῖς γ᾽, ὦ τέκνα, εἴσιτε· ἄμεινον γάρ· σὺ δ᾽, ὦ γέρον, φύλασσε αὐτοὺς ἐν ἐρημίᾳ ἐκποδὼν γυναικὸς βαρυθύμου· ἄρτι γὰρ ἑώρακα αὐτὴν πῦρ ὅλως βλέπουσαν, ὥσπερ κακόν τι ἐθέλουσαν τούτους δρᾶσαι· καὶ οὐδὲ παύσεται, εὖ ἴσθι τοῦτ᾽ αὐτός γε, τῆς παρούσης ὀργῆς, πρὶν ἂν κακῶς τινα δράσῃ· ἀλλ᾽ ὅ,τι ἂν ᾖ, πρὸς ἐχθροὺς, ὦ Θεοὶ, πρὸς ἐχθροὺς ἀποτρέψατε τοῦτο.

ΜΗ. Δύστηνος ἐγὼ, τάλαιν᾽, ὧν ἔτλην πόνων· ἰώμοι μοι. πῶς ἂν ἀπολοίμην;

ΤΡ. Τοῦτ᾽ ἐκεῖνο, ὦ παῖδες, ἡ μήτηρ ὑμῶν σφοδρῷ κεκίνηται πάθει· οὐκοῦν εἴσιτε σπεύσαντες, μηδὲ πρόσιτε αὐτῇ, τό,τε ἦθος αὐτῆς τὸ ἄγριον ἤδη, καὶ τὴν φύσιν ὀργῶσαν πρὸς ἔκτισιν φυλαττόμενοι· ἴτε, φημὶ, χωρεῖτε εἰς τὰ δώματα ἔσω· τὸ γὰρ ἀρτίως ἀρθὲν νέφος τοῦτο τῆς οἰμωγῆς, δῆλον ὅτι, μεῖζον ἐποίσει κακὸν ἐκραγέν· τίς γὰρ οἶδε τί ποτε δράσει ἡ θρασύσπλαγχνος καὶ ἀδυσώπητος ἐκείνη ψυχὴ, σφοδρῷ δηχθεῖσα πάθει;

85. Γινώσκεις] ἐν ἄλλοις, τίς γινώσκει· ὑφ᾽ ἓν ἄνωθεν· καὶ τάχ᾽ ἄμεινον 94 Κατασκῆψαί τινα] πρὶν, ὡς κεραυνὸς ἐπιπέσῃ τινί. 96. Δύστηνος ἐγὼ] ἔνδοθεν ἐκ τοῦ ἀφανοῦς βαρυθυμεῖ τὰ τοιαῦτα ἡ Μήδεια· διὸ ἡ τροφὸς περίφοβος γενομένη, ἐπισπέρχει σὺν πτοήσει τοὺς παῖδας ἐντὸς ἑτέρου γενέσθαι οἰκή-

ΜΗ. Αἶ αἶ αἶ αἶ·
Ἔπαθον τλάμων, ἔπαθον μεγάλων
Ἄξι' ὀδυρμῶν· ὦ κατάρατοι
Παῖδες ὄλοισθε στυγερᾶς ματρὸς
Ξὺν πατρὶ, καὶ πᾶς δόμος ἔῤῥοι.

ΤΡ. Ἰώ μοί μοι! ἰὼ τλῆμον!
Τί δέ σοι παῖδες πατρὸς ἀμπλακίας
Μετέχουσι; τί τούσδ' ἔχθεις; οἴμοι,
Τέκνα, μήτι πάθηθ', ὡς ὑπεραλγῶ!
Δεινὰ τυράννων λήματα, καίπως
Ὀλίγ' ἀρχόμενοι, πολλὰ κρατοῦντες,
Χαλεπῶς ὀργὰς μεταβάλλουσιν.
Τὸ δ' ἄρ' εἰθίσθαι ζῆν ἐπ' ἴσοισιν
Κρεῖσσον· ἔμοιγ' οὖν, εἰ μὴ μεγάλως,
Ὀχυρῶς γ' εἴη καταγηράσκειν.
Των γὰρ μετρίων πρῶτα μεν εἰπεῖν
Τοὔνομα νικᾷ, χρῆσθαί τε μακρῷ
Λῷστα βροτοῖσιν· τὰ δ' ὑπερβάλλοντ'
Οὐδένα καιρὸν δύναται θνατοῖς·
Μείζους δ' ἄτας, ὅταν ὀργισθῇ
Δαίμων οἴκοις, ἀπέδωκεν.

ΧΟ. Ἔκλυον φωνὰν, ἔκλυον δὲ βοὰν
Τᾶς δυστάνου Κολχίδος.
Οὐδέπω ἤπιος; ἀλλ' ὦ γεραιὰ,
Λέξον· ἐπ' ἀμφιπύλου γὰρ ἔσω

ματος πρὸς ἀσφάλειαν. 121. Ὀλίγου ἀρχόμενοι] ἐξ ὀλίγου θυμοῦ, ἢ ἐκ μικρᾶς αἰτίας ἀρχόμενοι, ἐπὶ πολὺ διαρκοῦντες ἐν τούτῳ, χαλεπῶς μεταβάλονται εἰς τὸ πρᾶον, ὡς ἐκ τοῦ ὑπερέχοντος πάντα μαθόντες πράττειν. 123. Τὸ ἄρ' εἰθίσθαι] ἐν ἄλλοις. το γὰρ εἰθίσθαι. ο δὲ νοῦς, κρεῖσσον ἀπὸ τοῦ ἴσου ζῆν πάν-

ΜΗ. Αἶ, αἶ· ἔπαθον, ἔπαθον, ἡ δύστηνος πολλῶν ὀδυρμῶν ἄξια· ὦ κατάρατοι παῖδες δυστυχοῦς μητρὸς, ὄλοισθ', ἀπόλοισθ' ὑμεῖς τε καὶ πατὴρ ἅμα, καὶ πᾶς ὁ οἶκος ἐῤῥέτω ὅδε.

ΤΡ. Ἰώ μοι, ἰὼ τλήμων· τί δήποθ' οἱ παῖδες οὗτοι τῶν τοῦ πατρὸς ἁμαρτημάτων μετέχουσι; τί μεθίςης ἐκεῖθεν τὸ πάθος ἐπὶ τούτους; οἴμοι, ὦ παῖδες, φόβος, φόβος με ἔχει, μή τι πάθητε κακόν· χαλεπὰ γὰρ τὰ τῶν δεσποτῶν φρονήματα· κἀκ μικρῶν πολλάκις ὁρμώμενοι, ἐπὶ πολὺ τὸ πάθος κατέχουσι, τοῦ πρόσω ἰόντες· ἔμοιγ' οὖν κρεῖσσον δοκεῖ ἐπὶ μετρίοις ἐθίζεσθαι ζῆν· καὶ εἴη μοι οὕτως ἐπιβιῶναι ἐν ἀσφαλείᾳ· τὸ γὰρ ἐν ἅπασι μέτριον καὶ λεγόμενον καὶ πραττόμενον, ἀνθρώποις σωφρονοῦσίν ἐστι προτιμότερον· ἡ δε ἐν τούτοις ὑπερβολὴ καὶ ἀεὶ μὲν ἀστάθμητός ἐστι, καὶ τῆς τύχης χαλεπηνάσης, μείζων βλάβη τοῖς ἔχουσι γίγνεται.

ΧΟ. Φωνῆς, φωνῆς τῆς ταλαίνης ἀκήκοα Κολχίδος· τί δέ; οὔπω δοκεῖ καταπαῦσαι τὸ πάθος; ἀλλὰ σὺ, ὦ γεραιὰ, εἴποις ἂν ἡμῖν, τί ποτε βούλεται τὰ ἐν τῷ οἴκῳ ἤδη

---

τας, ἢ ὑπεροχὰς ἀνθρώποις εἶναι, ἐξ ὧν τὰ πλεῖστα τῶν κακῶν τοῖς ἀφ' ἑκα-
τέρου ὁρμωμένοις τοῦ βίου. 125. Ὀχυρῶς] οὐ βούλομαι, φησὶ, μέγαν δόξῃ
καὶ πλούτῳ εἶναι, ἵνα μὴ τῆς τύχης μεταβαλούσης, ἐξολισθήσω· θέλω δὲ ἐν
τῷ μετρίῳ ζῶν, ἐν τῷ ἀσφαλεῖ ἀεὶ εἶναι. 127. Τοὔνομ' νικᾷ.] ἡ μὲν γὰρ με-
τριότης καὶ λεγομένη νικᾷ, πολλῷ μᾶλλον πραττομένη· ἡ δὲ ὑπεροχὴ πολλῶν
κακῶν ἀνθρώποις γίνονται αἴτιον· διὸ καὶ τὸ σοφὸν, πᾶν μέτρον ἄριστον, μη-
δὲν ἄγαν 129. οὐδένα καιρὸν] οὐ δύνανται διαρκεῖν ἕως τέλους· ἢ οὐδὲν ὄφε-
λος φέρουσι τοῖς ἀνθρώποις. 132. Ἔκλυον βοάν] ἐνταῦθα εἰσέρχεται ὁ Χορὸς,
βουλόμενος μαθεῖν, τίς ἄρ' ἡ φωνὴ αὕτη τῆς Μηδείας εἴη. 135. Ἀμφιπύλου]
ἐπὶ τῆς ἀμφιπύλου οὖσα, ἔκλυον βοὴν εἴσω τῶν οἴκων· ἀμφίπυλος δὲ εἴσοδος
εἰς τὴν οἰκίαν, ἀμφοτέρωθεν θύρας ἔχουσαν, τὴν μὲν κυρίαν, τὴν δὲ ἐρσυθύ-

Μελάθρου βοὰν ἔκλυον.
Οὐδὲ συνήδομαι, γύναι,
Ἄλγεσι δώματος,
Ἐπεὶ μὴ φίλια κέκρανται.
ΤΡ. Οὐκ εἰσὶ δόμοι· φροῦδα τάδ' ἤδη.
Χῷ μὲν γὰρ ἔχει λέκτρα τυράννων,
Ἡ δ' ἐν θαλάμοις τάκει βιοτὰν
Δέσποινα, φίλων οὐδενὸς οὐδὲν
Παραθαλπομένα φρένα μύθοις.
ΜΗ. Αἶ αἶ·
Διά μου κεφαλᾶς φλὸξ οὐρανία
Βαίη· τί δ' ἐμοὶ ζῆν ἔτι κέρδος;
Φεῦ, φεῦ· θανάτῳ καταλυσαίμαν,
Βιοτὰν στυγερὰν προλιποῦσα.
ΧΟ. Ἄϊες, ὦ Ζεῦ, καὶ γᾶ, καὶ φῶς, (Στρ.)
Ἰαχὰν, οἵαν ἁ δύστανος
Μέλπει νύμφα;
Τίς σοι ποτὲ τᾶς ἀπλάστου
Κοίτας ἔρος, ὦ ματαια,
σπεύσει θανάτου τελευτάν;
Μηδὲν τόδε λίσσου.
Εἰ δὲ σὸς πόσις
Καινὰ λέχη σεβίζει,
Κείνῳ τόδε μὴ χαράσσου·
Ζεύς σοι τόδε συνδικάσει.
Μὴ λίαν τάκου,
Δυρομένα σὸν εὐνέταν.
ΜΗ. Ὦ μεγάλα Θέμι καὶ πότνι' Ἄρτεμι,
Λεύσσεθ', ἃ πάσχω, μεγάλοις ὅρκοις
Ἐνδυσαμένα τὸν κατάρατον
Πόσιν; ὅν ποτ' ἐγὼ νύμφαν τ' ἐσίδοιμ'

γεγενημένα; φωνὴν γὰρ ἔξωθεν ἀπὸ τῆς πύλης ἤκουσα, καὶ οὐδ' ἄκρας ταῦθ' ἥψατό μου τῆς καρδίας, μὴ κατὰ γνώμην ταῦτα πραττόμενα.

ΤΡ. Οὐκέτι σοι ἐςὶν ὁ οἶκος οὗτος· φροῦδα δὲ ἡγοῦ πάντα, κοὐδὲν λοιπόν· ὁ μὲν γὰρ τὴν Κρέοντος ἔχει· ἥδε δὲ ἐντὸς συντήκεται δάκρυσι παρὰ μηδενὸς τῶν φίλων παραμυθίαν βουλομένη προσίεσθαι.

ΜΗ· Αἶ, αἶ· εἴθε πῦρ οὐρανόθεν ἐπὶ τὴν ἐμὴν κεφαλὴν ἐπισκήψειε· τί γάρ μοι κέρδος ζῆν; φεῦ; φεῦ· γένοιτό μοι ἀποθανεῖν, ςυγεροῦ ἀπαλλαγεῖσαν βίου;

ΧΟ Ἀκούεις, ὦ Ζεῦ, καὶ γῆ, καὶ φῶς, οἵαν φωνὴν ἀφῆκεν ἡ δυςάλατνα νύμφη; ὦ ματαία, τί τοσοῦτον ἀνδρὸς ἀκολάςῳ ἁλοῦσα πάθει, σπεύδεις πρὸς θάνατον; μὴ σύγε, μὴ εὔχου τοῦτο. εἰ γὰρ ὁ ἀνὴρ ἑτέραν ἀνθείλετο, μηδέν σε τοῦτο ταραττέτω· οὐδὲ δεῖ σε ἐπὶ τούτοις οὕτω χαλεπῶς ἐνεγκεῖν. Δία γὰρ αὐτὸν συνδικάζοντα ἕξεις. μὴ οὖν οὕτω λίαν ὀργίζου ἐπ' ἐκεῖνον.

ΜΗ. Ὦ Θέμις, καὶ πότνια Ἄρτεμις, θεάσασθε, οἷα πάσχω, ἐπὶ μεγίςοις ὅρκοις δεξαμένη τὸν κατάρατον ἄνδρα· ὃν ἔγωγε μετὰ μικρὸν, αὐτόν τε καὶ νύμφην ἴδοιμι αὐτοῖς οἴκοις συμφθειρομένους, ὡς χειρῶν ἀδίκων ὑπάρξαντας·

---

ραν παρ' Ὁμήρῳ καλουμένην. 146. Φλὸξ οὐρανία] πολὺ τὸ πάθος φέρει ταῦτα.
154. Τίς σοι . . . ἔρος] ἐν ἄλλοις, τίς σοι . . . ἔρως· ἀντὶ δὲ τοῦ Ἀπλάστου Ἀ-

Αὐτοῖς μελάθροις διακναιομένους,
Οἵ γ' ἐμὲ πρόσθεν τολμῶσ' ἀδικεῖν.
Ὦ πάτερ, ὦ πόλις, ὧν ἀπενάσθην
Αἰσχρῶς, τὸν ἐμὸν κτείνασα κάσιν.
ΤΡ. Κλύεθ' οἷα λέγει, κἀπιβοᾶται
Θέμιν εὐκταίαν Ζῆνά θ', ὃς ὅρκων
Θνατοῖς ταμίας νενόμισται;
Οὐκ ἔστιν ὅπως ἔν τινι μικρῷ
Δέσποινα χόλον καταπαύσει.
ΧΟ. Πῶς ἂν ἐς ὄψιν τὰν ἁμετέραν (Ἀντ.)
Ἔλθοι, μύθων τ' αὐδαθέντων
Δέξαιτ' ὀμφὰν,
Εἴ πως βαρύθυμον ὀργὰν
Καὶ λῆμα φρενῶν μεθείη;
Μήτοι τό γ' ἐμὸν πρόθυμον
Φίλοισιν ἀπέστω.
Ἀλλὰ βᾶσά νιν
Δεῦρο πόρευσον οἴκων
Ἔξω, φίλα, καὶ τάδ' αὔδα·
Σπεῦσον, πρίν τι κακῶσαι
Τοὺς εἴσω· πένθος
Γὰρ μεγάλως τόδ' ὁρμᾶται.
ΤΡ. Δράσω τάδ'· ἀτὰρ φόβος, εἰ πείσω
Δέσποιναν ἐμάν·
Μόχθου δὲ χάριν τήνδ' ἐπιδώσω.
Καίτοι τοκάδος δέργμα λεαίνης
Ἀποταυροῦται δμωσὶν, ὅταν τις
Μῦθον προφέρων πέλας ὁρμαθῇ.
Σκαιοὺς δὲ λέγων κοὐδέν τι σοφοὺς
Τοὺς πρόσθε βροτοὺς οὐκ ἂν ἁμάρτοις.
Οἵτινες ὕμνους ἐπὶ μὲν θαλίαις
Ἐπί τ' εἰλαπίναις καὶ παρὰ δείπνοις

ὦ πάτερ, ὦ πόλις, ὧν ἀπέστην αἰσχρῶς, τὸν ἐμαυτῆς ἀδελφὸν διαχρησαμένη.

ΤΡ. Ἀκούετε, οἷα βοᾷ; Θέμιν τὴν εὐκταίαν ἐπικαλεῖται καὶ Δία τὸν ὅρκιον, ὥςτ' οὐκ ἔσθ' ὅπως ἐν σμικρῷ τοσοῦτον μεθήσει χόλον.

ΧΟ. Πῶς ἂν εἴη ἐλθεῖν αὐτὴν ὡς ἡμᾶς, εἴπως ἐκ τῶν λόγων ἀκούσασα, ἀποσείσαιτο τῆς ψυχῆς τὸ ὀργίλον; δεῖ γὰρ δὴ πρόθυμον εἶναι ἐπαρκεῖν τοῖς φίλοις δυςυχοῦσιν· ἴθι τοίνυν, ὦ φίλη, εἰπὲ αὐτῇ ἐξελθεῖν δεῦρο· σπεῦσον δὲ πρὶν ἄν τοὺς ἔνδον τι δράσῃ· πολλῷ γὰρ πάθει δοκεῖ ἐπιῤῥεῖν.

ΤΡ. Ἔσται σοῦ χάριν ταῦτα· ἀλλ' οὐκ οἶδ', εἰ δυνήσομαι πεῖσαι· καὶ γὰρ οἰκέτου ἀκούσασα πρὸς αὐτὴν φθεγγομένου, ὥσπερ ἀρτίτοκος λέαινα, τὸ βλέμμ' ἀποταυροῦται· διὸ, εἴτις τοὺς πρόσθεν σοφοὺς ἀμαθεῖς εἴποι, οὐκ ἂν ἁμάρτοι· ἐν μὲν γὰρ θαλίαις καὶ εἰλαπίναις καὶ εὐωχίαις πρὸς κήλησιν ἀκοῆς ᾠδὰς ἐφεῦρον· ὅπως δὲ ψυχῆς ἀλγηδόνας στορέ-

---

πληστος κεῖται ἐν ἄλλοις. 170. Κάσιν] τὸν ἑαυτῆς ἀδελφόν φησιν Ἄψυρτον, ὃν φεύγουσα, διεμέλησεν ἐν τῷ βωμῷ, ἢ ὡς ἄλλοι ἐν τῷ πλοίῳ· τὰ δὲ μέλη αὐτοῦ ἔῤῥιψεν ἕκαστα τοῖς διώκουσιν, ἐφ' ᾧ ἐκεῖνοι συλλέγοντες ταῦτα πανταχῆ, κωλύοιντο τοῦ διώκειν. 172. Ζῆνα] καὶ μὴν Ἄρτεμιν ἐκείνη ἐπεκαλέσατο, εἰμή τις εἴποι, ὅτι ἐν τῇ Θέμιδι συνεννοεῖται καὶ ὁ Ζεύς, ὡς σύνεδρον ἔχων ἐκείνην. 181. Μήτοι] τοῦτ' ἐν ἄλλοις ἡ τροφος ὑποκρίνεται.

Εὕροντο, βίου τερπνὰς ἀκοάς·
Στυγίους δὲ βροτῶν οὐδεὶς λύπας
Εὕρετο μούσῃ καὶ πολυχόρδοις
Ὠδαῖς παύειν, ἐξ ὧν θάνατοι
Δειναί τε τύχαι σφάλλουσι δόμους.
Καίτοι τάδε μὲν κέρδος ἀκεῖσθαι
Μολπαῖσι βροτούς· ἵνα δ' εὔδειπνοι
Δαῖτες, τί μάτην τείνουσι βοάν;
Τὸ παρὸν γὰρ ἔχει τέρψιν ἀφ' αὑτοῦ
Δαιτὸς πλήρωμα βροτοῖσιν.

ΧΟ. Ἰαχὰν ἄϊον πολύστονον γόων, (Ἐπῳδ.)
Λιγυρὰ δ' ἄχεα μογερὰ βοᾷ
Τὸν ἐν λέχει προδόταν κακόνυμφον·
Θεοκλυτεῖ δ', ἄδικα παθοῦσα,
Τὰν Ζανὸς ὁρκίαν Θέμιν,
Ἅνιν ἔβασεν
Ἑλλάδ' ἐς ἀντίπορον
Δι' ἅλα νύχιον ἐφ' ἁλμυρὰν
Πόντου κλῇδ' ἀπέραντον.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΜΗΔΕΙΑ, ΚΡΕΩΝ, ΧΟΡΟΣ.

ΜΗ. Κορίνθιαι γυναῖκες, ἐξῆλθον δόμων,
Μή μοί τι μέμψησθ'· οἶδα γὰρ πολλοὺς βροτῶν

213. Ἄνιν ἔβασεν] ἥτις Θέμις διεβίβασεν αὐτὴν (ὡς πιστεύσασαν δηλονότι τοῖς

σιαν ἄνθρωποι, ἐξ ὧν λύπαι καὶ θάνατοι πολλάκις ἐπάγονται, οὐδεὶς οὐδέπω οὐδὲν ἐξευρεῖν ἐπεβάλετο ἴαμα· καίτοι κέρδος μέγ' ἂν ἦν τὰς λύπας ταῖς μολπαῖς θεραπεύειν· ἔνθα δὲ τράπεζαί τε πολυτελεῖς, καὶ ἄλλα τῶν πρὸς ἡδονὴν οὐ σμικρὰ, τί μάτην ταῖς ᾠδαῖς ἐπιτείνονται ἄνθρωποι, τῶν παρατεθειμένων ἀφ' ἑαυτῶν πλήρη τὴν τῆς ἡδονῆς παρεχόντων ἀπόλαυσιν;

**ΧΟ.** Πολυστόνου φωνῆς ἀκήκοα γόον· καταβοᾷ γὰρ ἡ δύστηνος δεινά τε καὶ χαλεπὰ τοῦ κακονύμφου προδότου· ἀδικηθεῖσα γὰρ ὑπ' αὐτοῦ, ἐπικαλεῖται Θέμιν τὴν τοῦ Διὸς, τὴν ὁρκίαν, τὴν διὰ τῆς μεγάλης θαλάσσης κατὰ τὰς Συμπληγάδας ἐς τὴν ἀντιπαρακειμένην τῇ Ἀσίᾳ Ἑλλάδα ἔννυχον αὐτὴν διαβιβάσασαν.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

## ΜΗΔΕΙΑ, ΚΡΕΩΝ, ΧΟΡΟΣ.

**ΜΗ.** Κορίνθιαι γυναῖκες, πάρειμι ἤδη, ἵνα μήτι μοι καταμέμψησθε· οἶδα γὰρ τῶν ἀνθρώπων τοὺς μὲν, ἐξ ἀπου-

ὅρκοις, ὧν ἐκείνη ἐστὶν ἔφορος) ἐννυχτὶ διὰ τῆς θαλάσσης εἰς τὴν ἀντιπέραν τῆς Ἀσίας Ἑλλάδα κατὰ τὴν δυσδιέξοδον τοῦ πόντου κλεῖδα, αἵ εἰσιν αἱ Συμπληγάδες. 219. Μήτι μοι μέμψησθε] ἐπειδὴ ὁ Χορὸς ἐζήτησεν αὐτὴν ἐξελθεῖν διὰ τῆς τροφοῦ, πρὸς τοῦτ' αὐτῇ ὁρμᾶται ὁ λόγος ὡς μάλα σεμνὸς καὶ εὐπρόσωπος· καί φησιν, ἰδοὺ ἐξῆλθον κατὰ τὴν ἀξίωσιν ἡμῶν, ἵνα μὴ καταμέμψησθέ με·

Σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο,
Τοὺς δ' ἐν θυραίοις· οἱ δ' ἀφ' ἡσύχου ποδὸς
Δύσκλειαν ἐκτήσαντο καὶ ῥαθυμίαν.
Δίκη γὰρ οὐκ ἔνεστ' ἐν ὀφθαλμοῖς βροτῶν,
Ὅστις, πρὶν ἀνδρὸς σπλάγχνον ἐκμαθεῖν σαφῶς,
Στυγεῖ δεδορκὼς, οὐδὲν ἠδικημένος.
Χρὴ δὲ ξένον μὲν κάρτα προσχωρεῖν πόλει·
Οὐδ' ἀστὸν ἤνεσ', ὅστις αὐθάδης γεγὼς,
Πικρὸς πολίταις ἐστὶν ἀμαθίας ὕπο.
Ἐμοὶ δ' ἄελπτον πρᾶγμα προσπεσὸν τόδε,
Ψυχὴν διέφθαρκ'· οἴχομαι δὲ, καὶ βίου
Χάριν μεθεῖσα κατθανεῖν χρῄζω, φίλαι.
Ἐν ᾧ γὰρ ἦν μοι πάντα, γιγνώσκεις καλῶς,
Κάκιστος ἀνδρῶν ἐκβέβηχ' οὑμὸς πόσις,
Πάντων δ', ὅσ' ἔστ' ἔμψυχα καὶ γνώμην ἔχει,
Γυναῖκες ἐσμὲν ἀθλιώτατον φυτόν·
Ἃς πρῶτα μὲν δεῖ χρημάτων ὑπερβολῇ
Πόσιν πρίασθαι, δεσπότην τε σώματος
Λαβεῖν· κακοῦ γὰρ τοῦδ' ἔτ' ἄλγιον κακόν,
Κἀν τῷδ' ἀγὼν μέγιστος, ἢ κακὸν λαβεῖν,
Ἢ χρηστόν· οὐ γὰρ εὐκλεεῖς ἀπαλλαγαὶ
Γυναιξὶν, οὐδ' οἷόν τ' ἀνήνασθαι πόσιν.
Ἐς καινὰ δ' ἤθη καὶ νόμους ἀφιγμένην,
Δεῖ μάντιν εἶναι, μὴ μαθοῦσαν οἴκοθεν,
Ὅτῳ μάλιστα χρήσεται ξυνευνέτῃ·

---

οἶδα γὰρ πολλοὺς τῶν ἀνθρώπων πολλαχῶς τὸ σεμνὸν θηρωμένους· τοὺς μὲν, ἐκ τοῦ κεχωρίσθαι ὅλως, μακρὰν τῶν ἄλλων διατελοῦντας· τοὺς δὲ, τῷ

σίας· τοὺς δὲ, τοὐναντίον ἐκ παρουσίας τὸ σεμνὸν θηρωμένους· εἰσὶ δὲ οἳ, τὴν ἐρημίαν διώκοντες μάλιστα, δύσκλειαν ἀπὸ τούτου περιεβάλοντο· οἱ γὰρ ἄνθρωποι οὐκ ὀρθῷ τῷ βλέμματι τὰ δίκαια βλέπουσιν, ὅσοιγε πρὶν ἂν τὰ ἐντόςτινος καταμάθωσιν, ἐκ μόνης ὄψεως κρίνοντες, μισοῦσι, καὶ μηδὲν ἠδικημένοι· δεῖ δ' οὖν τόν τε ξένον ὄντα τοῖς τῶν πολιτῶν προσαρμόζεσθαι ἤθεσι· τόν τε πολίτην μηδὲν ἐξ αὐταρεσκείας πικρὸν γίγνεσθαι τοῖς ὁμοίοις. Ἐγὼ δ', ὦ φίλαι, μεγάλῃ συμφορᾷ νὺν παρὰ προσδοκίαν περιπεσοῦσα, ἀπόλλυμαι, κοὐκ ἔχω, ὅπως μὴ ἀντὶ τοῦ ζῆν θανεῖν προέλωμαι· πάντων γὰρ ἡμῖν τῶν ἄλλων, ὡς ἴσε, καλῶς ἐχόντων, ὁ ἀνὴρ μόνον οὑμὸς κάκιστος εἰς ἐμὲ ἀπέβη· διὸ, εἴτις γυναῖκας ἁπάντων τῶν αἴσθησιν πλουτούντων ἀθλιωτάτας εἴποι, οὐκ ἂν ἁμάρτοι· πρῶτον μὲν γὰρ δεῖ αὐτὰς πολλῶν χρημάτων τοὺς ἄνδρας πρίασθαι, καὶ τούτους τοῦ σώματος δεσπότας· ἔπειτα, ὃ καὶ μεῖζον κακὸν, ἀγωνιᾷν, πότερον, χρησοῦ, ἢ φαύλου τὶς τούτου τεύξεται· καὶ δεῖ φέρειν ἐκεῖνον, ὁποῖός ποτ' ἂν ᾖ· οὐ γὰρ εὐπρεπὲς αὐταῖς μηδεμιᾷ προφάσει ἀπολύειν τοὺς ἄνδρας· ἐπὶ δὲ τούτοις, εἴτις ὑμῶν ἐν ξένοις νόμοις πρὸς γάμον ἔλθοι, δεῖ μάντιν εἶναι, μὴ ἔχουσαν

---

ναντίον ἐκ τοῦ συχνοτέρας τὰς ἐντεύξεις πρὸς τοὺς ἔξω ποιεῖσθαι· τὸ δὲ ἡσυ-
χίαν ἄγειν οἴκαδε (ὥσπερ κἀγὼ ἐβουλόμην νῦν γε ποιεῖν) μεμπτὸν παρ' αὐ-
τοῖς, καὶ εἴτις ἐπετήδευσε τοῦτο, δυσκλεὴς ἐγένετο, καὶ ῥᾴθυμος ἤκουσε καὶ
ἀργός· οὕτω γὰρ ἀδίκως οἱ ἄνθρωποι ἐξ ὄψεως μόνης τὰ τῶν ἄλλων κρίνουσι
καὶ μηδὲν ἠδικημένοι, καὶ πρὶν ἂν εἰς τὴν ψυχὴν αὐτὴν καταδύσωνται, ἔνθα
ἀκριβεστάτη γίνεται τοῦ ἤθους διάγνωσις· Ἐμὲ δ' οὖν ξένην οὖσαν χρὴ
τοῖς τῆς πόλεως προσαρμόζεσθαι τρόποις. 230. Βίου χάριν] αὐτοῦ τοῦ ζῆν, ᾧ
μάλιστα χαίρομεν. 236. Χρημάτων ὑπερβολῇ] τὴν φερνὴν ἐννοεῖ· καίτοι ἐφ·

Κἂν μὲν τάδ' ἡμῖν ἐκπονουμέναισιν εὖ
Πόσις ξυνοικῇ, μὴ βίᾳ φέρων ζυγὸν,
Ζηλωτὸς αἰών· εἰ δὲ μὴ, θανεῖν χρεών.
Ἀνὴρ δ' ὅταν τοῖς ἔνδον ἄχθηται ξυνὼν,
Ἔξω μολὼν, ἔπαυσε καρδίαν ἄσης,
Ἢ πρὸς φίλον τιν', ἢ πρὸς ἥλικα τραπείς·
Ἡμῖν δ' ἀνάγκη πρὸς μίαν ψυχὴν βλέπειν.
Λέγουσι δ' ἡμᾶς, ὡς ἀκίνδυνον βίον
Ζῶμεν κατ' οἴκους, οἱ δὲ μάρνανται δορὶ,
Κακῶς φρονοῦντες· ὡς τρὶς ἂν παρ' ἀσπίδα
Στῆναι θέλοιμ' ἂν μᾶλλον, ἢ τεκεῖν ἅπαξ.
Ἀλλ' οὐ γὰρ ὡυτὸς πρὸς σὲ κἀμ' ἥκει λόγος·
Σοὶ μὲν πόλις θ' ἥδ' ἐστὶ, καὶ πατρὸς δόμοι,
Βίου τ' ὄνησις, καὶ φίλων ξυνουσία,
Ἐγὼ δ' ἔρημος, ἄπολις οὖσ' ὑβρίζομαι
Πρὸς ἀνδρὸς, ἐκ γῆς βαρβάρου λελησμένη,
Οὐ μητέρ', οὐκ ἀδελφὸν, οὐχὶ συγγενῆ
Μεθορμίσασθαι τῆσδ' ἔχουσα συμφορᾶς.
Τοσοῦτον οὖν σοῦ τυγχάνειν βουλήσομαι,
Ἤν μοι πόρος τις, μηχανή τ' ἐξευρεθῇ,
Πόσιν δίκη τῶνδ' ἀντιτίσασθαι κακῶν,
Τὸν δόντα τ' αὐτῷ θυγατέρ', ἥν τ' ἐγήματο,
Σιγᾶν· γυνὴ γὰρ τἄλλα μὲν φόβου πλέα,
Κακή τ' ἐς ἀλκὴν καὶ σίδηρον εἰσορᾶν·
Ὅταν δ' ἐς εὐνὴν ἠδικημένη κυρῇ,
Οὐκ ἔστιν ἄλλη φρὴν μιαιφονωτέρα.

---

Ὁμήρου οἱ ἥρωες ἐλάμβανον τὰς γυναῖκας, μεγάλα διδόντες ἕδνα. 256. Οὐχ

εἰδέναι οἴκοθεν ὁποίῳ χρήσεται τῷ νυμφίῳ· κἂν μὲν ταῦθ' οὕτω προακριβωσάμεναι, χρηστοῖς καὶ ἐπιεικέσιν αὐτοῖς συνοικῶμεν, ζηλωταὶ παρὰ πᾶσιν ἂν εἴημεν· εἰ δὲ μὴ, τὸ θανεῖν τοῦ ζῆν αἱρετώτερον· ὁ μὲν γὰρ, εἰ τὰ οἴκοι αὐτῷ μὴ καλῶς ἔχοι, ἐξελθὼν ὡς φίλον, ἢ ὡς ὁμήλιχ' ὁντινοῦν, τῶν ἀνιαρῶν ἀπηλλάγη· ἡμῖν δ' ἀνάγκη πρὸς μίαν βλέπειν ψυχήν· εἶτά φασιν ἀκίνδυνον ἡμᾶς τὸν βίον διάγειν, κακῶς τοῦτ' εἰδότες, ὡς ἄμεινον ἔμοιγε τρὶς παρ' ἀσπίδα στῆναι, ἢ ἅπαξ τεκεῖν· καίτοι τἀμὰ πρὸς τὰ σὰ ἄλλον ἂν ἔχοι λόγον· σοὶ μὲν γὰρ πάντ' ἔχει καλῶς τὰ παρόντα, πόλις, πατρῷος οἶκος, βίου ὄνησις, μετὰ φίλων διατριβαί· ἐγὼ δὲ ὥσπερ λελησευμένη ἐκ γῆς βαρβάρου, ἐξυβρίζομαι πρὸς τοῦ ἀνδρὸς, οὐ πόλιν, οὐ μητέρα, οὐκ ἀδελφὸν, οὐ συγγενῆ, οὐδένα ἔχουσα, πρὸς ὃν ἂν ἐλθοῦσα, τῶν παρόντων δεινῶν ἀπαλλαγείην· διὸ δεήσομαί σου, εἴ μοι πείθοιο τοῦτο· εἰ γὰρ ἐξείη μοι τὸν ἐμὸν ἀμύνεσθαι ἄνδρα, τόντε κηδεστὴν καὶ τὴν νύμφην, ἀνθ' ὧν κακῶς τυγχάνουσί με δεδρακότες, τοῦτό μοι φυλάξεις ἐν ἀπορρήτοις· γυνὴ γὰρ εἰς μὲν ἀλκὴν τραπέσθαι, καὶ ξίφος λαβοῦσα κινδυνεύειν τυγχάνει καὶ λαγοῦ ἀτολμοτέρα· ἣν δὲ εἰς ἔρωτας ὑπερφρονηθῇ, καὶ λεαίνης αὐτῆς μιαιφονωτέρα καθίσταται.

---

ὁ αὐτὸς πρὸς σὲ κἀμὲ ἥκει λόγος] ταῦτα πρὸς τὸν Χορόν φησιν, ὡς πολίτην ὄντα, καὶ εἴτι πάθοι ποτὲ τοιοῦτον, μετρίως τὸ πάθος εἴσοντα, ὡς ἐν συγγενέσι καὶ φίλοις. 260, Λελησμένη] παρὰ τὸ λῃΐζεσθαι, ὡς αἰχμάλωτος γενομένη, καὶ πεπορθημένη. 262. Μεθορμίσασθαι] ὥς' ἀποφυγοῦσαν τῆς παρού-

ΧΟ· Δράσω τάδ'. ἐνδίκως γὰρ ἐκτίσῃ πόσιν,
Μήδεια· πενθεῖν δ' οὔ σε θαυμάζω τύχας·
Ὁρῶ δὲ καὶ Κρέοντα, τῆσδ' ἄνακτα γῆς,
Στείχοντα, καινῶν ἄγγελον βουλευμάτων.
ΚΡ· Σὲ, τὴν σκυθρωπὸν καὶ πόσει θυμουμένην,
Μήδειαν, εἶπον τῆσδε γῆς ἔξω περᾶν
Φυγάδα, λαβοῦσαν δισσὰ σὺν σαυτῇ τέκνα,
Καὶ μή τι μέλλειν. ὡς ἐγὼ βραβεὺς λόγου
Τοῦδ' εἰμὶ, κοὐκ ἄπειμι πρὸς δόμους πάλιν,
Πρὶν ἄν σε γαίας τερμόνων ἔξω βάλω.
ΜΗ. Αἶ αἶ· πανώλης ἡ τάλαιν' ἀπόλλυμαι.
Ἐχθροὶ γὰρ ἐξίασι πάντα δὴ κάλων,
Κοὐκ ἔστιν ἄτης εὐπρόσοιστος ἔκβασις.
Ἐρήσομαι δὲ καὶ κακῶς πάσχουσ' ὅμως,
Τίνος μ' ἕκατι γῆς ἀποστέλλεις, Κρέον.
ΚΡ. Δέδοικά σ', (οὐδὲν δεῖ παραμπίσχειν λόγους)
Μή μοί τι δράσῃς παῖδ' ἀνήκεστον κακόν.
Ξυμβάλλεται δὲ πολλὰ τοῦδε δείματος·
Σοφὴ πέφυκας καὶ κακῶν πολλῶν ἴδρις,
Λυπῇ, δὲ λέκτρων ἀνδρὸς ἐστερημένη.
Κλύω δ' ἀπειλεῖν σ', ὡς ἀπαγγέλλουσί μοι,
Τὸν δόντα καὶ γήμαντα καὶ γαμουμένην
Δράσειν τι· ταῦτ' οὖν, πρὶν παθεῖν, φυλάξομαι.
Κρεῖσσον δέ μοι νῦν πρός σ' ἀπεχθέσθαι, γύναι,
Ἢ μαλθακισθένθ', ὕστερον μέγα στένειν.

σης συμφορᾶς καταφυγεῖν εἰς ἐκείνους. 282. Ἐξιᾶσιν πάντα κάλων] ἀπὸ μεταφορᾶς τῶν οὐρίως πλεόντων· οἱ ἀναπετανύουσι πάντα τὰ ἱστία· οὕτω καὶ οἱ ἐχθροὶ ἐφ' ἡμᾶς ὅλῳ ὥρμηνται θυμῷ· καὶ ἀποφυγὴ τῆς βλάβης ταύτης ῥαδία οὐκ ἔστι.

ΧΟ. Ἔσται σοι ταῦτα· ὧν γὰρ ἔφθης εἰποῦσα, οὐδὲν πρὸς οὐδένα πότ᾽ ὧ ἐξοίσω, ὡς δικαίως σου τὸν ἄνδρα, ἀνθ᾽ ὧν πέπονθας, τίσασθαι μελετώσης· ὅτι δὲ καὶ πρὸς τὴν τύχην, φαίνῃ ὀδυρομένη, οὐδὲ τοῦτ᾽ ἀπορῶ, ὡς δικαίως σου καὶ τουτο ποιούσης. Ἀλλὰ μεταξὺ λόγων ὁ Κρέων ἐκεῖνος, ὁ τῆς γῆς ταύτης ἄρχων, πρόσεισιν ὡς ἡμᾶς; ἤπουγε νέον τι ἥκει ἡμῖν ἐπιτάξων.

ΚΡ. Μήδεια, σοί φημι τῇ σκυθρωπῷ, καὶ πολλῷ τῷ πάθει ἐφ᾽ ἡμᾶς ἐπιούσῃ, ἀνθωρεὶ τὰ σαυτῆς προσλαβοῦσαν τέκνα τὴν γῆν ταύτην καταλιπεῖν, μηδὲ μέλλειν· ἐγώ σοι τοῦ λόγου τούτου ἄγγελός εἰμι, οὐκ ἄλλος· ὃς οὐδ᾽ ἂν ἐπανέλθοιμι πρότερον οἴκαδε πρὶν σε ἔξω τῶν ὅρων τῆς ἐμῆς γενέσθαι χώρας.

ΜΗ. Αἶ, αἶ· νῦν γὰρ ὅλως ἡ τάλαιν᾽ ἀπώλωλα, τῶν ἐχθρῶν πάντα κάλων ἐπ᾽ ἐμὲ χαλασάντων· οὐκ ἔσθ᾽ ὅπως τὸ κακὸν ἀποφευξοῦμαι· ἀλλ᾽ ὅμως καὶ ἐν κακοῖς ἤδη οὖσα, πεύσομαί σου ἐκεῖνο μόνον· τίνος ἕνεκα, ὦ Κρέων, ἀποπέμπεις ἡμᾶς ἐντεῦθεν;

ΚΡ. Δέδοικα γὰρ (τί γὰρ δεῖ στρέφειν λόγους;) μήτι μοὶ κακὸν ἀνήκεστον τὴν παῖδα δράσῃς· πολλὰ γὰρ τεκμήρια ἡμᾶς ἐς τοῦτο φέρει· πρῶτον μὲν γὰρ σοφή γε οὖσα, πολλῶν εἶ κακῶν εἰδήμων, ἔπειτα Ἰάσονος τὸν σὸν ἀπειπαμένου γάμον, λυπῇ ἐπὶ τούτῳ, καὶ προσαπειλεῖς, ὡς ἀκούω, τὰ μέγιστα δράσειν κακὸν τὸν δόντα, καὶ γήμαντα, καὶ γαμουμένην· ταῦτα δὴ φυλάξεσθαί με δεῖ πρὶν ἄν τι πάθω· κρεῖττον γὰρ πρὸς σὲ ἀπεχθέσθαι, ἢ οἴκτῳ νῦν ἐνδιδόντα, ὕστερον μέγα στένειν.

ΜΗ. Φεῦ φεῦ·
Οὐ νῦν με πρῶτον, ἀλλὰ πολλάκις, Κρέον,
Ἔβλαψε δόξα, μεγάλα τ' εἴργασται κακά.
Χρὴ δ' οὔποθ', ὅστις ἀρτίφρων πέφυκ' ἀνὴρ,
Παῖδας περισσῶς ἐκδιδάσκεσθαι σοφούς·
Χωρὶς γὰρ ἄλλης ἧς ἔχουσιν ἀργίας
Φθόνον πρὸς ἀστῶν ἀλφάνουσι δυσμενῆ.
Σκαιοῖσι μὲν γὰρ καινὰ προσφέρων σοφὰ,
Δόξεις ἀχρεῖος κοὐ σοφὸς πεφυκέναι·
Των δ' αὖ δοκούντων εἰδέναι τι ποικίλον
Κρείσσων νομισθεὶς, λυπρὸς ἐν πόλει φανῇ.
Ἐγὼ δὲ κἀυτὴ τῆσδε κοινωνῶ τύχης.
Σοφὴ γὰρ οὖσα, τοῖς μὲν εἴμ' ἐπίφθονος,
[Τοῖς δ' ἡσυχαία, τοῖς δὲ θατέρου τρόπου]
Τοῖς δ' αὖ προσάντης· εἰμὶ δ' οὐκ ἄγαν σοφή.
Σὺ δ' οὖν φοβῇ με, μήτι πλημμελὲς πάθῃς.
Οὐχ ὧδ' ἔχει μοι, μὴ τρέσῃς ἡμᾶς, Κρέον,
Ὥστ' ἐς τυράννους ἄνδρας ἐξαμαρτάνειν.
Σὺ γὰρ τί μ' ἠδίκηκας; ἐξέδου κόρην,
Ὅτῳ σε θυμὸς ἦγεν· ἀλλ' ἐμὸν πόσιν
Μισῶ· σὺ δ', οἶμαι, σωφρονῶν ἔδρας τάδε.
Καὶ νῦν τὸ μὲν σὸν οὐ φθονῶ καλῶς ἔχειν.
Νυμφεύετ', εὖ πράσσοιτε· τήνδε δὲ χθόνα
Ἐᾶτέ μ' οἰκεῖν· καὶ γὰρ ἠδικημένοι,
Σιγησόμεσθα, κρεισσόνων νικώμενοι.
ΚΡ. Λέγεις ἀκοῦσαι μαλθάκ', ἀλλ' ἔσω φρενῶν,
Ὀῤῥωδία μοι, μήτι βουλεύσῃς κακὸν,
Τοσῷδε δ' ἧσσον, ἢ πάρος, πέποιθά σοι·

ΜΗ. Φεῦ, φεῦ· οὐ γὰρ νῦν πρῶτον ἡ δόξα αὕτη, ἀλλὰ πολλάκις ἔβλαψέ με, τὰ μέγιστά με τῶν κακῶν ἐργασαμένη· διὸ οὐκ ἔστι πατρὸς φρονοῦντος πολλὰ διδάσκεσθαι τοὺς παῖδας· πρὸς γὰρ τῇ ἀργίᾳ, ᾗ συζῶσιν ἐκεῖνοι ἐντεῦθεν, καὶ φθόνον ἔξωθεν ἑαυτοῖς προσυπάγονται· τοῖς μὲν γὰρ ἀμαθέσιν, εἴτι παρ' ὃ γινώσκουσι, νεώτερον εἴποις, μάταιος δόξεις μᾶλλον, ἢ σοφὸς εἶναι· εἰ δ' αὖ καὶ τῶν δοκούντων σοφόν τι εἰδέναι κρείσσων αὐτὸς φανείης ὢν ἐν τῇ πόλει, πολλοὺς λυπήσεις· ὃ συνέβη κἀμοὶ παθεῖν· σοφὴ γὰρ οὖσα οἱ μὲν ἐπὶ τούτῳ φθονοῦσιν· [οἱ δὲ ἀργὸν ὀνομάζουσιν· οἱ δὲ, ἄλλο ἄλλοι] ἔστι δ' αὖ, οἷς ἐπαχθὴς ἐκ τούτων, καὶ βαρεῖα νομιζομένη, οὐκ ἄγαν δοκῶ σοφή. Σὲ δ' οὖν ὁρῶ δεδιότα, μήτι πρὸς ἐμοῦ κακὸν πάθῃς· ἔχ' ἀτρέμας, ὦ Κρέων, μηδ' ὑπολάβῃς ἡμᾶς ὑπονοίᾳ ἐς ἄνδρας κρατοῦντας ἐθέλειν ἁμαρτάνειν· σὺ γὰρ τὴν σαυτοῦ θυγατέρα ἐκδοὺς ἀνδρὶ, ᾧ μάλιστα χαίρεις, τί ποτ' ἀδικεῖς διὰ τοῦτο; τὸν ἄνδρα ὅμως μισῶ· σοὶ δὲ φθονῶ οὐδὲν, εὖ θεμένῳ τὸ κατὰ σαυτόν· νυμφεύετε, εὖ πράσσετε, οὐδὲν ἐμοὶ πρὸς ταῦτα· τῆσδε γῆς μόνον μή με ἐξελαύνετε ταύτης· καὶ γὰρ καὶ τὰ μέγιστα ἠδικημένοι, ἀλλ' οὖν πρὸς πολλῷ ἡμῶν κρείσσους σιγῇ πάντα οἴσομεν.

ΚΡ. Ἃ μὲν λέγεις ἐλεεινά· ἀλλ' ἔνδον ὑπότροφόν τι αἰσθάνομαι δέος, μήτι μοι βουλεύσῃς κακὸν ἐνδομύχως· καὶ νῦν γε μᾶλλον, ἢ πρόσθεν τὰ πράγματ' ἔμοιγε ὕποπτα· τὸν

---

298. Δόξα] τοῦ σοφὴν ἐμὲ εἶναι. 301. Ἧς ἔχουσιν ἀργίας] νομίζονται γὰρ ὑπὸ τῶν πολλῶν οἱ σοφοὶ ἀργοὶ διατελεῖν· τόδε δ' οὐκ ἔχει ἐν ἄλλοις ἐξωβέλισται ὁ στίχος οὗτος, καὶ ὀρθῶς οὕτως· 309. Τοῖς δὲ ἡσυχαίᾳ]

Γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὔτως ἀνὴρ,
Ῥᾴων φυλάσσειν, ἢ σιωπηλὸς σοφός.
Ἀλλ' ἔξιθ' ὡς τάχιστα, μὴ λόγους λέγε·
Ὡς ταῦτ' ἄραρε, κοὐκ ἔχεις τέχνην, ὅπως
Μενεῖς παρ' ἡμῖν, οὖσα δυσμενὴς ἐμοί.
ΜΗ. Μὴ, πρός σε γούνων τῆς τε νεογάμου κόρης.
ΚΡ. Λόγους ἀναλοῖς· οὐ γὰρ ἂν πείσαις ποτέ.
ΜΗ. Ἀλλ' ἐξελᾷς με, κοὐδὲν αἰδέσῃ λιτάς;
ΚΡ. Φιλῶ γὰρ οὐ σὲ μᾶλλον, ἢ δόμους ἐμούς.
ΜΗ. Ὦ πατρὶς, ὥς σου κάρτα νῦν μνείαν ἔχω.
ΚΡ. Πλὴν γὰρ τέκνων, ἔμοιγε φίλτατον πόλις.
ΜΗ. Φεῦ φεῦ· βροτοῖς ἔρωτες ὡς κακὸν μέγα.
ΚΡ. Ὅπως ἂν, οἶμαι, καὶ παραστῶσιν τύχαι.
ΜΗ. Ζεῦ, μὴ λάθοι σε τῶνδ', ὃς αἴτιος κακῶν.
ΚΡ. Ἕρπ', ὦ ματαία, καί μ' ἀπάλλαξον πόνων.
ΜΗ. Πόνος μὲν· ἡμεῖς δ' οὐ πόνῳ κεχρήμεθα;
ΚΡ. Τάχ' ἐξ ὀπαδῶν χειρὸς ὠσθήσῃ βίᾳ.
ΜΗ. Μὴ δῆτα τοῦτό γ', ἀλλά σ' αἰτοῦμαι, Κρέον.
ΚΡ. Ὄχλον παρέξεις, ὡς ἔοικας, ὦ γύναι.
ΜΗ. Φευξούμεθ'· οὐ τοῦθ' ἱκέτευσα σοῦ τυχεῖν.
ΚΡ. Τί δ' οὖν βιάζῃ, κοὐκ ἀπαλλάσῃ χθονός;

---

οἶμαι· εἰσῆκται δὲ πᾶν τὸ χωρίον τοῦτο τῷ ποιητῇ ψυχρόν πως. 325. Ῥᾴων φυλάσσειν] ἀντὶ τοῦ φυλάττεσθαι παθητικοῦ, ἢ μέσου· σύνηθες δὲ τοῦτο κἀν τοῖς πεζοῖς· ὡς καὶ παρὰ Θουκυδίδῃ, ἄξιος θαυμάσαι, ἀντὶ τοῦ θαυμάζεσθαι. 327. Ἄραρε ἔδοξεν, ἀμετάθετος γνώμη αὕτη. ἐκ τοῦ Ἄρω, ἄραρε Δωρικῶς, καὶ ἄρηρε Ἰωνικῶς. 329. Μὴ πρὸς σὲ γούνων] ἀναπληρωτέον τοῦθ' ὡδί. ἱκετεύω σε πρὸς τῶν γούνων, μή με ἐξελᾷς. ἐχρήσατο δὲ πολλαχῇ ταύτῃ τῇ ἐλλείψει· ἐν ἄλλοις δ' οὖν κεῖται, Μὴ πρὸς σὲ γονάτων·

γὰρ ὀξύθυμον πάντα ῥᾷον, ἢ σιωπηλὸν σοφὸν φυλάττοιτ' ἄν τις· διὸ ἀφεῖσα τοὺς λήρους τουτουσὶ τοὺς ποικίλους, ἔξελθ' ὅσον τάχος τῆς χώρας ταύτης· οὕτω γὰρ δέδοκται· καὶ οὐκ ἂν, οὐδ' ἂν ὅ,τι καὶ εἴπῃς, διαμείνειας ἔτι ὧδε, δυσμενὴς φανερὰ ἡμῖν οὖσα.

ΜΕ. Μὴ πρὸς τῶν σῶν γονάτων, καὶ τῆς νεογάμου κόρης, μὴ βιάζου με ταῦτα.

ΚΡ. Μάτην ἔῤῥιπται λόγος οὗτος· οὐ γὰρ ἄν με πείσειας.

ΜΗ. Ἀλλ' ἐξελάσεις με οὕτω, μηδένα λόγον τῆς ἱκεσίας ποιούμενος;

ΚΡ. Οὐκ οἶσθ' ὅτι φιλῶ ἐμαυτὸν μᾶλλον, ἢ σέ;

ΜΗ. Ὦ πατρίς· νῦν γάρ σου μᾶλλον αἱρεῖ με πόθος.

ΚΡ. Κἀμοὶ φίλτατον πατρὶς μετὰ τοὺς παῖδας.

ΜΗ. Φεῦ, φεῦ· μέγιστον κακὸν ἀνθρώποις οἱ ἔρωτες.

ΚΡ. Ὅπως ἂν ἡ τύχη ὁποτέρωσε ῥέψῃ.

ΜΗ. Ζεῦ, μὴ λάθοι σε ὁ τούτων μοι γενόμενος αἴτιος.

ΚΡ. Ἔῤῥ', ὦ ματαία, καὶ μηκέτι μοι ἐνόχλει.

ΜΗ. Ἐνοχλῇ τούτοις; ἡμεῖς δέ σοι μικρὰ δοκοῦμεν πάσχειν;

ΚΡ. Ἀλλὰ σύγ' ἐθέλεις, ὡς ἔοικεν, ἐξωθεῖσθαι βίᾳ.

ΜΗ. Μή μοι τοῦτ' εἴη· ἐκεῖνο δὲ δέομαί σου.

ΚΡ. Οὐχὶ παύσῃ ποτὲ τοῖς λήροις ἐνοχλοῦσά με;

ΜΗ. Φευξούμεθα, φευξούμεθα· οὐ γὰρ τοῦτό σου ἐδεήθην.

ΚΡ. Τί οὖν διατρίβεις, ἀλλ' οὐκ ἐκποδὼν, ὅτι τάχιστα γίγνῃ;

---

καὶ μὴ πρὸς γονάτων. 331. Λιτὰς] ἀρχιτέκτων καὶ ταύτης τῆς προσωποιΐας Ὅμηρος «Καὶ γὰρ Λιταί εἰσι Διὸς κοῦραι» 339. κεχρήμεθα] ἐν ἄλλοις παραλλάττει πολὺ ὁ στίχος οὗτος· ἔχει γὰρ ὧδε. Πονοῦμεν ἡμεῖς, κοὐ κείνων κεχρήμεθα. 346. Καὶ ξυμπεράνας] συσκευασθῆναι πρὸς τὴν φυγὴν καὶ ἐφόδιον πα

ΜΗ. Μίαν με μεῖναι τήνδ' ἔασον ἡμέραν,
Καὶ ξυμπερᾶναι φροντίδ', ᾗ φευξούμεθα,
Παισίν τ' ἀφορμὴν τοῖς ἐμοῖς, ἐπεὶ πατὴρ
Οὐδὲν προτιμᾷ, μηχανήσασθαι τέκνοις.
Οἴκτειρε δ' αὐτούς· καὶ σύ τοι παίδων πατὴρ
Πέφυκας· εἰκὸς δ' ἐστὶν εὔνοιάν σ' ἔχειν.
Τοὐμοῦ γὰρ οὔ μοι φροντὶς, εἰ φευξούμεθα,
Κείνους δὲ κλάω, ξυμφορᾷ κεχρημένους.
ΚΡ. Ἥκιστα τοὐμὸν λῆμ' ἔφυ τυραννικὸν,
Αἰδούμενος δὲ πολλὰ δὴ διέφθορα·
Καὶ νῦν ὁρῶ μὲν ἐξαμαρτάνων, γύναι,
Ὅμως δὲ τεύξῃ τοῦδε· προὐννέπω δέ σοι,
Εἴ σ' ἡ 'πιοῦσα λαμπὰς ὄψεται θεοῦ
Καὶ παῖδας ἐντὸς τῆσδε τερμόνων χθονὸς,
Θανῇ· λέλεκται μῦθος ἀψευδὴς ὅδε.
Νῦν δ', εἰ μένειν δεῖ, μίμν' ἐφ' ἡμέραν μίαν·
Οὐ γάρ τι δράσεις δεινὸν, ὧν φόβος μ' ἔχει.
ΧΟ. Δύστανε γύναι,
Φεῦ φεῦ· μελέα τῶν σῶν ἀχέων.
Ποῖ ποτε τρέψῃ; τίνα προξενίαν,
Ἢ δόμον, ἢ χθόνα σωτῆρα κακῶν
Ἐξευρήσεις;
Ὡς εἰς ἄπορόν σε κλύδωνα θεὸς,
Μήδεια, κακῶν ἐπόρευσε·
ΜΗ. Κακῶς πέπρακται πανταχῇ· τίς ἀντερεῖ;
Ἀλλ' οὔτι ταύτῃ ταῦτα, μὴ δοκεῖτέ πω.
Ἔτ' εἴσ' ἀγῶνες τοῖς νεωστὶ νυμφίοις,
Καὶ τοῖσι κηδεύσασιν οὐ σμικροὶ πόνοι.
Δοκεῖς γὰρ ἄν με τόνδε θωπεῦσαί ποτ' ἂν,
Εἰ μή τι κερδαίνουσαν ἢ τεχνωμένην;
Οὐδ' ἂν προσεῖπον, οὐδ' ἂν ἡψάμην χεροῖν·

ΜΗ. Μίαν μόνην, ὦ Κρέων, τήνδε τὴν ἡμέραν ἐπίτρεψόν με μεῖναι, ὅσον ἱκανὸν ἡμῖν σκέψασθαι, ὅπως φευξούμεθα· καὶ ἐφόδιον προμηθεῦσαι τοῖς παισὶν, ὡς τοῦ πατρὸς μηδεμίαν τούτων πρόνοιαν ποιουμένου· οἴκτειρε δὲ τούτους· εἰσὶ γὰρ καί σοι παῖδες, εἰσὶν, ἐξ ὧν εἰκός σε καὶ πρὸς τούτους τι μεταφέρειν εὐνοίας· τὸ γὰρ ἐμὸν μέρος ἡ φυγὴ οὐ πάνυ τι δυσχερής· τούτους δὲ κλαίω, τοιαύτῃ συμφορᾷ κεχρημένους.

ΚΡ. Ὁ μὲν τρόπος οὑμὸς ἥκισθ' ὑπάρχει τυραννικός· ἀλλὰ δυσωπούμενος οὕτω, πολλάκις λελύπημαι· καὶ νῦν οὐχ ἥκισθ' ὁρῶ ἀσύμφορόν μοι τοῦτ' ἐσόμενον· ἀλλ' ὅμως ἔσται σοι ταῦτα· προλέγω δέ σοι, ὡς εἰ σέ τε καὶ τοὺς σοὺς παῖδας τουτὶ τὸ φῶς τοῦ ἡλίου αὔριον ἐνταυθὶ καταλάβοι, οὐκέτ' ἂν προσβλέψαιτε τοῦτο· δέδοκται ταῦτα, κοὐκ ἂν ἄλλως ἔχοι· ἐν γὰρ μιᾷ ἡμέρᾳ τί καὶ ἂν δράσειας ἡμᾶς κακόν;

ΧΟ. Δύστηνε Μήδεια, φεῦ τῶν κακῶν, οἷς περιπέπτωκας· ποῖ δὴ πορεύσῃ; τίνα προξενίαν, ἢ οἶκον, ἢ γῆν πρὸς ἀπαλλαγὴν τῶν κακῶν ἐξευρήσῃ; ὡς ἀχανὲς τὸ πέλαγος τοῦτ' ἐστὶ τῶν δεινῶν, εἰς ὃ Θεὸς ἐνέβαλέ σε.

ΜΗ. Κακῶς μὲν ἔχειν μοι τὰ πράγματα πανταχόθεν οὐδεὶς ἀντερεῖ· πλὴν οὐκ ἔξω πόνων οὐδὲ κινδύνων μετὰ τῶν νεονύμφων εἰσὶ καὶ αὐτοὶ οἱ κηδεύσαντες· τί γὰρ οἴῃ; μάτην με θωπεῦσαι τοσοῦτον τοῦτον, εἰ μὴ μέγα τι οὕτω κέρδος ἤλπιζον ἔσεσθαί μοι; οὔτ' ἂν λόγῳ προσεῖπον ἐκεῖνον,

ρασκευάσασθαι τοῖς παισί. 370 Ἀλλ' οὔτι ταύτῃ ταῦτα] οὐχ οὕτως ἔχει ταῦθ', ὡς νομίζεθ' ὑμεῖς· ἢ ὡς Κρέων ἐλπίζει τὴν παρ' ἐμοῦ ἀποφευξεῖσθαι δίκην.

Ὁ δ' ἐς τοσοῦτον μωρίας ἀφίκετο,
Ὥστ', ἐξὸν αὐτῷ τἄμ' ἑλεῖν βουλεύματα,
Γῆς ἐκβαλόντι, τήνδ' ἀφῆκεν ἡμέραν
Μεῖναί μ', ἐν ᾗ τρεῖς τῶν ἐμῶν ἐχθρῶν νεκροὺς
Θήσω, πατέρα τε καὶ κόρην πόσιν τ' ἐμόν.
Πολλὰς δ' ἔχουσα θανασίμους αὐτοῖς ὁδοὺς,
Οὐκ οἶδ', ὁποίᾳ πρῶτον ἐγχειρῶ, φίλαι·
Πότερον ὑφάψω δῶμα νυμφικὸν πυρὶ,
Ἢ θηκτὸν ὤσω φάσγανον δι' ἥπατος,
Σιγῇ δόμους ἐσβᾶσ', ἵν' ἔστρωται λέχος.
Ἀλλ' ἕν τί μοι πρόσαντες. εἰ ληφθήσομαι
Δόμους ὑπερβαίνουσα καὶ τεχνωμένη,
Θανοῦσα θήσω τοῖς ἐμοῖς ἐχθροῖς γέλων.
Κράτιστα τὴν εὐθεῖαν, ᾗ πεφύκαμεν
Σοφαὶ μάλιστα, φαρμάκοις αὐτοὺς ἑλεῖν·
(Εἶεν)· καὶ δὴ τεθνᾶσι· τίς με δέξεται πόλις;
Τίς γῆν ἄσυλον καὶ δόμους ἐχεγγύους
Ξένος παρασχὼν, ῥύσεται τοὐμὸν δέμας;
Οὐκ ἔστι. μείνασ' οὖν ἔτι σμικρὸν χρόνον,
Ἢν μέν τις ἡμῖν πύργος ἀσφαλὴς φανῇ,
Δόλῳ μέτειμι τόνδε καὶ σιγῇ φόνον·
Ἢν δ' ἐξελαύνῃ ξυμφορά μ' ἀμήχανος,
Αὐτὴ ξίφος λαβοῦσα, κεἰ μέλλω θανεῖν,
Κτενῶ σφε, τόλμης τ' εἶμι πρὸς τὸ καρτερόν·

380. πόσιν τ' ἐμὸν] καὶ μὴν τοῦτον οὐ διέφθειρεν. αὐτὴ μὲν ἐπεθύμει τοῦτο κἀκεῖνον δρᾶσαι (πῶς γὰρ ἂν φεισθείη αὐτοῦ εὐπροσώπως;) ἀλλ' οὐκ ἔτυχεν

οὔτ' ἂν χειρὶ προσηψάμην, οὔθ' ὅλως προσέβλεψα· ὁ δὲ ἐς τοσοῦτον μωρίας ἀφῖκται, ὥς' ἐξὸν αὐτῷ προκαταλαβεῖν τὸ κακὸν τῇ διώξει, ἐπέτρεψέ μοι μεῖναι τήνδε τὴν ἡμέραν, ἐν ᾗ τρεῖς των ἐμαυτῆς ἐχθρῶν, τὸν δόντα, καὶ γήμαντα, καὶ γαμουμένην ἀπολεσθῆναι ποιήσω· ἀλλὰ πολλὰς πρὸς τοῦτ' ἔχουσα μηχανὰς, οὐκ οἶδ', ὁπόθεν ἐπίθωμαι ῥᾷον τοῖς πολεμίοις· πότερον τὸν νυμφικὸν θάλαμον πυρπολήσω, ἢ σιγῇ εἰς αὐτὸν εἰσελθοῦσα παρὰ τὸ λέχος, διελάσω τὸ ξίφος διαμπὰξ ἐς τὸ ἧπαρ; ἀλλ' ἐργῶδες τουτί· δέος γὰρ μὴ φωραθεῖσα ἐν εἰσόδοις κακὰ τεχνωμένη, κἀντεῦθεν ἀποθανοῦσα, ἐπίχαρμα γένωμαι τοῖς ἐχθροῖς· ἄμεινον τοίνυν, ὃ πεφύκαμεν σοφαὶ, φαρμάκοις αὐτοὺς ἀπολέσαι· εἶεν· τί δὲ μετὰ ταῦτα; τίς μὲν πόλις, ἐκείνων οὕτω καταστρεψάντων, ὑποδέξεταί με ἐλθοῦσαν; τίς δὴ ἄσυλος γῆ; τίς οἶκος ἐχέγγυά μοι ταῦτα παρέξεται, ὥςε σώζεσθαι; οὐκ ἔχω συνορᾶν· μείνω τοίνυν ἔτι μικρὸν, καὶ εἰ μὲν ἐξεύροιμεν πόρον τινὰ πρὸς καταφυγὴν, δόλῳ χρήσομαι πρὸς τὸ τόλμημα· κἀκ τοῦ ἀφανοῦς αὐτοῖς, ὅσον οἷόντε, ἐπιθήσομαι. εἰδέ μοι πανταχόθεν ἀμήχανος ἡ ἀσφάλεια, τότε δὴ ἐκ τοῦ προφανοῦς ὁμόσε ἰοῦσα τῷ ξίφει, κἂν δέῃ με ἀποθανεῖν, διαχρήσομαι πάντας· εἰς τοῦτο γάρ μοι τόλμης τὰ πράγμαθ'

---

ἐκεῖ Ἰάσων, ἡνίκα Κρέων καὶ ἡ θυγάτηρ ἐδαπανῶντο τῷ πυρί· ᾠκονόμησε δὲ τὸ πρᾶγμα οὕτως ὁ ποιητὴς, φυλάξας Ἰάσονα διὰ τὰ ἐν τῇ τελευταίᾳ πράξει γεγενημένα· οὕτω γὰρ ὁ μῦθος αὐτῷ ἐξ ἀρχῆς συνυφάνθη. 395. Πύργος] τὸν Αἰγέα προμαντεύει. 399. Σφέ.] τοῦτ' οὐ μόνον ἐφ' ἑνικοῦ καὶ δυϊκοῦ, ἀλλὰ καὶ πληθυντικοῦ ἐκλαμβάνεται, κἀπὶ παντὸς γένους ἀδιαφόρως, καθάπερ καὶ τό

Οὐ γὰρ, μὰ τὴν δέσποιναν, ἣν ἐγὼ σέβω
Μάλιστα πάντων καὶ ξυνεργὸν εἱλόμην,
Ἑκάτην. μυχοῖς ναίουσαν ἑστίας ἐμῆς,
Χαίρων τις αὐτῶν τοὐμὸν ἀλγυνεῖ κέαρ.
Πικροὺς δ' ἐγώ σφι καὶ λυγροὺς θήσω γάμους,
Πικρὸν δὲ κῆδος καὶ φυγὰς ἐμὰς χθονός.
Ἀλλ' εἶα· φείδου μηδὲν, ὧν ἐπίστασαι,
Μήδεια, βουλεύουσα καὶ τεχνωμένη·
Ἕρπ' ἐς τὸ δεινόν· νῦν ἀγὼν εὐψυχίας.
Ὁρᾷς ἃ πάσχεις; οὐ γέλωτα δεῖ σ' ὀφλεῖν
Τοῖς Σισυφείοις, τοῖς τ' Ἰάσονος γάμοις,
Γεγῶσαν ἐσθλοῦ πατρὸς Ἡλίου τ' ἄπο.
Ἐπίστασαι δέ· πρὸς δὲ καὶ πεφύκαμεν
Γυναῖκες, ἐς μὲν ἔσθλ' ἀμηχανώταται,
Κακῶν δὲ πάντων τέκτονες σοφώταται.

ΧΟ. Ἄνω ποταμῶν ἱερῶν χωροῦσι παγαὶ, (Στρ. ά.)
Καὶ δίκα καὶ πάντα πάλιν στρέφεται.
Ἀνδράσι μὲν δόλιαι βουλαὶ, θεῶν δ'
Οὐκέτι πίστις ἄραρε.
Τὰν δ' ἐμὰν εὔκλειαν ἔχειν βιοτὰν
Στρέφουσι φᾶμαι·
Ἔρχεται τιμὰ γυναικείῳ γένει·
Οὐκέτι δυσκέλαδος φάμα γυναῖκας ἕξει.
Μοῦσαι δὲ παλαιγενέων λήξουσ' ἀοιδᾶν (Ἀντ. ά.)
Τὰν ἐμὰν ὑμνεῦσαι ἀπιστοσύναν.
Οὐ γὰρ ἐν ἁμετέρᾳ γνώμᾳ λύρας
Ὤπασε θέσπιν ἀοιδὰν
Φοῖβος, ἁγήτωρ μελέων· ἐπεὶ ἀν-

ἧκε νῦν· οὐ γὰρ μὰ τὴν δέσποιναν Ἑκάτην, ἣν ἐγὼ συνεργὸν ἑλομένη, σέβομαι μάλιστα πάντων οἴκοι· οὔτις χαίρων λυπήσει με, οὐδὲ καταπροΐξεταί μου ἐς τέλος· αὐτίκα γὰρ ἀντὶ τῆς φυγῆς ἀπὸ τῆς χώρας καὶ τῆς ἄλλης ὕβρεως πικρῶς αὐτῶν τοῖς γάμοις ἐπεξελεύσομαι· ἀλλὰ ῥώννυσο Μήδεια, μηδενὸς, ὧν ἐπίστασαι, φειδομένη· χώρει πρὸς τὸ δεινόν· νῦν σοι καιρὸς τὸ εὔψυχον. ἐπιδείξασθαι· ὁρᾷς, ἃ πάσχεις; οὐ γὰρ δεῖ σε πατρὸς ἀγαθοῦ γενομένην, γένος τῶν ἀφ' Ἡλίου, Σισυφίοις ἀνδραρίοις, καὶ γυναικὶ τῇ Ἰάσονος γέλωτ' ὀφλισκάνειν· ἐπίστασαι δ' ὅπως χρὴ τοῦτο δρᾷν· ἐσθλὸν γὰρ αἱ γυναῖκες οὐδὲν ἐξευρίσκειν πεφύκαμεν· τὰ δὲ κακὰ δεινόταται ἐσμὲν ἀρχιτεκτονεῖν.

ΧΟ. Ἄνω ποταμῶν χωροῦσιν αἱ πηγαὶ, δίκη τε καὶ πᾶσα τῶν πραγμάτων ἡ τάξις ἀνέςραπται· ἄνδρες γὰρ ἀντὶ τοῦ ἀνδρεῖον μετέρχεσθαι, δόλια βουλεύματ' ἐφωράθησαν μελετήσαντες· καὶ ἡ πρὸς Θεοὺς πίςις ὑποσαλεύεται.

---

Νιν. 410. Τοῖς Σισυφείοις] τοῖς ἐκ τοῦ Σισύφου καταγομένοις τοῦ ἐν Κορίνθῳ βασιλεύσαντος. πανταχοῦ δ' ὁ ποιητὴς καθάπτεται τούτων, καὶ αὐτοῦ τοῦ Ὀδυσσέως, ὡς ἀπὸ ἐκείνου γεγεννημένου. ἴδε Ἰφ. Αὐλ.. ςίχ 524. καὶ 1362. καὶ Κυκλ ςίχ. καὶ ἀλλαχῆ. 411. Ἡλίου τε ἄπο] Ἥλιος γὰρ τοῦ πατρὸς αὐτῆς Αἰήτου πατὴρ ἦν. ὡς κατωτέρω. στίχ. 1318. 415. Ἄνω ποταμῶν] παροιμία ἐπὶ τῶν ἐναλλασσομένων πραγμάτων· ὡς κἀνταῦθα ἀνέςραπται τὰ πράγματα παρὰ φύσιν· γυναῖκες μὲν γὰρ αἱ δοκοῦσαι ἐπίβουλοι εἶναι τῶν ἀνδρῶν πισταὶ καὶ εὐγνώμονες διαμένουσιν. οἱ δὲ ἄνδρες οἱ τῷ ἑδραίῳ καὶ ἀνδρείῳ σεμνυνόμενοι διαφέρειν, ἄπιστοι ἐξελέγχονται. 423. Παλαιγενέων... ἀοιδῶν] αἱ Μοῦσαι, φησὶν, αἱ τοὺς παλαιοὺς κινήσασαι πολλὰ τῶν γυναικῶν ἐς ἐπιβουλὴν ἀνδρῶν κατειπεῖν. παύσονται τοὐντεῦθεν ἀπίστους αὐτὰς ἐς τοὺς ἄνδρας κηρύττουσαι. 426. Ὤπασε] οὐκ ἔδωκε, φησὶν, ἡμῖν ταῖς γυναιξὶν ὁ Φοῖβος σοφίαν, ὥςε καὶ ἡμᾶς ἐν μέρει μέμψασθαι δικαιότερον τοὺς ἄνδρας ἐς ἀπιςίαν. τὸ δὲ Ἀν

Τάχησ' ἂν ὕμνον
Ἀρσένων γέννᾳ· μακρὸς δ' αἰὼν ἔχει
Πολλὰ μὲν ἁμετέραν ἀνδρῶν τε μοῖραν εἰπεῖν.
Σὺ δ' ἐκ μὲν οἴκων πατρῴων ἔπλευσας (Στρ. β'.)
Μαινομένᾳ κραδίᾳ, διδυμους ὁρίσασα πόντου
Πέτρας· ἐπὶ δὲ ξένᾳ
Ναίεις χθονὶ τᾶς ἀνάνδρου
Κοίτας ὀλέσασα λέκτρον
Τάλαινα, φυγὰς δὲ χώρας
Ἄτιμος ἐλαύνῃ.
Βέβακε δ' ὅρκων χάρις, οὐτ' ἔτ' αἰδὼς (Ἀντ. β'.)
Ἑλλάδι τᾷ μεγάλᾳ μίμνει, αἰθερία δ' ἀνέπτα.
Σοὶ δ' οὔτε πατρὸς δόμοι,
Δύστανε, μεθορμίσασθαι
Μόχθων πάρα, τῶν δε λέκτρων
Ἄλλα βασίλεια κρείσσων
Δόμοισιν ἐπέστα.

# ΠΡΑΞΙΣ ΠΡΙΤΗ.

ΙΑΣΩΝ, ΜΗΔΕΙΑ, ΧΟΡΟΣ, ΑΙΓΕΥΣ.

ΙΑ. Οὐ νῦν κατεῖδον πρῶτον, ἀλλὰ πολλάκις,

---

τάχησ' ἂν, Ἀντάχησαν, ὑφ' ἕν, ἐν ἄλλοις κεῖται. 438. βέβακεν] ἀπέπτη, οἴχεται. 442. Μόχθων πάρα· τῶν δε λέκτρων Ἄλλα βασίλεια κρείσσων δόμοισιν

τὸν δ' ἐμὸν βίον ἀπ' ἐναντίας φῆμαι εὐκλεεῖς περιςείχουσι, καὶ τῷ τοῦ θήλεως γένει ἤδη τιμαὶ ἀποδέδονται, τῆς δυσκλείας ἀποιχομένης.

Αἱ δὲ τῶν ποιητῶν Μοῦσαι παύσονται ἤδη τὴν ἐμὴν διακηρύττουσαι ἀπιςίαν· Φοῖβος γὰρ, ὁ τῶν μελῶν ἡγεμὼν, οὐδὲν πρὸς λύραν τῷ τῶν γυναικῶν ἐδωρήσατο γένει· ἦ γὰρ ἂν τοῖς αὐτοῖς τοὺς ἄνδρας ἐν μέρει ἐς ἀπιςίαν καὶ ἡμεῖς ἠμειψάμεθα· Πολλὰ δ' οὖν ἐν τῷ μακρῷ χρόνῳ ἡμῶν τε περὶ καὶ ἀνδρῶν τοῖς ἐπιγιγνομένοις εἰρήσεται.

Σὺ δ', ὦ τάλαινα, καταλιποῦσα πατρῷον οἶκον, διέπλευσας ἀφρόνως τὰς Συμπληγάδας· καὶ νῦν τοῦ ἀνδρὸς ἐκπεσοῦσα, ἐν ἀλλοδαπῇ κατατρίψεις τὸν βίον· φυγὰς γὰρ ἐντεῦθεν ἄτιμος ἐξελαύνῃ.

Οἴχετ' ἄρ' ἡ χάρις τῶν ὅρκων αἰθέριος· οὐκέτ' αἰδὼς παρὰ τοῖς μεγαλωνύμοις Ἕλλησιν ἐμφιλοχωρήσει· σοὶ δ', ὦ δύστηνε, οὐκέτ' ἐστὶ πατρῷος οἶκος· πρὸς ὃν, τῶν παρόντων κακῶν ἀπαλλαγεῖσα, καταφύγοις ἄν· τὴν γὰρ σὴν εὐνὴν ἑτέρα πολλῷ σοῦ κρείσσων, ἡ τοῦ Κρέοντος κατέχει παῖς.

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

## ΙΑΣΩΝ, ΜΗΔΕΙΑ, ΧΟΡΟΣ, ΑΙΓΕΥΣ.

ΙΑ. Μέγιςον κακὸν τὴν τραχυῖαν ὀργὴν εἶναι οὐ νῦν πρῶτον,

Τραχεῖαν ὀργὴν, ὡς ἀμήχανον κακόν.
Σοὶ γὰρ παρὸν γῆν τήνδε καὶ δόμους ἔχειν,
Κούφως φερούσῃ κρεισσόνων βουλεύματα,
Λόγων ματαίων οὕνεκ' ἐκπεσῇ χθονός.
Κἀμοὶ μὲν οὐδὲν πρᾶγμα· μὴ παύσῃ ποτὲ
Λέγουσ', Ἰάσων ὡς κάκιστος ἔστ' ἀνήρ·
Ἃ δ' ἐς τυράννους ἐστί σοι λελεγμένα,
Πᾶν κέρδος ἡγοῦ ζημιουμένη φυγῇ·
Κἀγὼ μὲν ἀεὶ βασιλέων θυμουμένων
Ὀργὰς ἀφῄρουν, καί σ' ἐβουλόμην μένειν·
Σὺ δ' οὐκ ἀνίης μωρίας, λέγουσ' ἀεὶ
Κακῶς τυράννους· τοιγὰρ ἐκπεσῇ χθονός.
Ὅμως δὲ κἀκ τῶνδ' οὐκ ἀπειρηκὼς φίλοις
Ἥκω, τὸ σόν γε προσκοπούμενος, γύναι,
Ὡς μήτ' ἀχρήμων ξὺν τέκνοισιν ἐκπέσῃς,
Μήτ' ἐνδεής του· πόλλ' ἐφέλκεται φυγὴ
Κακὰ ξὺν αὑτῇ· καὶ γὰρ εἰ σύ με στυγεῖς,
Οὐκ ἂν δυναίμην σοὶ κακῶς φρονεῖν ποτέ.
ΜΗ. Ὦ παγκάκιστε, (τοῦτο γάρ σ' εἰπεῖν ἔχω
Γλώσσῃ μέγιστον εἰς ἀνανδρίαν κακὸν)
Ἦλθες πρὸς ἡμᾶς, ἦλθες, ἔχθιστος γεγὼς
Θεοῖς τε κἀμοὶ, παντί τ' ἀνθρώπων γένει;
Οὔτοι θράσος τόδ' ἐστὶν, οὐδ' εὐτολμία,
Φίλους κακῶς δράσαντ' ἐναντίον βλέπειν,
Ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
Πασῶν, ἀναίδει'. εὖ δ' ἐποίησας μολών·
Ἐγώ τε γὰρ λέξασα κουφισθήσομαι
Ψυχὴν κακῶς σε, καὶ σὺ λυπήσῃ κλύων·

ἀλλὰ πολλάκις πείρᾳ μεμαθηκὼς τυγχάνω· ἐξὸν γὰρ μένειν σε ἐνταῦθα ἀναγκαίως φέρουσαν, ὃ τοῖς κρείττουσιν ἔδοξεν, ἀκρασίᾳ γλώσσης ἐξελασθήσῃ αὐτίκα μάλα· κἀμοὶ μὲν μέλει οὐδέν· μήποτε λήξῃς, εἰ βούλει, κακῶς ἐμὲ λέγουσα· ἀλλ' ἐξ ὧν πρὸς τοὺς κρατοῦντας ἀποσφενδονᾷς ἀφρόνως, κέρδος ἡγοῦ τὴν τῆς φυγῆς ζημίαν· ἔγωγε δ' οὖν οὐκ ἐπαυσάμην ὑφαιρῶν τὴν ἐκείνων ἐπὶ τούτοις ὀργὴν, ὅπως μείνῃς· σὺ δ' οὐχ ὑφίεις τοῦ πάθους, ἀλλ' ἐπιτείνεις, ἀεὶ κακῶς λέγουσα, ὅσοι τῆς φυγῆς ἐγένετο αἰτία. Τέως δ' οὖν καὶ τούτων οὕτως ἐχόντων, ἥκω αὖθις ὅ,τι ἂν οἷός τε ὦ, εὖ δράσων σε, ἵνα μηδενὸς σπάνιν ἔχουσα, σὺν τοῖς παισὶν ἐκβληθῇς τῶν ὁρίων· ἡ γὰρ φυγὴ πολλὰ συνεπάγεται τὰ δεινά· ἐγὼ γὰρ, καί τοι ἀπεχθείας μοι πρὸς σὲ οὔσης, οὐκ ἂν δυναίμην μὴ εὐνοεῖν σοι.

ΜΗ. Ὦ παγκάκιστε· τοῦτο γάρ σε προσαγορεύω λόγῳ, μείζοντι μὴ δυναμένη κακῶς σε ποιῆσαι· ἦλθες πρὸς ἡμᾶς, ἦλθες, ἔχθιστον ὢν ἐμοί τε, καὶ Θεοῖς, καὶ παντὶ τῷ τῶν ἀνθρώπων γένει; μὴ γὰρ εὐτολμίαν τοῦτ' οἰηθῇς, φίλους κακῶς δράσαντα, προσελθεῖν αὐτοῖς, ἀλλ' ἀναίδειαν ἄντικρυς, τὴν μεγίστην τῶν ἐν ἀνθρώποις νόσων, καίτοι ἄλλως εὖ ἐποίησας ἐλθών· ἐγώ τε γὰρ ἀνακουφισθήσομαι, τὰ εἰκότα σου κατειποῦσα, καὶ σὺ λυπηθήσῃ, ἀκούων ταῦτα· πρῶτον μὲν γὰρ (καὶ

ἐπέστα] οὕτω καλῶς ἔχει τοῦτο· τὸ δὲ ἀρχαῖον ἔφθαρται. 473. Ἔσωσα] πολυθρύλλητος ὁ στίχος οὗτος διὰ τὸ πλῆθος τοῦ σίγματος· διὸ καὶ Εὐριπίδην φιλόσιγμον ἐκάλεσάν τινες· τὸ αὐτὸ δὲ πέπονθε καὶ Σοφοκλῆς ἐν τῷ Ταῦ, ὀκτάκις καὶ αὐτὸς τῷ αὐτῷ ἐν τῷ αὐτῷ χρησάμενος στίχῳ.

» Τυφλὸς τάτ' ὦτα, τόν τε νοῦν, τάτ' ὄμματ' εἶ.

Ἐκ τῶνδε πρώτων πρῶτον ἄρξομαι λέγειν.
Ἔσωσά σ᾽, ὡς ἴσασιν Ἑλλήνων, ὅσοι
Ταὐτὸν ξυνεισέβησαν Ἀργῷον σκάφος,
Πεμφθέντα ταύρων πυρπνόων ἐπιστάτην
Ζεύγλαισι, καὶ σπεροῦντα θανάσιμον γύην·
Δράκοντά θ᾽, ὃς πάγχρυσον ἀμφέπων δέρας,
Σπείραις ἔσωζε πολυπλόκοις, ἄυπνος ὤν,
Κτείνασ᾽, ἀνέσχον σοὶ φάος σωτήριον.
Αὐτὴ δὲ, πατέρα καὶ δόμους προδοῦσ᾽ ἐμοὺς,
Τὴν Πηλιῶτιν εἰς Ἰωλκὸν ἱκόμην
Ξὺν σοὶ, πρόθυμος μᾶλλον, ἢ σοφωτέρα·
Πελίαν τ᾽ ἀπέκτειν᾽, ὥσπερ ἄλγιστον θανεῖν,
Παίδων ὑπ᾽ αὐτοῦ, πάντα τ᾽ ἐξεῖλον φόβον.
Καὶ ταῦθ᾽ ὑφ᾽ ἡμῶν, ὦ κάκιστ᾽ ἀνδρῶν, παθὼν
Προὔδωκας ἡμᾶς, καινὰ δ᾽ ἐκτήσω λέχη,
Παίδων γεγώτων· εἰ γὰρ ἦσθ᾽ ἄπαις ἔτι,
Σύγγνωστ᾽ ἂν ἦν σοι τοῦδ᾽ ἐρασθῆναι λέχους.
Ὅρκων δὲ φρούδη πίστις, οὐδ᾽ ἔχω μαθεῖν,
Εἰ θεοὺς νομίζεις τοὺς τότ᾽ οὐκ ἄρχειν ἔτι,
Ἢ καινὰ κεῖσθαι θέσμ᾽ ἐν ἀνθρώποις τανῦν,
Ἐπεὶ ξύνοισθά γ᾽ εἰς ἔμ᾽ οὐκ εὔορκος ὤν.
Φεῦ δεξιὰ χεὶρ, ἧς σὺ πόλλ᾽ ἐλαμβάνου,
Καὶ τῶνδε γονάτων, ὡς μάτην, κεχρώσμεθα
Κακοῦ πρὸς ἀνδρὸς, ἐλπίδων δ᾽ ἡμάρτομεν.
Ἄγ᾽, ὡς φίλῳ γὰρ ὄντι σοι κοινώσομαι,

477. Ἐπιστάτην Ζεύγλησιν] ἐπιθεῖναι τὰς ζεύγλας τοῖς πυρπνόοις τῶν ταύρων· τοιοῦτοι γὰρ ἐφύλαττον τὴν εἴσοδον ἐς τὸ δέρας, ἐκτὸς τοῦ Δράκοντος τοῦ

ἴσασι πάντες οἱ ἐν τῇ Ἀργοῖ τότε συμπλέοντες τῶν Ἑλλήνων) τοῦτε κινδύνου τῶν ταύρων ἔσωσάσε· οὓς πυρπνόους ὄντας ἔδει σε κατάζεῦξαι, καὶ τὴν θανάσιμον σπεῖραι γῆν· καὶ τὸν δράκοντ' αὖ ἀνελοῦσα φαρμάκοις, ὃς ἄϋπνος ὢν, τὸ πάγχρυσον ἐφύλαττε δέρας, τοῦ ζῆν σε νῦν αἰτία γεγένημαι· ἔπειτα προθυμότερον μὲν, προαλέστερον δὲ καὶ ἀβουλότερον, καὶ τοῦτο σὴν χάριν, ἀφικόμην ἐνταῦθα, πατέρα καὶ τὸν πατρῷον ἀπολιποῦσα οἶκον· ἐπὶ δὲ τούτοις Πελίαν ἐποίησα, ὃς ἄλγιστος θανάτων ἁπάντων, ὑπὸ τῶν ἑαυτοῦ θυγατέρων ἀποθανεῖν, ὥστε μηκέτι μηδένα σε φοβεῖσθαι· ἀλλὰ ταῦτ' αὐτὸς εὖ παθὼν παρ' ἐμοῦ, ὦ κάκισθ' ἁπάντων ἀνθρώπων, προὔδωκας ἡμᾶς νῦν, ἑτέραν, παίδων ἤδη ἡμῖν ὑπαρχόντων, σεαυτῷ συναρμόσας γυναῖκα· πρὶν γὰρ τούτους γενέσθαι, εἴτι τοιοῦτον ἦν πεπλημμελημένον, συγγνώμη ἂν ἦν σοι· Πρὸς δὲ καὶ τὴν τῶν ὅρκων ἠθέτησας πίστιν· καί μοι δοκεῖς νῦν δυοῖν θάτερον, ἢ τοὺς Θεοὺς ἐκείνους μηκέθ' ὑπολαμβάνειν ἄρχειν, ἢ ἄλλα κεῖσθαι νῦν δόγματα παρ' ἀνθρώποις καινὰ ἀντὶ τῶν ἀρχαίων· σύνοιδας γὰρ ἐπίορκος πρός με γεγενημένος· ὦ τῆς δεξιᾶς ταυτησὶν, ἧς πολλάκις ἐλάβου· ὦ γονάτων ἐμῶν, ὧν πολλάκις ὁ πάντων κάκιςος μιαίνων ἥψατο, διαψευσάμενος ἡμᾶς, ὧν ὑπέσχετο. Ἀλλ' ἄγε ἤδη ὡς πρὸς φίλον σε τοὺς λόγους ποιήσωμαι, καίπερ μηκέτι πρὸς σοῦγε ἀγαθὸν παθεῖν προσ-

---

ἐπαγρυπνοῦντος· τούτου γὰρ τοῦ ἀγῶνος, εἰ νικῴη, γέρας ἦν ὑπὸ τοῦ Αἰήτου τὸ δέρας, ἴδε δὲ ταῦτα καὶ περὶ σπαρτῶν ὀδόντων. Ἀπολ. Βιβλ. Α'. κ. [illegible]

Δοκοῦσα μήτι πρόςγε σοῦ πράξειν καλῶς,
Ὅμως δ'· ἐρωτηθεὶς γὰρ αἰσχίων φανῇ.
Νῦν ποῖ τράπωμαι; πότερα πρὸς πατρὸς δόμους,
Οὓς σοὶ προδοῦσα καὶ πάτραν ἀφικόμην;
Ἢ πρὸς ταλαίνας Πελιάδας; καλῶς γ' ἂν οὖν
Δέξαιντό μ' οἴκοις, ὧν πατέρα, κατέκτανον.
Ἔχει γὰρ οὕτω· τοῖς μὲν οἴκοθεν φίλοις
Ἐχθρὰ καθέστηχ', οὓς δέ μ' οὐκ ἐχρῆν κακῶς
Δρᾷν, σοὶ χάριν φέρουσα, πολεμίους ἔχω.
Τοιγάρ με πολλαῖς μακαρίαν ἂν' Ἑλλάδα
Ἔθηκας ἀντὶ τῶνδε· θαυμαστὸν δέ σε
Ἔχω πόσιν καὶ πιστὸν ἡ τάλαιν' ἐγὼ,
Εἰ φεύξομαί γε γαῖαν ἐκβεβλημένη,
Φίλων ἔρημος, ξὺν τέκνοις μόνη μόνοις,
Καλόν γ' ὄνειδος τῷ νεωστὶ νυμφίῳ,
Πτωχοὺς ἀλᾶσθαι παῖδας, ἥ τ' ἔσωσά σε.
Ὦ Ζεῦ, τί δὴ χρυσοῦ μὲν, ὃς κίβδηλος ᾖ,
Τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ,
Ἀνδρῶν δ' ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
Οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι;

ΧΟ. Δεινή τις ὀργὴ καὶ δυσίατος πέλει,
Ὅταν φίλοι φίλοισι συμβάλωσ' ἔριν.

ΙΑ. Δεῖ μ', ὡς ἔοικε, μὴ κακὸν φῦναι λέγειν,
Ἀλλ', ὥςε ναὸς κεδνὸν οἰακοςρόφον,
Ἄκροισι λαίφους κρασπέδοις ὑπεκδραμεῖν
Τὴν σὴν στόμαργον, ὦ γύναι, γλωσσαλγίαν.

---

484. Πρόθυμος] ὑπὸ ἔρωτος μᾶλλον, ἢ ὑπὸ τῆς φρονήσεως κινουμένη. 522.

δοκῶσα· ἀλλ' αὐτόςγε μᾶλλον ἐρωτώμενος, αἰσχυνθήσῃ· λέγε δή μοι νῦν, ποῖ τράπωμαι φεύγουσα; οἴκαδε; ἔνθα πατέρα, πατρίδα, πατρῴαν οἰκίαν, πάντα σὴν χάριν προδοῦσα, ἀφικόμην ἐνταῦθα; ἢ πρὸς Ἰωλκὸν ὡς τὰς Πελιάδας; καλῶςγ' ἂν ἡμᾶς δέξαιντο ἐς τὴν οἰκίαν, ὧν ἀπέκτεινα τὸν πατέρα! οὕτω γὰρ, ἐν ςενῷ κατεχομένη, πρὸς μὲν τοὺς οἴκοι ἀπεχθανομένη· τοὺς δ' αὖ, κακῶς σοῦ ἕνεκα δράσασα, πολεμίους πεποιημένη, καλῆς ἀμοιβῆς (οὐχ ὁρᾷς;) ἔτυχον παρὰ σοῦ ἀντὶ τούτων, παρὰ πολλαῖς τῶν Ἑλληνίδων ζηλωτὸς γενομένη· θαυμαστὸν δὲ καὶ σὲ ἠγαγόμην νυμφίον, εἰ νῦν φευξοῦμαι, ἀπεληλαμένη μόνη σὺν τέκνοις μόνοις, ἔρημος φίλων· καλὴ δὲ καὶ τῷ πατρὶ καὶ θαυμαστῷ νυμφίῳ δόξα πτωχοὺς ἀλᾶσθαι παῖδάςτε τούτους, κἀμὲ σὺν αὐτοῖς, παρ' ἧς ἔχεις λαβὼν τὸ σώζεσθαι· ὦ Ζεῦ, τί τοῦτο; χρυσοῦ μὲν κιβδήλου τεκμήρια παρέσχες εἰς διάγνωσιν τοῖς ἀνθρώποις· τί δ' οὐχὶ καὶ ἀνδράσιν ἔξωθεν ἐνέθηκας χαρακτῆρας, ὡς ἂν τὸν καλὸν κἀγαθὸν τοῦ κακοῦ διακρίναιμεν;

ΧΟ. Χαλεπόν ἐςτιν ὀργὴν φίλων, πρὸς φίλους ἐριζόντων, καταπαύειν.

ΙΑ. Δεῖ με, ὡς ἔοικε, μὴ φανῆναι κακὸν ἐν τῷ λέγειν· ἀλλ' ὡς οἰακοστρόφος δεινὸς τῇ τῆς ὀθόνης ςροφῇ διαφεύγει τὸ κῦμα, οὕτω κἀμὲ τῷ τῶν λόγων ποικίλῳ ὑπεκδραμεῖν τὴν σὴν γλωσσαλγίαν· ἐμοὶ γὰρ οὐ σὲ, καίπερ το-

Ὥσπερ ναὸς] δεῖ με, φησὶν, ὑπεκφυγεῖν τὴν γλωσσαλγίαν τοῦ μάργου καὶ ἀκορέστου στόματός σου, καθάπερ κυβερνήτης ὑπεκφεύγει τὸ κῦμα τῇ τῶν ἱστίων

Ἐγὼ δ', ἐπειδὴ καὶ λίαν πυργοῖς χάριν,
Κύπριν νομίζω τῆς ἐμῆς ναυκληρίας
Σώτειραν εἶναι θεῶν τε κἀνθρώπων μόνην.
Σοὶ δ' ἔςι μὲν νοῦς λεπτὸς, ἀλλ' ἐπίφθονος
Λόγος διελθεῖν, ὡς Ἔρως σ' ἠνάγκασε
Τόξοις ἀφύκτοις τοὐμὸν ἐκσῶσαι δέμας.
Ἀλλ' οὐκ ἀκριβῶς αὐτὸ θήσομαι λίαν·
Ὅπῃ γὰρ οὖν ὤνησας, οὐ κακῶς ἔχει.
Μείζω γε μέντοι τῆς ἐμῆς σωτηρίας
Εἴληφας, ἢ δέδωκας, ὡς ἐγὼ φράσω.
Πρῶτον μὲν Ἑλλάδ' ἀντὶ βαρβάρου χθονὸς
Γαῖαν κατοικεῖς, καὶ δίκην ἐπίςασαι
Νόμοις τε χρῆσθαι, μὴ πρὸς ἰσχύος χάριν·
Πάντες δὲ σ' ᾔσθοντ' οὖσαν Ἕλληνες σοφὴν,
Καὶ δόξαν ἔσχες εἰ δὲ γῆς ἐπ' ἐσχάτοις
Ὅροισιν ᾤκεις, οὐκ ἂν ἦν λόγος σέθεν.
Εἴη δ' ἔμοιγε μήτε χρυσὸς ἐν δόμοις,
Μήτ' Ὀρφέως κάλλιον ὑμνῆσαι μέλος,
Εἰ μὴ 'πίσημος ἡ τύχη γένοιτό μοι.
Τοσαῦτα μέν σοι τῶν ἐμῶν πόνων πέρι
Ἔλεξ'· (ἅμιλλαν γὰρ σὺ προὔθηκας λόγων)
Ἃ δ' ἐς γάμους μοι βασιλικοὺς ὠνείδισας,
Ἐν τῷδε δείξω πρῶτα μὲν σοφὸς γεγὼς,
Ἔπειτα σώφρων, εἶτα σοὶ μέγας φίλος
Καὶ παισὶ τοῖς ἐμοῖσιν· ἀλλ' ἔχ' ἥσυχος.
Ἐπεὶ μετέςην δεῦρ' Ἰωλκίας χθονὸς,
Πολλὰς ἐφέλκων ξυμφορὰς ἀμηχάνους,
Τί τοῦδ' ἂν εὕρημ' εὗρον εὐτυχέςερον,

σοῦτον πυργώσασαν τοῖςγε λόγοις τὴν χάριν, τὴν δ' Ἀφροδίτην ἔπεισέ μοι πιςεύειν σωτηρίαν γενέσθαι· ἕτερον δ' οὐδένα οὔτε Θεῶν, οὔτ' ἀνθρώπων· καὶ σὺ μὲν οἶσθα σοῦτο σαφῶς· ἀλλὰ σύνοιδας σεαυτῇ μὴ εὐπρεπές σοι ἐσόμενον τοῦθ' ὁμολογεῖν τῷ λόγῳ, ὡς ἔρωτι ἁλοῦσα, τοῦ προὔπτου με κινδύνου διέσωσας· ἀλλὰ ταῦτά γε οὔ μοι βουλομένῳ ἐστὶν ἐπ' ἀκριβὲς ἐξετάζειν· ὧν γὰρ καὶ ὅπως ἔτυχον παρὰ σοῦ, τούτων τὴν χάριν οὐκ ἂν ἀρνηθείην. πλείω μέντοι εὖ πέπονθας, ἢ ἐποίησας, ὡς ἂν ἔγωγε φαίην· πρῶτον μὲν γὰρ ἀντὶ βαρβάρου γῆς κατοικεῖς Ἑλληνίδα, καὶ δίκην ἐπίστασαι, καὶ νόμοις μεμάθηκας οὐκ ἐκ τοῦ κρείττονος, ἀλλ' ἐκ τοῦ ἴσου χρῆσθαι· κἀκ τοῦ πάντας Ἕλληνας μαθεῖν σε οὖσαν σοφὴν οὐχ ἡ τυχοῦσά σοι προσεγένετο δόξα· οἴκοι δὲ εἴπερ ᾖσθα ἐπὶ τῶν ἐσχάτων ὅρων τῆς γῆς, οὐδεὶς ἂν ἦν λόγος σου παρ' οὐδέσιν· ἔμοιγε δὲ μήτε χρυσὸν ὑπάρχειν, μήτ' Ὀρφέως εἴη κάλλιον ᾄδειν, εἰ μὴ καὶ δόξα μοι τούτων γένοιτο πρὸς ἀνθρώπους· καὶ ταῦτα μὲν πρὸς σὲ περὶ τῶν ἐμῶν κινδύνων, ὡσπερεὶ λόγων ἅμιλλαν προτιθεῖσαν· ἃ δέ μοι εἰς γάμον προσφέρεις, ἐκεῖνό φημι, ὡς τρία μοί τινα κἀν τούτῳ σοφῶς προμεμήθευται, τὸ σοφὸν, τὸ φρόνιμον, τὸ συμφέρον θ' ὑμῖν, σοί τε φημὶ, καὶ τοῖς ἐμαυτοῦ παισὶ πράττειν· ἀλλ' ἔχ' ἀτρέμας· ἐκπεσὼν γὰρ τῆς Ἰωλκοῦ, πολλὰς ἀμηχάνους συνεπαγόμενος συμφορὰς, τί ἂν ηὐξάμην κάλλιον εὑρέσθαι, ἢ τοῦτο, βασιλίδα συ-

---

στροφῇ. 528. Σοὶ δ' ἐστὶ μὲν νοῦς λεπτός] ὃ ἐστιν ἐννοεῖς μὲν τὸ πρᾶγμ' ἀκριβῶς, ὅπως ἔχει ταῖς ἀληθείαις, ἀλλ' ἐξειπεῖν σοι τοῦτο αἰσχύνην φέρει τό

Ἢ παῖδα γῆμαι βασιλέως, φυγὰς γεγώς;
Οὐχ, ᾗ σὺ κνίζει, σὸν μὲν ἐχθαίρων λέχος,
Καινῆς δὲ νύμφης ἱμέρῳ πεπληγμένος,
Οὐδ' εἰς ἅμιλλαν πολύτεκνον σπουδὴν ἔχων.
Ἅλις γὰρ οἱ γεγῶτες, οὐδὲ μέμφομαι.
Ἀλλ' ὡς, τὸ μὲν μέγιςον, οἰκοῖμεν καλῶς,
Καὶ μὴ σπανιζοίμεσθα, γιγνώσκων, ὅτι
Πένητα φεύγει πᾶς τις ἐκποδὼν φίλος,
Παῖδας δὲ θρέψαιμ' ἀξίως δόμων ἐμῶν,
Σπείρας τ' ἀδελφοὺς τοῖσιν ἐκ σέθεν τέκνοις,
Ἐς ταὐτὸ θείην, καὶ συναρτήσας γένος,
Εὐδαιμονοίην· σοί τε γὰρ παίδων τι δεῖ;
Ἐμοί τε λύει τοῖσι μέλλουσιν τέκνοις
Τὰ ζῶντ' ὀνῆσαι· μῶν βεβούλευμαι κακῶς;
Οὐδ' ἂν σὺ φαίης, εἴ σε μὴ κνίζοι λέχος.
Ἀλλ' ἐς τοσοῦτον ἥκεθ', ὥστ', ὀρθουμένης
Εὐνῆς, γυναῖκες πάντ' ἔχειν νομίζετε,
Ἣν δ' αὖ γένηται ξυμφορά τις ἐς λέχος.
Τὰ λῷστα καὶ κάλλιστα πολεμιώτατα
Τίθεσθε· χρῆν ἄρ' ἄλλοθέν ποθεν βροτοὺς
Παῖδας τεκνοῦσθαι, θῆλυ δ' οὐκ εἶναι γένος·
Χ' οὕτως ἂν οὐκ ἦν οὐδὲν ἀνθρώποις κακόν.
ΧΟ. Ἰᾶσον, εὖ μὲν τούσδ' ἐκόσμησας λόγους·
Ὅμως δ' ἔμοιγε, κεἰ παρὰ γνώμην ἐρῶ,
Δοκεῖς, προδοὺς σὴν ἄλοχον, οὐ δίκαια δρᾷν.

---

γὰρ ἐπίφθονον ἐνταῦθα τὴν τῶν ἀνθρώπων δηλοῖ μέμψιν. 565. Λύει] συμφέρει, ἢ μᾶλλον λυσιτελεῖ· ὃ καὶ παρὰ Σοφοκλεῖ (Οἰδ. Τυρ. στίχ. 324.). διηρη-

ναρμόσασθαι γάμῳ ὁ φυγὰς ἤδη γεγενημένος; καὶ ταῦθ' οὐ τοὺς σοὺς ἀποστρεφόμενος ἔρωτας, ἐφ' ᾧ καὶ δοκεῖς μοι μάλιστα χαλεπαίνειν· οὐδὲ τῇ τῆς νέας νύμφης, ὡς ἂν εἴποις αὐτὴ ἁλοὺς Ἀφροδίτῃ, οὐδὲ νέων πατὴρ γλιχόμενος γενέσθαι παίδων· ἅλις γὰρ τούτων, καὶ ἡμῖν οὐδεμία ἐν τούτοις μέμψις· ἀλλ' ὅπως ἀβρότερον ἔχοιμεν βίον, εἰδότες καὶ φίλους αὐτοὺς φίλους πένητας ἀποστρεφομένους· τοῦτο πρῶτον· ἔπειθ' ἵν' ἔχοιμι καὶ τοὺς ὑπάρχοντας παῖδας ἀξίως ἐμαυτοῦ ἀναθρέψασθαι, εἰς ταὐτὸ τιθεὶς αὐτοὺς τοῖς ἐκ τῆς δευτέρας μοι ἐσομένοις· οὕτω γὰρ ἑκατέρωθεν συναρμόσας τὸ γένος, εὐδαιμονοίην· παίδων γάρ σοι μέλειν προσήκει οὐδέν· ἐμοὶ δ' ἂν μάλιστα διαφέροι τούτους ὠφελεῖν, ἐξ ὧν αὖθις μέλλω γεννήσειν· πῶς οὖν μοι κακῶς ταῦτα πέπρακται, ἀλλ' οὐχὶ σοφῇ προμηθίᾳ; οὐκ ἂν εἴποις, εἰ μηκέτι φρονεῖς, ἃ φρονεῖν πείθουσιν ἔρωτες· ὑμεῖς γὰρ αἱ γυναῖκες. ἐς τοσοῦτον ἥκετε ἀτοπίας, ὥστε καλῶς ἐχόντων ὑμῖν τῶν ἀφροδισίων, πάντ' οἴεσθε ἔχειν· συμβὰν δέ τι ἀηδῶς περὶ ταῦτα, τὰ λῷστα καὶ κάλλιστα ἐν μοίρᾳ τίθεσθε τῶν ἐχθίστων· ἀλλ' ἔδει τοὺς ἄνδρας ἄλλοθεν ἔχειν τεκνοποιεῖσθαι· τὸ δὲ τῶν γυναικῶν γένος μήθ' ὅλως ὑπάρξαι· οὕτω γὰρ οὐδὲν ἂν ἦν ἐν τῷ βίῳ κακόν.

**ΧΟ.** Ἰάσων, καὶ σύγγνωθί μοι, εἴ τι παρ' ὃ βούλομαι, ἐξερῶ· ἃ μὲν λέγεις, καλά· οἷς δὲ πράττεις, ἔμοιγε δοκεῖς ἀδικεῖν, γυναῖκα προδοὺς τὴν σαυτοῦ.

---

μένως φέρεται ὡδί. »Ἔνθα μὴ τέλη λύει φρονοῦντι »ὅπου ὁ σχολιαστής, λελυμένως εἶπεν ἀντὶ τοῦ λυσιτελεῖ· οὕτω δὲ καὶ ἐν Ἀλκήστιδι (στίχ. 631.) φησί·

ΜΗ. Ἦ πολλὰ πολλοῖς εἰμὶ διάφορος βροτῶν.
Ἐμοὶ γὰρ ὅστις, ἄδικος ὢν, σοφὸς λέγειν
Πέφυκε, πλείστην ζημίαν ὀφλισκάνει·
Γλώσσῃ γὰρ αὐχῶν τἄδικ' εὖ περιστελεῖν,
Τολμᾷ πανουργεῖν· ἔστι δ' οὐκ ἄγαν σοφός·
Ὡς καὶ σὺ μὴ νῦν εἰς ἔμ' εὐσχήμων γένῃ,
Λέγειν τε δεινός· ἓν γὰρ οὖν κτενεῖ σ' ἔπος·
Χρῆν σ', εἴπερ ἦσθα μὴ κακὸς, πείσαντά με
Γαμεῖν γάμον τόνδ', ἀλλὰ μὴ σιγῇ φίλων.
ΙΑ. Καλῶς γ' ἂν οὖν μοι τῷδ' ὑπηρέτεις λόγῳ,
Εἴ σοι γάμον κατεῖπον, ἥτις οὐδὲ νῦν
Τολμᾷς μεθεῖναι καρδίας μέγαν χόλον·
ΜΗ. Οὐ τοῦτό σ' εἶχεν, ἀλλὰ βάρβαρον λέχος
Πρὸς γῆρας οὐκ εὔδοξον ἐξέβαινέ σοι.
ΙΑ. Εὖ νῦν τόδ' ἴσθι, μὴ γυναικὸς οὕνεκα
Γῆμαί με λέκτρα βασιλέως, ἃ νῦν ἔχω,
Ἀλλ' ὥσπερ εἶπον καὶ πάρος, σῶσαι θέλων
Σὲ, καὶ τέκνοισι τοῖς ἐμοῖς ὁμοσπόρους
Φῦσαι τυράννους παῖδας, ἔρυμα δώμασιν.
ΜΗ. Μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος,
Μηδ' ὄλβος, ὅστις τὴν ἐμὴν κνίζοι φρένα.
ΙΑ. Οἶσθ', ὡς μετεύξῃ καὶ σοφωτέρα φανῇ;
Τὰ χρηστὰ μή σοι λυπρὰ φαινέσθω ποτὲ,
Μηδ' εὐτυχοῦσα δυστυχὴς εἶναι δόκει.
ΜΗ. Ὕβριζ', ἐπειδὴ σοὶ μὲν ἔστ' ἀποστροφὴ,

---

τοιούτους γάμους λύειν βροτοῖσιν. 593. Οὐκ εὔδοξον] πότερον, αἰσχύνεται Ἰάσων συγγηρᾶσαι γυναικὶ βαρβάρῳ, ἢ ἑτέραν ἐβούλετο νεωτέραν ἔχειν, τῆς βαρβάρου ῥεπούσης ἤδη πρὸς τὸ γῆρας; τὸ πρῶτον δοκεῖ. 599. λυπρὸς εὐδαίμων

ΜΗ. Τοὐμὸν οὖν φρόνημα πολλῷ διάφορόν ἐστι πρὸς τοὺς ἄλλους· ὃς γὰρ κακὸς ὢν, δεινός ἐστι λέγειν, πλείονος οὗτος ἄξιος τιμωρίας· πεποιθὼς γὰρ τῇ γλώττῃ, ὥστε δύνασθαι ἀντιπεριπλέκειν πρὸς τὰ δίκαια, τολμᾷ κακουργεῖν· ἀλλ' οὐκ ἂν οὗτος λίαν εἴη σοφός· ὥσπερ οὐδὲ σὺ νῦν ἐκ τῆς ἐν τῷ λέγειν δεινότητος, πρὸς ἐμὲ εὐπρεπῆ δόξεις λέγειν· αὐτίκα γὰρ αἱρήσω σε, ἓν ἐκεῖνο μόνον εἰποῦσα· εἰ γὰρ ἦσθα μὴ κακὸς ἀνὴρ, ἔδεισε μὴ ἐκ τοῦ ἀφανοῦς, ἀλλὰ πείσαντά με πρῶτον, οὕτως ἐς τὸν γάμον ἐλθεῖν.

ΙΑ. Καλῶς ἂν ἡμῖν οὕτως ἀπήντα τὰ παρὰ σοῦ, ταῦτά γε προειδυίας! ἥτις οὐδὲ νῦν τῆς ὀργῆς καθυφίεις.

ΜΗ. Οὐ τοῦτ' ἐστιν, ἀλλ' ᾐσχύνου βαρβάρῳ συνοικεῖν μέχρι γήρως.

ΙΑ. Ἀλλ' ὦ γύναι, πίστευσον τοῖς ἐμοῖς λόγοις, οὐ διὰ ταῦτα τὴν τοῦ βασιλέως ἔγημα θυγατέρα· ἀλλὰ σὲ, ὃ ἔφθην εἰπὼν, βουλόμενος σῶσαι, καὶ τοὺς παῖδας τοὺς ἐμαυτοῦ ἑτέροις, τοὺς πρώτους τοῖς δευτέροις ἐπισυνάψας, δυνατούς γε καταστῆσαι.

ΜΗ. Μή μοι γένοιτο μήτ' εὐδαιμονεῖν, μήτε πλουτεῖν, ἐξ ὧν βαρεῖά μοι ἀεὶ ἐπικείσεται λύπη.

ΙΑ. Ἐχρῆν μὲν, εἰ ἐβούλου φρονεῖν, εὔχεσθαι τἀναντία, οἷς εὔχῃ· οὐ μὴν δὲ τὰ χρηστὰ ἐν μοίρᾳ τῶν κακῶν τιθεμένην, τὴν εὐτυχίαν δυστυχίαν νομίζειν.

ΜΗ. Ὕβριζε, ὅσον βούλει· σοὶ μὲν γὰρ καλῶς πάντα ἔχει

---

βίος] οὐδέχομαι φησί. 604. Ἀποστροφή] καταφυγή, δίαιτα. 607. Γαμοῦσα] ὡς ἀπὸ τοῦ ἀνδρὸς τοῦτο. πρὸς ἐκεῖνον γὰρ ἡ μέμψις. ὡς εἰ ἔλεγεν. μῶν κἀγὼ προδοῦσα τὴν ἐμὴν γαμετὴν, ἔλαβον ἑτέραν; ἄλλως γὰρ ὡς ἀπὸ τοῦ θήλεως

Ἐγὼ δ' ἔρημος τήνδε φευξοῦμαι χθόνα.
ΙΑ. Αὐτὴ τάδ' εἵλου· μηδέν' ἄλλον αἰτιῶ.
ΜΗ. Τί δρῶσα; μῶν γαμοῦσα, καὶ προδοῦσά σε;
ΙΑ. Ἀρὰς τυράννοις ἀνοσίους ἀρωμένη.
ΜΗ. Καὶ σοῖς ἀραία γ' οὖσα τυγχάνω δόμοις.
ΙΑ. Ὡς οὐ κρινοῦμαι τῶνδέ σοι τὰ πλείονα.
Ἀλλ' εἴτι βούλει παισὶν, ἢ σαυτῇ φυγῆς
Προσωφέλημα χρημάτων ἐμῶν λαβεῖν,
Λέγ'· ὡς ἕτοιμος ἀφθόνῳ δοῦναι χερὶ,
Ξένοις τε πέμπειν ξύμβολ', οἳ δράσουσί σ' εὖ.
Καὶ ταῦτα μὴ θέλουσα, μωρανεῖς, γύναι·
Λήξασα δ' ὀργῆς, κερδανεῖς ἀμείνονα.
ΜΗ. Οὔτ' ἂν ξένοισι τοῖσι σοῖς χρησαίμεθ' ἂν,
Οὔτ' ἄν τι δεξαίμεσθα, μήθ' ἡμῖν δίδου·
Κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.
ΙΑ. Ἀλλ' οὖν ἐγὼ μὲν δαίμονας μαρτύρομαι,
Ὡς πάνθ' ὑπουργεῖν σοί τε καὶ τέκνοις θέλω·
Σοὶ δ' οὐκ ἀρέσκει τἀγάθ', ἀλλ' αὐθαδίᾳ
Φίλους ἀπωθῇ· τοιγὰρ ἀλγυνῇ πλέον.
ΜΗ. Χώρει· πόθῳ γὰρ τῆς νεοδμήτου κόρης
Αἱρῇ, χρονίζων, δωμάτων ἐξώπιος·
Νύμφευ'· ἴσως γὰρ, ξὺν θεῷ δ' εἰρήσεται,
Γαμεῖς τοιοῦτον, ὥστε σ' ἀρνεῖσθαι, γάμον.
ΧΟ. Ἔρωτες ὑπὲρ μὲν ἄγαν (Στρ. α΄)

---

ἔδει εἰπεῖν, γαμουμένην. 610. Σύμβολα] σημεῖά τινα ἦσαν ταῦτα τῆς πρὸς ἀλλήλους τῶν ξένων φιλοξενίας· οἱ γὰρ γιγνόμενοι ξένοι, ἀστράγαλον διαπρίοντες δίχα, ἐλάμβανον θάτερον τμῆμα ἑκάτερος, ἵνα εἴτις αὐτῶν, ἢ τῶν

ἐγὼ δὲ πάντων ἔρημος ἐξελαύνομαι.

ΙΑ. Σὺ γὰρ τούτων σεαυτῇ, οὐκ ἄλλος αἴτιός ἐςι δήπου.

ΜΗ. Πῶς; μῶν προδοῦσά σε, ἑτέραν ἠγαγόμην γυναῖκα;

ΙΑ. Τοῦτο μὲν οὔ φημι· καταρᾷ δὲ τοῖς κρατοῦσι.

ΜΗ. Οὐ μόνον, ἀλλὰ καὶ σοῦ ταῦτα δικαίως κατευξαίμην·

ΙΑ. Τὰ μὲν πολλὰ τούτων οὐκ ἂν ἑκὼν βουλοίμην κατακούειν, ἀλλ' εἴτι σεαυτῇ καὶ τοῖς παισὶ παρ' ἐμοῦ ὑπάρξαι χρήζεις, λέγε· ἕτοιμος γὰρ εἰμὶ ὑμῖν ἀφθόνως ἐπαρκέσαι, καὶ τοῖς ξένοις τοῖς ἐμαυτοῦ, εἴτινες εἶέν πῃ, συνιςᾶν· ταῦτα μὲν οὖν εἰ μὴ δέξαιο, οὐχ ὑγιαίνειν μοι δόξεις· παυσαμένη δὲ τῆς ὀργῆς, πολὺ κερδανεῖς.

ΜΗ. Οὔτε τῶν ξένων τῶν σῶν ἡμῖν ἔςαι ὄφελος· οὔτε μὴν τὰ παρὰ σοῦ ἡδέως δεξαίμεθα, εἰδότες ἐχθρῶν δῶρ' ἄδωρα, κοὐκ ὀνήσιμα ὄντα.

ΙΑ. Ἐγὼ δ' οὖν μαρτύρομαι τοὺς Θεοὺς, ὡς αὐτὸς πάνθ' ὑπουργεῖν σοί τε καὶ τοῖς τέκνοις ἐθέλω, σὺ δ' ὀργίλος οὖσα, οὐ προσίεσαι τἀγαθὰ προσφερόμενα· τὸ δὲ τέλος τούτων οὐδὲν, ἢ λύπης προσθήκη· ἄπειμι.

ΜΗ. Χώρει· ἔρως γὰρ τῆς κόρης σε διὰ χρόνου ἤδη αἱρεῖ· θεράπευε ταῦτα· αὐτίκα γὰρ ἴσως (σὺν Θεῷ δὲ εἰρήσθω) ἐπιλείψει σε χαίνονθ' ὅλως ὁ κακόνυμφος γάμος.

ΧΟ. Οἱ ἔρωτες, ὑπερβολὴν μὲν λαβόντες, οὐ κλέος, οὐδ'

---

οἰκείων τις ἔλθοι πρὸς τὸν ἕτερον αὖθις, δείξας τὸ σύμβουλον, ὑποδοχῆς τύχῃ. ἴδε καὶ Ὅμηρ. Ζ. 169. ἐμῇ ἐκδόσει. 715. Ἐχθροῦ δῶρα] ὅμοιον τῷ Σοφοκλέους· Αι· ςίχ. 676.

» Ἐχθρῶν ἄδωρα δῶρα, κοὐκ ὀνήσιμα.

Καὶ παρ' Ὁμήρῳ. Ἰλ. Ι στίχ. 378.

» Ἐχθρὰ δέ μοι τοῦ δῶρα. τίω δέ μιν ἐν Καιρὸς αἴσῃ.

623. Ὑπὲρ μὲν ἄγαν] τμῆσις ὑπεράγαν μέν. ἀποτείνεται δὲ ταῦτα ὡς πρὸς

Ἐλθόντες οὐκ εὐδοξίαν,
Οὐδ' ἀρετὰν παρέδωκαν
Ἀνδράσιν· εἰ δ' ἅλις ἔλθοι
Κύπρις, οὐκ ἄλλα θεὸς
Εὔχαρις οὕτω.
Μήποτ', ὦ δέσποιν', ἐπ' ἐμοὶ
Χρυσέων τόξων ἐφείης
Ἱμέρῳ χρίσασ' ἄφυκτον οἰστόν.
Στέργοι δέ με σωφροσύνα, (Ἀντ. ά.)
Δώρημα κάλλιστον θεῶν·
Μηδέποτ' ἀμφιλόγους ὀρ-
Γὰς, ἀκόρεστά τε νείκη,
Θυμὸν ἐκπλήξασ' ἑτέ-
Ροις ἐπὶ λέκτροις,
Προσβάλοι δεινὰ Κύπρις, ἀ-
Πτολέμους δ' εὐνὰς σεβίζουσ',
Ὀξύφρων κρίνοι λέχη γυναικῶν.
Ὦ πατρὶς, ὦ δῶμα τ' ἐμὸν, (Στρ. β'.)
Μὴ δῆτ' ἄπολις γενοίμαν,
Τὸν ἀμηχανίας ἔχουσα δυσπέρατον αἰῶν'
Οἰκτρότατον ἀχέων.
Θανάτῳ, θανάτῳ πάρος δαμείην,
Ἀμέραν τάνδ' ἐξανύσασα· μό-
Χθων δ' οὐκ ἄλλος ὕπερθεν, ἢ
Γᾶς πατρίας στέρεσθαι.
Εἴδομεν, οὐκ ἐξ ἑτέρων (Ἀντ. β'.)
Μύθων ἔχομεν φράσασθαι·
Σὲ γὰρ οὐ πόλις, οὐ φίλων τις ᾤκτειρεν παθοῦσαν

ἀρετὴν παρέσχον τοῖς ἀνθρώποις· μετριωτέρων δὲ ἐρχομένων, οὐκ ἂν ἄλλη Θεὸς γένοιθ' ἡμῖν Ἀφροδίτης χαριεστέρα. Ἀλλ' ὦ Δέσποινα, μήποτ' ἐπ' ἐμέγ' ἐφείης τὸ ἄφυκτόν σου βέλος ἐκ τῶν χρυσῶν σου τόξων, κεχρισμένον ἱμέρῳ.

Στέργοιμι σωφροσύνη, τῷ καλλίστῳ τῶν παρὰ τῶν θεῶν ὑπαρχόντων ἀνθρώποις δώρῳ· καὶ μηδέποτε ὀργῇ ἑτέρων γάμων ἀλοῦσαν εἰς ἔριδας ἀκρίτους ἐμβάλοι με ἡ δεινὴ Ἀφροδίτη, ἥτις τὰς ἡσύχους καὶ προσηνεῖς εὐνὰς σεβομένη, ὀξείᾳ φρενὶ τοὺς τῶν γυναικῶν διαλλάττει γάμους.

Ὦ πατρὶς, ὦ οἶκος ἐμὸς, μή μοι γένοιτό ποτ' ἄπολιν εἶναι, ὥσθ' ὑπ' ἀμηχανίας ἀβίωτον διάγειν βίον· εἴη δέ μοι τήνδε τὴν ἡμέραν μᾶλλον ἀποθανεῖν, ἢ ταῦτα πάσχειν διὰ βίου· οὐκ ἔστι γὰρ, οὐκ ἔσθ' ὅστις πόνων ἀφορητότερος, ἢ πατρίδος ἀποστερεῖσθαι.

Εἴδομεν αὐτοῖς ὄμμασι, κοὐδενὸς ἡμῖν χρεία λόγου πρὸς τὸ καταμαθεῖν, οἷόν ἐστι τὸ ἐν ἀλλοδαπῇ παροικεῖν. σὲ γὰρ, ὦ Μήδεια, οὔτε πόλις, οὔτε φίλων τίς διοί-

---

τοὺς ἀνετήτους καὶ ὑπερβολικοὺς τῆς Μηδείας καὶ Ἰάσονος ἔρωτας καὶ εὔχεται ὡς μετρίων τυχεῖν αὐτῶν, ἐπειδὴ ἄφευκτον τὸ παράπαν. ἄξιον δὲ καὶ παρὰ πάντων τῶν νέων ταῦτ' ἐσπουδάσθαι, πρὶν ἂν κρατηθέντες γένωνται δυστυχεῖς. 635. Ἀμφιλόγους ὀργὰς] τὰς πρὸς ἀλλήλους των διαφερομένων ἐξ ἔρωτος περὶ γάμων μάχας καὶ ταραχὰς ἐμφαίνουσι ταῦτα. 639. Προσβάλοι δεινὰ Κύπρις] ἐν ἄλλοις κεῖται, Προσβάλοιμ', ὦ δεινὰ Κύπρις, οὐ καλῶς. καὶ κατωτέρω ἀντὶ τοῦ Κρίνοι, Κρίναι. 652. Μόχθων δ' οὐκ ἄλλος, ἢ γᾶς πατρίας στέρεσθαι] οὐαίμαι τῷ ταλαιπώρῳ, ὅτι τεσσαρακοστὸν καὶ πέμπτον τοῦτο ἔτος τῆς ἐμῆς φιλτάτης πατρίδος ἀποπλανώμενος, οὐδὲ νῦν εὔελπα ὁρῶ τάχει καταλήψεσθαι, τῶν κατὰ τὴν Πελοπόννησον Ἑλληνικῶν οὐ πάντῃ τόγε-

Δεινότατα παθέων.
Ἀχάριστος ὄλοιθ', ὅτῳ πάρεστι
Μὴ φίλους τιμᾶν, καθαρὰν ἀνοί-
ξαντα κλῇδα φρενῶν· ἐμοὶ
Μὲν φίλος οὔποτ' ἔσται.
ΑΙ. Μήδεια, χαῖρε· τοῦδε γὰρ προοίμιον
Κάλλιον οὐδεὶς οἶδε προσφωνεῖν φίλους.
ΜΗ. Ὦ χαῖρε καὶ σὺ, παῖ σοφοῦ Πανδίονος,
Αἰγεῦ· πόθεν γῆς τῆσδ' ἐπιστρωφᾷ πέδον;
ΑΙ. Φοίβου παλαιὸν ἐκλιπὼν χρηστήριον.
ΜΗ. Τί δ' ὀμφαλὸν γῆς θεσπιῳδὸν ἐστάλης;
ΑΙ. Παίδων ἐρευνῶν σπέρμ' ὅπως γένοιτό μοι.
ΜΗ. Πρὸς θεῶν, ἄπαις γὰρ δεῦρ' ἀεὶ τείνεις βίον;
ΑΙ. Ἄπαιδές ἐσμεν, δαίμονός τινος τύχῃ.
ΜΗ. Δάμαρτος οὔσης, ἢ λέχους ἄπειρος ὤν;
ΑΙ. Οὐκ ἐσμὲν εὐνῆς ἄζυγες γαμηλίου.
ΜΗ. Τί δῆτα Φοῖβος εἶπέ σοι παίδων πέρι;
ΑΙ. Σοφώτερ', ἢ κατ' ἄνδρα συμβαλεῖν, ἔπη.
ΜΗ. Θέμις μὲν ἡμᾶς χρησμὸν εἰδέναι θεοῦ;
ΑΙ. Μάλιστ', ἐπεί τοι καὶ σοφῆς δεῖται φρενός.
ΜΗ. Τί δῆτ' ἔχρησε; λέξον, εἰ θέμις κλύειν.
ΑΙ. Ἀσκοῦ με τὸν προὔχοντα μὴ λῦσαι πόδα.

---

νῦν εἶναι κατὰ θυμὸν χωρούντων. 662. Χαῖρε.] Αἰγεὺς βασιλεὺς τῶν Ἀθηναίων ἄπαις ὤν, ἦλθεν εἰς Δελφοὺς πευσόμενος τοῦ θεοῦ περὶ παιδοποιΐας, καὶ λαβὼν χρησμὸν ἀσύμβλητόν πως, πορεύεται ὡς Πιτθέα τὸν Πέλοπος εἰς Τροιζῆνα, ζητήσων παρ' αὐτοῦ τὴν σαφήνειαν· πορευόμενος δὲ, ἐντυγχάνει κατὰ Κόρινθον τῇ Μηδείᾳ· πρὸς ἣν καὶ διαλέγεται ταῦτα· 667. Ὀμφαλὸν] οὕτως ὁ

κτου ἔχει, τοῖς μεγίςοις τῶν κακῶν περιπεσοῦσαν. Ἀχάριςος ἀπόλοιθ', ὃς δυνάμενος φίλοις ἐπαρκεῖν, οὐ πράττει τοῦτο, οὐδ' ἐξ εἰλικρινοῦς φιλεῖ τῆς ψυχῆς· κἀμοὶ ὁ τοιοῦτος μηδέποτε φίλος εἴη.

ΑΙ. Χαῖρε, Μήδεια· οὐδεὶς γὰρ οἶδε κάλλιον προοίμιον τούτου προσφωνεῖν φίλοις.

ΜΗ. Ὦ χαῖρε καὶ σὺ, Αἰγεῦ, παῖ Πανδίονος, πόθεν ὡς ἡμᾶς;

ΑΙ. Ἐκ τοῦ ἐν Δελφοῖς μαντείου τυγχάνω ἐλθών.

ΜΗ Τί ποτε βουλόμενος, ἀπήεις ἐκεῖσε;

ΑΙ. Περὶ παίδων χρησόμενος, εἴ μοι ἔσοιντο.

ΜΗ. Τί φής; ἄτεκνος ἐς δεῦρο εἶ, τηλικοῦτος γεγενημένος;

ΑΙ. Πάντως γε, οὕτω τοῦ Θεοῦ βουλομένου.

ΜΗ. Πότερον, οὔσης γυναικὸς, ἢ ἄγαμος ὢν τυγχάνεις ὅλως;

ΑΙ. Μὰ Δία· ἔςι μοι γὰρ γυνή.

ΜΗ. Τί οὖν ἀνεῖλέ σοι ὁ Θεὸς περὶ τούτου;

ΑΙ. Σοφώτερα πολλῷ, ἢ ὥςε με ξυμβαλεῖν.

ΜΗ. Ἔξεςι δὲ καὶ ἡμῖν ἀκοῦσαι τὰ ἀνῃρημένα;

ΑΙ. Τί δ' οὐχί; καὶ μάλισθ' ὅτε σοφῆς φρενὸς δεῖται ταῦτα;

ΜΗ. Οὐκοῦν εἴποις ἂν ἡμῖν ὅ,τι φησὶ τὰ ἔπη.

ΑΙ. Ἀσκοῦ με τὸν προὔχοντα μὴ λῦσαι πόδα.

---

ποιητὴς καὶ ἀλλαχῆ ὀμφαλὸν γῆς τὸ ἐν Δελφοῖς καλεῖ μαντεῖον, ὡς δῆθεν τὸ μέσον τῆς γῆς κατέχον κατά τινα δόξαν. 678. Ἀσκοῦ] ἀσκὸν μὲν τὴν αὐτοῦ καλεῖ γαστέρα. προὔχοντα δὲ πόδα, τὸ αἰδοῖον, ὡς ὁμοιότητα ἔχον πρὸς τὸν τοῦ ἀσκοῦ ποδεῶνα· ὁ δὲ χρησμὸς ἦν ἐντεταγμένος ἐν μέτρῳ ἐπικῷ ὡδί.

» Ἀσκοῦ τὸν προὔχοντα πόδ', ὦ μέγα φέρτατε λαῶν,
» Μὴ λύσῃς, πρὶν δῆμον Ἀθηνῶν εἰσαφικέσθαι.

Ἐν ἄλλοις δ' ὁ δεύτερος τῶν ςίχων παραλλάττει ὡδί.

» Μὴ λῦσαι πρὶν γουνὸν Ἀθηναίων ἀφικέσθαι.

ΜΗ. Πρὶν ἂν τί δράσῃς, ἢ τίν' ἐξίκῃ χθόνα;
ΑΙ. Πρὶν ἂν πατρῴαν αὖθις ἑστίαν μόλω·
ΜΗ. Σὺ δ' ὡς τί χρήζων τήνδε ναυστολεῖς χθόνα;
ΑΙ. Πιτθεύς τίς ἐστι γῆς ἄναξ Τροιζηνίας.
ΜΗ. Παῖς, ὡς λέγουσι, Πέλοπος εὐσεβέστατος.
ΑΙ. Τούτῳ θεοῦ μάντευμα κοινῶσαι θέλω.
ΜΗ. Σοφὸς γὰρ ὡνὴρ καὶ τρίβων τὰ τοιάδε.
ΑΙ. Κἀμοίγε πάντων φίλτατος δορυξένων.
ΜΗ. Ἀλλ' εὐτυχοίης, καὶ τύχοις, ὅσων ἐρᾷς.
ΑΙ. Τί γὰρ σὸν ὄμμα χρώςτε συντέτηχ' ὅδε;
ΜΗ. Αἰγεῦ, κάκιστος ἐστί μοι πάντων πόσις.
ΑΙ. Τί φής; σαφῶς μοι σὰς φράσον δυσθυμίας.
ΜΗ. Ἀδικεῖ μ' Ἰάσων, οὐδὲν ἐξ ἐμοῦ παθών.
ΑΙ. Τί χρῆμα δράσας; φράζε μοι σαφέστερον.
ΜΗ. Γυναῖκ' ἐφ' ἡμῖν δεσπότιν δόμων ἔχει.
ΑΙ. Ἦ που τετόλμηκ' ἔργον αἴσχιστον τόδε;
ΜΗ. Σάφ' ἴσθ'· ἄτιμοι δ' ἐσμὲν οἱ πρὸ τοῦ φίλοι.
ΑΙ. Πότερον ἐρασθεὶς, ἢ σὸν ἐχθαίρων λέχος;
ΜΗ. Μέγαν γ' ἔρωτα· πιστὸς οὐκ ἔφυ φίλοις.
ΑΙ. Ἴτω νυν, εἴπερ, ὡς λέγεις, ἐστὶν κακός.
ΜΗ. Ἀνδρῶν τυράννων κῆδος ἠράσθη λαβεῖν.
ΑΙ. Δίδωσι δ' αὐτῷ τίς; πέραινέ μοι λόγον.
ΜΗ. Κρέων, ὃς ἄρχει τῆσδε γῆς Κορινθίας.
ΑΙ. Ξυγγνωστὰ μὲν γὰρ ἦν σε λυπεῖσθαι, γύναι.
ΜΗ. Ὄλωλα· καὶ πρός γ' ἐξελαύνομαι χθονός.
ΑΙ. Πρὸς τοῦ; τόδ' ἄλλο καινὸν αὖ λέγεις κακόν.
ΜΗ. Κρέων μ' ἐλαύνει φυγάδα γῆς Κορινθίας.
ΑΙ. Ἐᾷ δ' Ἰάσων; οὐδὲ ταῦτ' ἐπήνεσα.

ΜΗ. Πότερον, πρὶν ἄν τι ποιήσῃς, ἢ πρὶν ποῖ ἀπέλθῃς;
ΑΙ· Πρὶν ἐπανέλθω εἰς τὴν πατρῴαν ἑςίαν.
ΜΗ· Τί οὖν βουλόμενος, παρεγένου ἐνταῦθα;
ΑΙ. Πιτθέα ζητῶν τὸν ἀρχηγὸν τῆς Τροιζῆνος.
ΜΗ. Τὸν θεοσεβέςατον τοῦ Πέλοπος παῖδα;
ΑΙ· Τούτῳ βούλομαι τὴν μαντείαν κοινωνῆσαι.
ΜΗ. Εὖ ποιήσεις· σοφὸς γὰρ ὡνὴρ τὰ τοιαῦθ' ἑρμηνεῦσαι.
ΑΙ. Κἀμοὶ ξένος καὶ φίλος ἐκ ςρατιωτικῆς ὁμιλίας.
ΜΗ. Εἴη σοι τἀκεῖθεν πάντα κατὰ θυμὸν ἀκοῦσαι.
ΑΙ. Σοὶ δὲ τίς ἡ λύπη ἡ ἐπὶ τοῦ προσώπου;
ΜΗ. Αἰγεῦ, οὑμὸς ἀνὴρ ἐγένετο κάκιςος.
ΑΙ. Τί φής; οὐκ ἐρεῖς, ὥςε σαφέστερον εἰδέναι;
ΜΗ. Ἀδικεῖμε Ἰάσων, μηδὲν πρὸς ἐμοῦ παθών.
ΑΙ. Τί δήποτε; βουλοίμην γὰρ σαφέστερον εἰδέναι.
ΜΗ. Τί γὰρ ἄλλο, ἢ ἀντ' ἐμοῦ ἑτέραν γήμας ἔχει.
ΑΙ. Ἀληθὲς τοῦτ' ἐκεῖνος εἰργάσατό σε;
ΜΗ. Πάντως· καὶ νῦν ἄτιμος παρ' αὐτῷ ἡ πρὶν φίλη οὖσα.
ΑΙ. Πότερον, ἔρωτι ἁλοὺς, ἢ πρὸς σὲ μῖσος τρέφων;
ΜΗ. Καὶ μεγίςωγε· τοῖς δὲ φίλοις ἄπιςος γεγονώς.
ΑΙ. Εἶτα τί πρὸς σέ· ἐῤῥέτω, τοιοῦτος ὢν, ὡς λέγεις.
ΜΗ. Τυράννων κηδεςὴς προείλετο γενέσθαι.
ΑΙ. Τίνες δ' οὗτοι; δεῖ γὰρ καὶ τοῦτ' εἰδέναι.
ΜΗ. Κρέων, ὁ τῆσδε τῆς γῆς τὰ σκῆπτρα φέρων.
ΑΙ. Εἰκότως τοίνυν τοῦτο λυπεῖ σε οὕτω.
ΜΗ. Ἀπόλωλα, Αἰγεῦ· καὶ τῆς γῆς γὰρ ἐξελαύνομαι ταύτης.
ΑΙ. Πρὸς τίνος; ἕτερον γάρ σοι τοῦτο φὴς πρὸς τοῖς ἄλλοις.
ΜΗ. Πρὸς τούτου αὐτοῦ φυγαδεύομαι τοῦ τυράννου.
ΑΙ. Τί δ' ὁ Ἰάσων; συγχωρεῖ τὰ τοιαῦτα; πονηρὸν γὰρ τοῦτο φὴς αὐτῷ τὸ πρᾶγμα.

ΜΗ. Λόγῳ μὲν οὐχὶ, καρδίᾳ δὲ βούλεται.
Ἀλλ' ἀντομαίσε τῆσδε πρὸς γενειάδος,
Γονάτων τε τῶν σῶν, ἱκεσία τε γίγνομαι.
Οἴκτειρον, οἴκτειρόν με τὴν δυσδαίμονα,
Καὶ μή μ' ἔρημον ἐκπεσοῦσαν εἰσίδῃς,
Δέξαι δὲ χώρᾳ καὶ δόμοις ἐφέστιον.
Οὕτως ἔρως σοὶ πρὸς θεῶν τελεσφόρος
Γένοιτο παίδων, καὐτὸς ὄλβιος θάνοις.
Εὕρημα δ' οὐκ οἶσθ', οἷον εὕρηκας τόδε·
Παύσω δὲ σ' ὄντ' ἄπαιδα, καὶ παίδων γονὰς
Σπεῖραί σε θήσω· τοιάδ' οἶδα φάρμακα.
ΑΙ. Πολλῶν ἕκατι τήνδε σοι δοῦναι χάριν,
Γύναι, πρόθυμός εἰμι, πρῶτα μὲν θεῶν,
Ἔπειτα παίδων, ὧν ἐπαγγέλλει γονάς.
Ἐς τοῦτο γὰρ δὴ φροῦδός εἰμι πᾶς ἐγώ.
Οὕτω δ' ἔχει μοι· σοῦ μὲν ἐλθούσης χθόνα,
Πειράσομαί σου προξενεῖν, δίκαιος ὤν.
Τοσόνδε μέντοι σοὶ προσημαίνω, γύναι,
Ἐκ τῆσδε μὲν γῆς οὔ σ' ἄγειν βουλήσομαι·
Αὐτὴ δ', ἐάνπερ εἰς ἐμοὺς ἔλθῃς δόμους,
Μενεῖς ἄσυλος, κοὔ σε μὴ μεθῶ τινι.
Ἐκ τῆσδε δ' αὐτὴ γῆς ἀπαλλάσσου πόδα·
Ἀναίτιος γὰρ καὶ ξένοις εἶναι θέλω.
ΜΗ. Ἔσται τάδ'· ἀλλὰ πίστις εἰ γένοιτό μοι
Τούτων, ἔχοιμ' ἂν πάντα πρὸς σέθεν καλῶς.
ΑΙ. Μῶν οὐ πέποιθας; ἢ τί σοι τὸ δυσχερές;
ΜΗ. Πέποιθα· Πελίου δ' ἐχθρὸς ἔστι μοι δόμος,
Κρέων τε· τούτοις δ', ὁρκίοισι μὲν ζυγεὶς,

ΜΗ. Τῷ μὲν λόγῳ ἥκιστα δοκεῖ συγχωρεῖν· τῷ δ' ἔργῳ ἀνέχεται. Ἀλλ' ὦ Αἰγεῦ, ἀνδρῶν ἄριστε, ἱκετεύω σε πρὸς τῆς γενειάδος αὐτῆς, καὶ τῶν γονάτων τῶν σῶν, μὴ ἀποπέμψῃς μου τὴν ἱκεσίαν· ἀλλ' οἴκτειρόν με, συμφοραῖς μεγάλαις ἤδη περιπεσοῦσαν, καὶ μή με παρίδῃς ἔρημον ἐκπεσοῦσαν, δεξάμενος παρὰ σεαυτῷ ἐν Ἀθήναις· οὕτω σοι παῖδας, ὧν ἐρᾷς μάλιστα, δοῖεν οἱ Θεοὶ, κἀυτὸς εὐδαίμων τελευτήσαις· οὐκ οἶσθ' ἴσως, οἷον εὕρημα εὗρες τόδε· ἐγὼ γὰρ ἤδε ἐπίσταμαι, ὅπως σου τὴν ἀτεκνίαν φαρμάκοις λύσω· τοιαύτην γὰρ τέχνην ἔγωγ' οἶδα.

ΑΙ. Ἔσται ταῦτα παρ' ἐμοῦ· πολλῶν γὰρ ἕνεκά σοι ἀνάγκη τὰ τοιαῦτα χαρίσασθαι, πρῶτον μὲν τῶν Θεῶν ἕνεκα· ἔπειθ' ἧς μοι ὑπισχνῇ παιδοποιΐας· τούτου γάρ εἰμι ἀπορώτατος πάντων· οὐκοῦν δεδόχθω ταῦτα· ἐλθοῦσα δ' ὡς ἐμοῦ, ξενίας τεύξῃ λαμπρᾶς· ἐκεῖνο δὲ μόνον προειδέναι σε δεῖ, ὡς ἐγὼ ἐξαγαγεῖν σε ἐντεῦθεν φανερῶς οὐκ ἂν βουλοίμην· οὐ γὰρ καλὸν προσκροῦσαι ξένοις· ἐλθοῦσαν δὲ δέξομαι· καὶ ἄσυλον τὴν ἐμαυτοῦ οἰκίαν παρασχὼν, οὐ μεθήσω, εἴτις ἔλθοι ἀναρπάσων σε ἐκεῖθεν· ἄπιθι τοίνυν ἐντεῦθεν, ἵνα κἀμοὶ ἀναίτια τὰ πρὸς ἐκείνους εἴη.

ΜΗ. Ταῦτα μὲν μέχρι δεῦρο καλῶς οὕτως ἔχει· νῦν δ' εἰ καὶ πίστις τις τούτων μοι γένοιτο παρὰ σοῦ, βεβαιότερά μοι ἔσται·

ΑΙ. Τί δαί; οὐ πιστεύεις τοῖς εἰρημένοις; ἢ τί δή ποτε;

ΜΗ. Πιστεύω μὲν, ἀλλ' ἀπέχθημαι οὐ μᾶλλον πρὸς Κρέοντα τοῦτον, ἢ καὶ πρὸς Πελίαν αὐτόν· σὺ οὖν ἔνορκος ὢν, οὐκ ἂν τούτοις ἐξαιτουμένοις ἔκδοτόν με ποιήσειας· εἰ δὲ

707. Καρδία δὲ βούλεται] ἐν ἄλλοις κεῖται, καρτερεῖν δὲ βούλεται, οὐ καλῶς.
721. Φροῦδος] κενὸς, ἐνδεής· οἷον προσδεύων καὶ ἀπολιπὼν τὴν εὐτυχίαν

Ἄγουσιν οὐ μεθεῖ' ἂν ἐκ γαίας ἐμέ.
Λόγοις δὲ συμβὰς, καὶ θεῶν ἀνώμοτος,
Φίλος γένοι' ἂν, κἀπικηρυκεύμασι
Τάχ' ἂν πίθοιο· τἀμὰ μὲν γὰρ ἀσθενῆ,
Τοῖς δ' ὄλβος ἐστὶ καὶ δόμος τυραννικός.
ΑΙ. Πολλὴν ἔλεξας, ὦ γύναι, προμηθίαν·
Ἀλλ' εἰ δοκεῖ σοι δρᾷν τάδ', οὐκ ἀφίσταμαι.
Ἐμοί τε γὰρ τάδ' ἐστὶν ἀσφαλέστατα,
Σκῆψιν τιν' ἐχθροῖς σοῖς ἔχοντα δεικνύναι,
Τὸ σόν τ' ἄραρε μᾶλλον· ἐξηγοῦ θεούς.
ΜΗ. Ὄμνυ πέδον Γῆς, πατέρα θ' Ἥλιον πατρὸς
Τοὐμοῦ, θεῶν τε συντιθεὶς ἅπαν γένος.
ΑΙ. Τί χρῆμα δράσειν, ἢ τί μὴ δράσειν; λέγε.
ΜΗ. Μήτ' αὐτὸς ἐκ γῆς σῆς ἔμ' ἐκβαλεῖν ποτε,
Μήτ', ἄλλος ἤν τις τῶν ἐμῶν ἐχθρῶν ἄγειν
Χρῄζῃ, μεθήσειν ζῶν ἑκουσίῳ τρόπῳ.
ΑΙ. Ὄμνυμι Γαῖαν, λαμπρὸν Ἡλίου τε φῶς,
Θεούς τε πάντας, ἐμμένειν, ἅ σου κλύω.
ΜΗ. Ἀρκεῖ· τί δ' ὅρκῳ τῷδε μὴ 'μμένων πάθοις;
ΑΙ. Ἃ τοῖσι δυσσεβοῦσι γίγνεται βροτῶν.
ΜΗ. Χαίρων πορεύου· πάντα γὰρ καλῶς ἔχει.
Κἀγὼ πόλιν σὴν ὡς τάχιστ' ἀφίξομαι,
Πράξασ', ἃ μέλλω, καὶ τυχοῦσ', ἃ βούλομαι.

---

αὐτὴν ὀπίσω. 735. Οὐ μεθεῖ' ἂν] μεθείμην, μεθεῖο, μεθεῖτο· οὕτως ἀντὶ τοῦ μεθῇς ἄν· καὶ ἐν τῷ ἑπομένῳ, ἀνώμοτος. κἀν τῷ μετὰ τοῦτον, Τάχ' ἂν, ἀντὶ τοῦ, Οὐκ ἄν. κακῶς δ' ἄλλως ἐν ταῖς ἀρχαιοτέραις τῶν ἐκδόσεων φέρονται. 743. Τὸ σόντ' ἄραρε μᾶλλον] καὶ ὅ αὐτὴ ἀξιοῖς παρ' ἐμοῦ σοι ὑπάρξαι βεβαι-

ἀνώμοτος, καὶ λόγοις μόνον συμβὰς πρὸς ἐμὲ, τάχ᾽ ἂν φιλίαν ποιησάμενος πρὸς ἐκείνους, πεισθείης, οἷς ἂν πρεσβευόμενοι ἀξιώσωσι· τὰ μὲν γὰρ καθ᾽ ἡμᾶς, ὡς ὁρᾷς, ἀσθενῆ πανταχόθεν· τὰ δ᾽ ἐκείνων, ὡς ἐξ οἴκων βασιλικῶν καὶ πλούτου πολλοῦ, ἰσχυρά.

ΑΙ. Πολλὴν πρόνοιαν ἐκ τῶν εἰρημένων μοι δοκεῖς σεαυτῆς πεποιῆσθαι· ἔσται δέ σοι καὶ ταῦτα, ἐπεὶ κελεύεις· ἐμοί τε γὰρ οὐδὲν ἧττον πρὸς σκῆψιν συμβάλλεται, εἴτι μοι παρὰ τῶν σῶν προτείνοιτο πολεμίων, καί σοι τὰ πράγμαθ᾽ οὕτως ἀσφαλέστερα ἔσται· Ἐξηγοῦ μοι τοίνυν τῶν Θεῶν, οὓς ἂν βούλῃ.

ΜΗ. Πρῶτον μὲν ὄμοσον γῆν καὶ Ἥλιον τὸν τοῦ ἐμοῦ πατρὸς πατέρα· ἔπειτα καὶ πᾶν τὸ γένος τῶν Θεῶν.

ΑΙ. Ἐπὶ τίσι δὲ ταῦτα; δεῖ γὰρ τοῦτο πρῶτον εἰδέναι.

ΜΗ. Μήτ᾽ αὐτὸς τῆς σαυτοῦ ἐξελάσειν με χώρας, μήτε εἴτις τῶν ἐμῶν ἐχθρῶν ἐξαιτήσεται, ἔκδοτόν με ποιήσειν.

ΑΙ. Ὄμνυμι γῆν τε καὶ Ἥλιον, καὶ Θεοὺς πάντας, ἦ μὴν ἐμμενεῖν τοῖς παρὰ σοῦ εἰρημένοις.

ΜΗ. Ἀρκεῖ ταῦθ᾽ οὕτω μέχρι δεῦρο. εἰ δέ τι τούτων παραβαίης, τί βούλει παθεῖν;

ΑΙ. Ὅσαγε καὶ τοῖς ἀσεβέσι τετίμηται.

ΜΗ. Εὖ ἔχει πάντα νῦν· σὺ δὲ ἴθι μοι χαίρων· αὐτίκα γὰρ κἀγὼ, ὧν καταστοχάζομαι, διαπραξαμένη, ἀφίξομαι Ἀθήναζε.

---

ότερον ἔσται σοι. ἀλλ᾽ ὀνόμαζε θεοὺς, οὓς χρὴ ὀμόσαι. 755. Ἄ βούλομαι] εἰ μὲν εἰς τὸ τυχεῖν ἀναφέροιμεν τὸ Ἄ, ἔδει γράφειν Ὧν· νῦν δ᾽ ἀποδοτέον ἀναγκαίως ἐπι-

ΧΟ. Ἀλλά σ' ὁ Μαίας πομπαῖος ἄναξ
Πελάσειε δόμοις, ὧν τ' ἐπίνοιαν
Σπεύδεις κατέχων, πράξειας, ἐπεὶ
Γενναῖος ἀνὴρ,
Αἰγεῦ, παρ' ἐμοὶ δεδόκησαι.

ΜΗ. Ὦ Ζεῦ, Δίκη τε Ζηνὸς, Ἡλίου τε φῶς!
Νῦν καλλίνικοι τῶν ἐμῶν ἐχθρῶν, φίλαι,
Γενησόμεσθα, κεἰς ὁδὸν βεβήκαμεν·
Νῦν δ' ἐλπὶς, ἐχθροὺς τοὺς ἐμοὺς τίσειν δίκην.
Οὗτος γὰρ ὡνὴρ, ᾗ μάλιστ' ἐκάμνομεν,
Λιμὴν πέφανται τῶν ἐμῶν βουλευμάτων·
Ἐκ τοῦδ' ἀναψόμεσθα πρυμνήτην κάλων,
Μολόντες ἄστυ καὶ πόλισμα Παλλάδος.
Ἤδη δὲ πάντα τἀμά σοι βουλεύματα
Λέξω· δέχου δὲ μὴ πρὸς ἡδονὴν λόγους.
Πέμψασ' ἐμῶν τιν' οἰκετῶν, Ἰάσονα
Ἐς ὄψιν ἐλθεῖν τὴν ἐμὴν αἰτήσομαι·
Μολόντι δ' αὐτῷ μαλθακοὺς λέξω λόγους,
Ὡς καὶ δοκεῖ μοι ταῦτα, καὶ καλῶς ἔχει,
[Γάμους τυράννων· οὓς προδοὺς ἡμᾶς ἔχει.]
Καὶ ξύμφορ' εἶναι καὶ καλῶς ἐγνωσμένα·
Παῖδας δὲ μεῖναι τοὺς ἐμοὺς αἰτήσομαι,
Οὐχ ὡς λιποῦσα πολεμίους ἐπὶ χθονὸς
Ἐχθροῖσι παῖδας τοὺς ἐμοὺς καθυβρίσαι,
ἀλλ' ὡς δόλοισι παῖδα βασιλέως κτάνω.
Πέμψω γὰρ αὐτοὺς δῶρ' ἔχοντας ἐν χεροῖν,
Νύμφῃ φέροντας, τήνδε μὴ φεύγειν χθόνα,
Λεπτόν τε πέπλον καὶ στέφος χρυσήλατον·
Κἄνπερ λαβοῦσα κόσμον ἀμφιθῇ χροῒ,

ΧΟ. Ἀλλὰ σὲ, ὦ Αἰγεῦ, Ἑρμῆς ὁ πομπαῖος ἀγάγοι εὖ οἴκαδε, καὶ τύχοις, ὧν ἐν νῷ σπεύδεις ἔχων· γενναῖος γὰρ εἶ ἀνήρ.

ΜΗ. Ὦ Ζεῦ, καὶ δίκη ἡ τοῦ Διὸς, καὶ φῶς τοῦ ἡλίου! νῦν γὰρ, ὦ φίλαι, εὖ ἤδη τῶν καθ' ἡμᾶς ἐχόντων, τῶν ἐχθρῶν εὖ μάλα περιεσόμεθα· νῦν αὐτοὺς ἐλπὶς μάλιστα δίκην δώσειν· ᾗ γὰρ τὰ πράγμαθ' ἡμῖν ἐδόκει ἔχειν ἐπισφαλῶς, ταῦτα παρὰ τοῦ ἀνδρὸς τούτου ἀσφάλειαν ἡμῖν ὑπισχνεῖται παρέξειν· εἰς γὰρ Ἀθήνας ἐλθόντες, ἐκεῖθεν τὸν πρυμνίτην ἀναρτήσομεν κάλων· νῦν δ' ἄκουσον, ὃ βούλομαι δρᾶσαι, καίτοι ταῦθ' οὐχ ἡδέα ἐστὶν ἀκοῦσαι· μεταπεμψαμένη γὰρ Ἰάσονα, προσηνεῖς αὐτῷ, ὅσον οἷόν τε, προσοίσω λόγους, ὡς δῆθεν κἀμοὶ συνδοκεῖ τὰ περὶ τὸν γάμον γεγενημένα, ἅτε δὴ συμφέροντα καὶ ἡμῖν· ἔπειτ' αἰτήσομαι τοὺς ἐμοὺς παῖδας ἐνταυθοῖ καταμεῖναι, οὐχ ὡς βουλομένη καταλιπεῖν αὐτοὺς τοῖς ἐχθίστοις ἐξυβρίζειν, ἀλλὰ πλάττουσα ταῦτα, ὅπως δυνηθείην δι' αὐτῶν διαφθεῖραι τὴν τοῦ Κρέοντος θυγατέρα· πέμψω γὰρ αὐτοὺς προσοίσοντας τῇ νύμφῃ δῶρα, ἐφ' ᾧ τῆς χώρας οὐ φυγαδευθήσονται, λεπτόν τε πέπλον, καὶ χρυσήλατον πλόκαμον· ταῦτα δ' ἐπειδὰν ἐκείνη ἀμπίσχηται, αὐτή τε καὶ

---

βατικῶς εἰς τὸ Βούλομαι. 756. Πομπαῖος] ὁ Ἑρμῆς διὰ τὸ παραπέμπειν τοὺς ἀνθρώπους μετ' εἰρήνης. 763. Εἰς ὁδὸν] τοῦ σταδίου, τοῦ ἀγῶνος, ὅν σκοποῦμεν ἀγωνίσασθαι· 767. Κάλων] καθάπερ ὁ τῆς νεὼς κυβερνήτης ἐξάπτει τὴν ναῦν τοῖς σχοίνοις ἀπὸ τῶν ἐρεισμάτων, οὕτω καὶ ἡμεῖς, φησὶν, ἀναψόμεθα ἑαυτοὺς ἀπο τοῦ Αἰγέως, ὃ μέχρι τούτου ἐλείπετο ἡμῖν ἀπορούμενον. 775. Γάμους τυράννων] ἀσύντακτον τοῦτο. διὸ καὶ σεσημείωται, ὡς ἐπεξήγησίς τινος

κακῶς ὀλεῖται, πᾶς θ', ὃς ἂν θίγῃ κόρης·
Τοιοῖσδε χρίσω φαρμάκοις δωρήματα.
Ἐνταῦθα μέντοι τόνδ' ἀπαλλάσσω λόγον·
Ὤμωξα δ', οἷον ἔργον ἔστ' ἐργαστέον
Τοὐντεῦθεν ἡμῖν· τέκνα γὰρ κατακτενῶ
Τἄμ'· (οὔτις ἐστὶν, ὅστις ἐξαιρήσεται·)
Δόμον τε πάντα συγχέασ' Ἰάσονος,
Ἔξειμι γαίας, φιλτάτων παίδων φόνον
Φεύγουσα, καὶ τλᾶσ' ἔργον ἀνοσιώτατον.
Οὐ γὰρ γελᾶσθαι τλητὸν ἐξ ἐχθρῶν, φίλαι.
Ἴτω· τί μοι ζῆν κέρδος; οὔτ' ἐμοὶ πατρὶς,
Οὔτ' οἶκός ἐστιν, οὔτ' ἀποστροφὴ κακῶν.
Ἡμάρτανον τόθ', ἡνίκ' ἐξελίμπανον
Δόμους πατρῴους, ἀνδρὸς Ἕλληνος λόγοις
Πεισθεῖσ', ὃς ἡμῖν ξὺν θεῷ τίσει δίκην.
Οὔτ' ἐξ ἐμοῦ γὰρ παῖδας ὄψεταί ποτε
Ζῶντας τὸ λοιπὸν, οὔτε τῆς νεοζύγου
Νύμφης τεκνώσει παῖδ', ἐπεὶ κακὴν κακῶς
Θανεῖν σφ' ἀνάγκη τοῖς ἐμοῖσι φαρμάκοις.
Μηδείς με φαύλην κἀσθενῆ νομιζέτω,
Μηδ' ἡσυχαίαν, ἀλλὰ θατέρου τρόπου,
Βαρεῖαν ἐχθροῖς καὶ φίλοισιν εὐμενῆ·
Τῶν γὰρ τοιούτων εὐκλεέστατος βίος.
ΧΟ. Ἐπείπερ ἡμῖν τόνδ' ἐκοίνωσας λόγον,
Σέ τ' ὠφελεῖν θέλουσα, καὶ νόμοις βροτῶν
Ξυλλαμβάνουσα, δρᾶν σ' ἀπεννέπω τάδε.

τοῦ, καλῶς ἔχει. 787. Ἀπαλλάσσω] καὶ ταῦτα μὲν μέχρι τούτου. νῦν δ' ἐφ' ἕτερα βαδιοῦμαι τῷ λόγῳ· ἀλλ' ἐς δάκρυα κινεῖ με ταῦτα· ὅρα δ' ἐν τοῖς ἑξῆς

πᾶς, ὃς ἂν ἅψηται ταύτης, κακοὶ κακῶς ἀπολοῦνται· τοιούτοις γὰρ ἐπιχρίσω φαρμάκοις, ἃ μέλλω πέμψειν. καὶ ταῦτα μὲν οὕτως ἔςαι· νῦν δ' οἰμώξειν μοι ἔπεισιν, ἐφ' οἷς ἔτι βούλομαι δρᾶσαι· ὁρᾷς τοὺς παῖδας ἐκείνους ἔνδον; τούτους, ἔργον ἀνοσιώτατον ἀποτολμῶσα, αὐτίκ' ἀποκτενῶ· καὶ οὐκ ἔσθ' ὅςτις τῶν ἐμῶν χειρῶν ἐξαιρήσεται τούτους· τὸν δὲ οἶκον πάντα πάντῃ ἐκταράξασα τὸν Ἰάσονος, οὕτω τῆς χώρας ἀπαλλάξομαι ταύτης, τὸν τῶν φιλτάτων μοι φεύγουσα φόνον· οὐδὲ γὰρ ἂν εἴη ἀνασχετὸν ὑπὸ τῶν ἐχθρῶν οὕτω καταγελᾶσθαι· οὕτως ἐχέτω· γενέσθω ταῦτα· τί γὰρ δεῖ μοι ζῆν; πατρὶς γὰρ ἔμοιγε, ἢ οἶκος οὐκ ἔςιν, οὐδ' ἑτέρα τὶς τῶν κακῶν ἀπαλλαγή· ὦ πόσον ἔσφηλα γνώμῃ τότε, ἡνίκ' ἀνδρὸς Ἕλληνος κακοήθους πεισθεῖσα λόγοις, τὸν πατρῷον προὔδωκα οἶκον· ἀλλ' ἐκεῖνος αὐτίχ' ἡμῖν δώσει δίκην· οὔτε γὰρ οἱ ἐξ ἐμοῦ αὐτῷ ἔτι ἔσονται, οὔτ' ἐκ τῆς νέας, ἃ ἐλπίζει αὐτῷ ἔσεσθαι τέκνα, ἔσται· αὐτίκα γὰρ ἐκείνη κακὴ κακῶς ἀπολεῖται, τοῖς παρ' ἐμοῦ χρησαμένη φαρμάκοις· οὕτω μηδείς με φλαύρην ἡγείσθω καὶ ἀσθενῆ· ἀλλὰ πρὸς μὲν ἐχροὺς καὶ μάλα σκληρὰν καὶ βαρεῖαν, πρὸς δὲ φίλους εὐμενῆ καὶ ῥᾳδίαν· οἱ γὰρ τοιοῦτοι μάλιστα διεβίωσαν εὐκλεεῖς.

**ΧΟ.** Ἀλλ' ἐπεὶ κατεδέξω κἀμοὶ τὰ σαυτῆς κοινῶσαι βουλεύματα, οὐκ ἂν δυναίμην μὴ ἀπαγορεῦσαι τοῦ τοιούτου τολμήματος, σέ τε ὠφελεῖν βουλομένη, καὶ τοὺς ἀνθρωπίνους σέβουσα νόμους.

---

ὅσον τὰ πάθη κατακρατήσαντα, ἀποθηριοῦσι τὸν ταλαίπωρον ἄνθρωπον.

ΜΗ. Οὐκ ἔστιν ἄλλως· σοὶ δὲ συγγνώμη λέγειν
Τάδ' ἐστὶ, μὴ πάσχουσαν, ὡς ἐγὼ κακῶς.
ΧΟ. Ἀλλὰ κτανεῖν σὼ παῖδε τολμήσεις, γύναι;
ΜΗ. Οὕτω γὰρ ἂν μάλιστα δηχθείη πόσις.
ΧΟ. Σὺ δ' ἂν γένοιο γ' ἀθλιωτάτη γυνή.
ΜΗ. Ἴτω· περισσοὶ πάντες οἱ 'ν μέσῳ λόγοι.
Ἀλλ' εἶα, χώρει καὶ κόμιζ' Ἰάσονα·
Ἐς πάντα γὰρ δὴ σοὶ τὰ πιστὰ χρώμεθα.
Λέξεις δὲ μηδὲν τῶν ἐμοὶ δεδογμένων,
Εἴπερ φρονεῖς εὖ δεσπόταις, γυνή τ' ἔφυς.
ΧΟ. Ἐρεχθεῖδαι τὸ παλαιὸν ὄλβιοι, (Στρ. α΄.)
Καὶ θεῶν παῖδες μακάρων,
Ἱερᾶς χώρας ἀπορθήτου τ'
Ἀποφερβόμενοι κλεινοτάταν σοφίαν,
Ἀεὶ διὰ λαμπροτάτου
Βαίνοντες ἁβρῶς αἰθέρος,
Ἔνθα ποθ' ἁγνὰς ἐννέα Πιερίδας λέγουσι Μούσας
Ξανθὰν Ἁρμονίαν φυτεῦσαι·
Τοῦ καλλινάου τ' ἀπὸ Κηφισοῦ ῥοαῖς (Ἀντ. α΄.)
Τὰν Κύπριν κλῄζουσιν ἀφυ-
σαμέναν χώραν καταπνεῦσαι
Μετρίας ἀνέμων ἡδυπνόους αὔρας·

---

820. Δεσπόταις.] πῶς ἂν εἰκότως δέσποιναν ἑαυτὴν λέγοι, τῶν Κορινθίων γυναικῶν, ἐξ ὧν ὁ Χορὸς, οὐσῶν ἐλευθέρων; ἢ ὅτι ἡ πεμπομένη οὐκ ἐκ τοῦ Χοροῦ ἦν, ἀλλ' οἰκέτης αὐτῆς — Γυνή τ' ἔφυς] δηλ ἀγαθὴ καὶ ἀνδρεία ἀμύνεσθαι προδότας ἄνδρας· ἀποσεμνύνει τὸ ἑαυτῆς γένος κατὰ μίμησιν τῶν ἀῤῥένων· φαμὲν γὰρ συνήθως πρὸς ἀλλήλους παρακελευόμενοι· εἴπερ εἶ ἀνὴρ, πρᾶσσε τὸ, καὶ τό· 821. Ἐρεχθεῖδαι] Ἀθηναῖοι, οἱ ἀπὸ τοῦ Ἐριχθέως καταγόμενοι· ἵνα δὲ ὁ Χορὸς ἀποτρέψῃ τὴν Μήδειαν τῆς παιδοκτονίας, ἐπαινεῖ Ἀθηναίους, ὡς εὐσεβεῖς καὶ δικαιοτάτους. τοιοῦτοι γὰρ ὄντες, οὐκ ἂν δέξαιντο αὐτὴν παρ' ἑαυ-

ΜΗ. Δέδοκται· οὐκ ἂν μεταθοίμην ταῦτα· σοὶ δὲ συγγνωστὸν ἄλλως φρονεῖν, μηδὲν πάσχουσαν τῶν κακῶν ὁμοίως.

ΧΟ. Πῶς γὰρ ἂν τὰ σαυτῆς τέκνα τολμήσειας ἀνελεῖν;

ΜΗ. Οὕτω γὰρ ἂν τὸν ἐμαυτῆς ἄνδρα τισαίμην μᾶλλον.

ΧΟ. Σὺ δ' οὖν εἴης ἂν ὧδε πασῶν ἀθλιωτάτη.

ΜΗ. Δέδοκται· τὰ δ' ἐν μέσῳ λῆρος σαφής· σὺ δὲ, οἰκέτις, ἴθι χώρει, κάλει δεῦρο Ἰάσονα, ὅσον τάχος· σοὶ γὰρ πρὸς πάντα χρώμεθα τὰ πιστά· ἐρεῖς δ' οὐδὲν πρὸς οὐδένα τῶν ἐμῶν βουλευμάτων, εἴπερ εὐνοεῖς τοῖς δεσπόταις, καὶ γυνὴ εἶ.

ΧΟ. Οἱ ἀπὸ Ἐρεχθέως τὸ πάλαι γεγονότες εἰσὶν εὐδαίμονες, παῖδες θεῶν μακάρων, κλεινοτάτην σοφίαν ἀπὸ τῆς ἀπορθήτου καρπούμενοι πόλεως, ἁβρῶς ἐν καθαρῷ διαβιοῦντες ἀέρι· ἔνθα φασὶ τὰς θεσπεσίας Μούσας ποτὲ συναρμόσαι τὴν Ἁρμονίαν.

Τήν τε Κύπριν φασὶν ἐνταῦθα ἡδυσπνόους αὔρας ἐπὶ τὴν χώραν αὐτὴν καταπνεῦσαι, τὴν ὑπὸ τῶν τοῦ καλλιῤῥόου Κηφισοῦ ῥεέθρων ἀρδευομένην· πλόκαμόν τ' εὐώ-

---

τοῖς παιδοφόνον γεγεννημένην, τὸ μίασμα ἀποφεύγοντες. 824. Ἀποφερβόμενοι ἐν ἄλλοις κεῖται λελυμένως, ἄπο φερβόμενοι· δηλοῖ δὲ τρεφόμενοι σωματικῶς· ἐκ δὲ μεταφορᾶς ἐλήφθη ἐπὶ ψυχῆς τῆς ἀπὸ τῆς σοφίας τὴν τροφὴν δεχεμένης· 826· Βαίνοντες] διάγοντες, πορευόμενοι τὸν βίον 828. Ἁρμονίαν] προσωποποιεῖ τὴν τῶν μελῶν ἁρμονίαν, ὅτι ἐστὶ κόρη ὄντως τῶν Μουσῶν ἐν τῇ Ἀττικῇ γεννηθεῖσα. εἰκότως ἐνταῦθα αἵτε Μοῦσαι, ἥτε ἁρμονία, καὶ ἡ φιλοσοφία γεγέννηνται. τὸ δὲ ξανθὰν ὡς τίμιον ὂν τὸ χρῶμα τοῦτο παρὰ γυναιξὶ πρὸς κάλλος καὶ κόσμον τῶν βοστρύχων. 829. Ἀπὸ Κηφισοῦ ῥοαῖς] ἐν ἄλλοις ἐπὶ Κιφησοῦ ῥοαῖς· ποταμὸς δ' οὗτος, οὐχ ὁ ἐν Βοιωτίᾳ· ἀλλ' ἐν τῇ Ἀττικῇ, ἡ δὲ συνθήκη τῶν ὀνομάτων ὀρθοῦται μᾶλλον ὧδε· Κλῄζουσι τὴν Κύπριν καταπνεῦσαι μετρίας ἀνέμων ἡ δυπνόους αὔρας ἐπὶ τὴν χώραν (Ἀττικὴν τὴν ἀφυσαμένην καὶ ἀρδευομένην ταῖς τοῦ Καλλινάου Κιφησοῦ ῥοαῖς. ἔρωτας δὲ λέγει τοὺς συνέδρους τῆς φιλοσοφίας, τοὺς τῶν καλῶν

Ἀεὶ δ' ἐπιβαλλομέναν
Χαίταις εὐώδη ῥοδέ-
Ων πλόκον ἀνθέων, τᾷ σοφίᾳ παρέδρους πέμπειν ἔρωτας,
Παντοίας ἀρετᾶς ξυνέργους.
Πῶς οὖν ἱερῶν ποταμῶν (Στρ. β'.)
Ἢ πόλις, ἢ φίλων
Πόμπιμόν σε χώρα
Τὰν παιδολέτειραν ἕξει,
Τὰν οὐχ ὁσίαν; μετ' ἄλλων
Σκέψαι τεκέων πλαγὰν,
Σκέψαι φόνον, οἷον αἱρῇ.
Μὴ πρὸς γονάτων σε πάντες
Πάντες ἱκετεύομεν,
Μὴ τέκνα φονεύσῃς.
Πόθεν θράσος ἢ φρενὸς ἢ
Χειρὶ τέκνων σέθεν
Καρδίᾳ τε λήψῃ,
Δεινὰν προσάγουσα τόλμαν;
Πῶς δ' ὄμματα προσβαλοῦσα
Τέκνοις, ἄδακρυν μοῖραν
Σχήσεις φόνου; οὐ δυνάσει,
Παίδων ἱκετᾶν πιπτνόντων,
Τέγξαι χέρα φοινίαν
Ἐν τλάμονι θυμῷ.

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΙΑΣΩΝ, ΜΗΔΕΙΑ, ΧΟΡΟΣ, ΠΑΙΔΑΓΩΓΟΣ.

ΙΑ. Ἥκω κελευσθείς· καὶ γὰρ οὖσα δυσμενὴς,

δη, ῥόδων καὶ παντοίων ἀνθέων ἐπὶ κεφαλῆς ἀναδησαμένην, πέμπειν τοὺς ἔρωτας παρέδρους τῇ σοφίᾳ γεννησομένους, καὶ παντοίας ἀρετῆς συνεργοὺ ς ἐσομένους.

Πῶς ἂν οὖν ἡ πόλις, τοιούτους ἱεροὺς ἔχουσα ποταμοὺς, ἢ χώρα φίλων δέξαιτό σε, παιδοκτόνον καὶ ἀνόσιον γεγενημένην; σκέψαι μοι τὸ πρᾶγμ' ἀκριβῶς, καὶ ἄλλους συμπαραλαβοῦσα συμβούλους· σκέψαι, οἷον φόνον τῶν σαυτῆς φιλτάτων αἱρῇ· μὴ πρὸς τῶν σῶν γονάτων, ἱκετεύομεν πάντες, μὴ τολμήσῃς χεῖρα μιαιφόνον ἐπιβαλεῖν τοῖς τέκνοις.

Πῶς δ' ἂν καὶ τοσοῦτον ἡ γνώμη, ἢ χειρὶ κατὰ τῶν σαυτῆς παίδων εἴης θρασυνομένη, τὰ δεινότατα πάντων ἀποτολμῶσα; πῶς δὲ καὶ τὰ ὄμματα προσβαλοῦσα τοῖς τέκνοις, ἄτεγκτος διαμείνειας πρὸς τὰ δάκρυα; οὐκ ἔςι ταῦτα· οὐ γὰρ ἂν ἀνάσχοιο σύγε μιᾶναι τὴν χεῖρα ἐν παισὶν ἐλεεινῶς ἱκετεύουσιν.

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

## ΙΑΣΩΝ, ΜΗΔΕΙΑ, ΧΟΡΟΣ, ΠΑΙΔΑΓΩΓΟΣ.

**ΙΑ.** Πάρειμί σοι μεταπεμψαμένη· καίτοι γὰρ τυγχάνεις πρός με

ἔρωτας. 847. Ἡ φρενὸς] ἀνάγνωθι οὕτω. Πῶς δὲ ἢ θάρσος φρενὸς, ἢ χειρί· Ἄμεινον δ' οὖν ἦν γράφεσθαι Φρενὶ, ἵνα ἦν, ἢ φρενὶ, ἢ χειρὶ, καρδίᾳ τε· προσφυεςέρα γὰρ ἂν οὕτως ἦν ἡ διάζευξις. 852. Ἄδακρυν μοῖραν σχήσεις φόνου] οὕτως. ἐν ἄλλοις δὲ κεῖται, σχήσεις; φόνον οὐ δυνήσῃ, καί τοι ἄμεινον τί μοι δοκεῖ τοῦτο εἶναι ἐν τῇ συνεπείᾳ. τὸ δὲ, φόνον, ἔςω, ἐς τὸν φόνον· οἷον, πῶς δὲ προσβαλοῦσα τὸ ὄμμα τοῖς τέκνοις, ἄδακρυν ἕξεις μοῖραν; οὐ δυνήσῃ τέγξαι

Οὐκ ἂν γ' ἁμάρτοις τοῦδέ γ', ἀλλ' ἀκούσομαι,
Τί χρῆμα βούλει καινὸν ἐξ ἐμοῦ, γύναι.
ΜΗ. Ἰᾶσον, αἰτοῦμαί σε τῶν εἰρημένων
Συγγνώμον' εἶναι· τὰς δ' ἐμὰς ὀργὰς φέρειν
Εἰκός σ', ἐπεὶ νῷν πόλλ' ὑπείργασται φίλα.
Ἐγὼ δ' ἐμαυτῇ διὰ λόγων ἀφικόμην,
Κἀλοιδόρησα· Σχετλία τί μαίνομαι
Καὶ δυσμεναίνω τοῖσι βουλεύουσιν εὖ;
Ἐχθρὰ δὲ γαίας κοιράνοις καθίσταμαι,
Πόσει θ', ὃς ἡμῖν δρᾷ τὰ συμφορώτατα,
Γήμας τύραννον, καὶ κασιγνήτους τέκνοις
Ἐμοῖς φυτεύων; οὐκ ἀπαλλαχθήσομαι
Θυμοῦ; τί πάσχω, θεῶν ποριζόντων καλῶς;
Οὐκ εἰσὶ μέν μοι παῖδες; οἶδα δὲ χθόνα
Φεύγοντας ἡμᾶς καὶ σπανίζοντας φίλων.
Ταῦτ' ἐννοηθεῖσ' ᾐσθόμην ἀβουλίαν
Πολλὴν ἔχουσα, καὶ μάτην θυμουμένη.
Νῦν οὖν ἐπαινῶ, σωφρονεῖν τέ μοι δοκεῖς,
Κῆδος τόδ' ἡμῖν προσλαβών. ἐγὼ δ' ἄφρων,
Ἧ χρῆν μετεῖναι τῶνδε τῶν βουλευμάτων,
Καὶ ξυμπεραίνειν καὶ παρεστάναι λέχει,
Νύμφην τε κηδεύουσαν ἥδεσθαι σέθεν.
Ἀλλ' ἐσμὲν, οἷον ἐσμὲν, οὐκ ἐρῶ κακὸν,
Γυναῖκες· οὔκουν χρῆν σ' ὁμοιοῦσθαι κακοῖς,

---

τὴν χεῖρα (ἐπὶ) τὸν φόνον τῶν παίδων. 860. Αἰτοῦμαί σε] προσποιεῖται μεταβολὴν τοῦ πάθους ἐπὶ τὸ πρᾳότερον 862. Ὑπείργασται] προείργασται. πολλαχοῦ δὲ ἡ Ὑπὸ καὶ παρὰ τοῖς πεζοῖς ἀντὶ τῆς Προ λαμβάνεται, ὡς ἐν τῷ Ὑπολαβεῖν, καὶ Ὑπειπεῖν, καὶ ἄλλοις 872. Φεύγοντας] τίνα χθόνα, τὴν Ἰωλκὸν ἢ τὴν Κόρινθον ;

ἀπεχθημένη· ἀλλ᾽ ὧν με παρὰ σοῦ χρὴ ἀκούειν, οὐκ ἂν ἁμάρτοις· λέγε τοίνυν ὅ,τι ποτ᾽ ἂν βούλῃ παρ᾽ ἐμοῦ σοι γενέσθαι.

**ΜΗ.** Ἰάσων, ἐξαιτοῦμαί σε τοῦτο πρῶτον, συγγνώμονά μοι ἐπὶ τοῖς εἰρημένοις γενέσθαι· δεῖ γὰρ δήπου, καθάπερ ἡμῖν καὶ φίλα εἴργασται πλεῖστα, οὕτω καὶ ὀργὰς τὰς πρὸς ἀλλήλους φέρειν· ἐγὼ γὰρ καὶ αὐτὴ ἐμαυτὴν καταμέμφομαι ἤδη· ὦ τλήμων ἐγὼ, τί οὕτω μαίνομαι; τί δὲ καὶ τοῖς εὖ περὶ ἐμοῦ βουλευσαμένοις ὀργίζομαι μάτην, τοῖςτε κρατοῦσιν ἐνταῦθα, καὶ τῷ ἐμαυτῆς ἀνδρὶ, ὃς γήμας τὴν βασιλίδα, καὶ νέους παῖδας ἐπὶ τοῖς πρώτοις τοῖς ἐξ ἐμοῦ μέλλων γεννήσειν, συμφορώταθ᾽ ἡμῖν ποιεῖ, ἐχθρὰ γενομένη; οὐκ ἀπαλλαγήσομαι τοῦ θυμοῦ; τίποτε εἰκῇ καταμέμφομαι, τῶν Θεῶν ἡμῖν τὰ παρόντα καλῶς διοικούντων; παῖδες γάρ μοι εἰσὶν ἐνταυθοῖ· ἐκεῖθεν δὲ ἐκ τῆς Ἰωλκοῦ οἶδα ὑπερόριος οὖσα· κοὐκέτι αὐτοῦ φίλον οὐδένα κεκτήμεθα. Ταῦτ᾽ οὖν ἐνθυμηθεῖσα νῦν γέτοι πρὸς ἐμαυτὴν, ᾐσθόμην ἐν πολλῇ ἀβουλίᾳ γεγενημένη, καὶ παραλόγως εἰς ὀργὴν ἐξενεχθεῖσα· διὸ καὶ νῦν ἐπαινῶ σε, Ἰάσων, ἐφ᾽ οἷς μοι δοκεῖς ὀρθῶς βεβουλεῦθαι, τὴν νέαν ἡμῖν γήμας νύμφην· ἐγὼ δ᾽ ἀφρόνως δοκῶ χαλεπῆναι· ἐχρῆν δ᾽ ἐμὲ καὶ συμβουλεῦσαί σοι ταῦτα ἐξ ἀρχῆς, καὶ συντελέσαι, παρὰ τῇ εὐνῇ ἱςαμένην, καὶ ἥδεσθαί γε νυμφαγωγοῦσαν τὴν νύμφην· ἀλλ᾽ ἐσμὲν, οἷον ἐσμὲν, βλάσφημον μὲν οὐκ ἂν βουλοίμην εἰπεῖν οὐδὲν, γυναῖκες δέ· οὔκουν δεῖ σε τοῖς ἴσοις ἀμύνεσθαι, ἐξομοιούμενον τοῖς

ἴσως τὸ πρῶτον μᾶλλον διὰ τὸ πληθυντικόν. 888. Παριέμεθα] παρελύθημεν ἤδη τῆς ὀργῆς καὶ τοῦ τόνου, ἐνδίδομεν, συγχωροῦμεν, ἢ, ὃ καὶ μᾶλλον, ἐσμὲν ἀσθενεῖς

Οὐδ' ἀντιτείνειν νήπι' ἀντὶ νηπίων.
Παριέμεσθα, καὶ φαμὲν κακῶς φρονεῖν
Τόδ', ἀλλ' ἄμεινον νῦν βεβούλευμαι τάδε.
Ὦ τέκνα, τέκνα, δεῦτε, λείπετε στέγας,
Ἐξέλθετ', ἀσπάσασθε καὶ προσείπατε
Πατέρα μεθ' ἡμῶν, καὶ διαλλάχθηθ' ἅμα,
Τῆς πρόσθεν ἔχθρας ἐς φίλους μητρὸς μέτα·
Σπονδαὶ γὰρ ἡμῖν, καὶ μεθέστηκεν χόλος.
Λάβεσθε χειρὸς δεξιᾶς· οἴμοι κακῶν!
Ὡς ἐννοοῦμαι δή τι τῶν κεκρυμμένων.
Ἆρ', ὦ τέκν', οὕτω καὶ πολὺν ζῶντες χρόνον
φίλην ὀρέξετ' ὠλένην; τάλαιν' ἐγώ,
ὡς ἀρτύδακρύς εἰμι καὶ φόβου πλέα!
Χρόνῳ δὲ νεῖκος πατρὸς ἐξαιρουμένη,
Ὄψιν τερείνην τήνδ' ἔπλησα δακρύων.
ΧΟ. Κἀμοὶ κατ' ὄσσων χλωρὸν ὡρμήθη δάκρυ.
Καὶ μὴ προβαίη μεῖζον, ἢ τὸ νῦν, κακόν.
ΙΑ· Αἰνῶ, γύναι, τάδ', οὐδ' ἐκεῖνα μέμφομαι·
Εἰκὸς γὰρ ὀργὰς θῆλυ ποιεῖσθαι γένος
Γάμους παρεμπολῶντί γ' ἀλλοίους πόσει.
Ἀλλ' ἐς τὸ λῷον σὸν μεθέστηκεν κέαρ,
Ἔγνως δὲ τὴν νικῶσαν, ἀλλὰ τῷ χρόνῳ,
Βουλήν· γυναικὸς ἔργα ταῦτα σώφρονος.
Ὑμῶν δέ, παῖδες, οὐκ ἀφροντίστως πατὴρ
Πολλὴν ἔθηκε σὺν θεοῖς προμηθίαν·
Οἶμαι γὰρ, ὑμᾶς τῆσδε γῆς Κορινθίας
Τὰ πρῶτ' ἔσεσθαι ξὺν κασιγνήτοις ἔτι.
Ἀλλ' αὐξάνεσθε· τἄλλα δ' ἐξεργάζεται

κακοῖς· οὐδὲ νήπια ἀντὶ νηπίων τῶν πρὸς ἐμοῦ ἀντεμβάλλειν· ἐνδίδομεν γὰρ ἤδη, οὐκ ὀρθὰ εἰδότες τὰ φθάσαντα· νῦν γὰρ, ἀτρεμούσης τῆς ψυχῆς, ἄμεινον βουλευόμεθα. Ἀλλ' ὦ παῖδες, ὦ τέκν' ἐμὰ, ἔξιτε, πρόσιτε, ἀσπάσασθε, καὶ προσείπατε μεθ' ἡμῶν τὸν πατέρα· διαλλάγητε πρὸς αὐτὸν μετὰ τῆς μητρὸς, σπονδῶν ἤδη γεγενημένων, καὶ τοῦ πάθους ἀποσβεσθέντος· δεῦτε λάβεσθέ μου τῆς δεξιᾶς· ἀλλ' οἴμοι τῶν κακῶν! ὑπέδραμε γάρ με τῶν ἀποῤῥήτων τι· ἆρ' οὕτω ζῶντες, ὦ τέκνα, διὰ πολλοῦ παρέξετε χεῖρ' ἀπαλήν; τάλαιν' ἐγὼ, ὅπως ἀπροσδοκήτως οὕτω καταῤῥεῖ μοι τὸ δάκρυ, καὶ πεφόβημαι σφόδρα νῦν γ', ὁπότε τῷ ὑμετέρῳ διήλλαγμαι πατρί.

ΧΟ. Κἀμοὶ γὰρ τὸ δάκρυ ἀτρέμας τὴν παρειὰν ἐπινέμεται· ἀλλάγε ςαίη τὸ κακὸν μέχρι δεῦρο.

ΙΑ. Ἀποδέχομαι τὰ παρόντα, ὦ γύναι, καίτοι μήδ' ἅ σοι πρώην ἐκτετόξευται ἐφ' ἡμᾶς, καταμέμφομαι, εἰδὼς τὸ θῆλυ ἐπιῤῥεπὲς μάλιςα γιγνόμενον πρὸς ὀργὴν, καὶ ταῦθ' ἡνίχ' ὁρῶσι τοὺς ἑαυτῶν ἄνδρας πρὸς ἑτέρους μεθιςαμένους γάμους· νῦν δ' οὖν ἐγένου τοῦ κρείττονος, τὴν νικῶσαν βουλὴν μεταβουλευσαμένη· εἴη δ' ἂν τοῦτο ἔργον γυναικὸς νοῦν ἐχούσης· ὑμῶν δ', ὦ παῖδες (μέτεισι γὰρ νῦν πρὸς ἡμᾶς ὁ λόγος) πολλὴν πεποίημαι πρόνοιαν· ἐλπίζω γὰρ ὑμᾶς, ἀδελφῶν ἐπιγενομένων, τὰ πρῶτα πάντων ἐν Κορινθίοις ἕξειν· ἀλλὰ ταῦτά γε ἐμοὶ μελήσει,

---

τὴν ψυχὴν, ἀδύνατοι καρτερεῖν. 891. Τῶν κεκρυμμένων] ἐνθυμειθεῖσα, ὃ μέλλει δράσειν τοὺς παῖδας, ταράττεται, καὶ εἰς δάκρυα ἐκκινεῖται, ἀλλ' ἀντ' ἄλλων αἰνιττομένη. 899. Παρεμπολῶντι] ἐμπορευομένῳ, καταχρωμένῳ, ἀνταλλάττοντι.

Πατήρ τε καὶ θεῶν ὅστις ἐστὶν εὐμενής.
Ἴδοιμι δ' ὑμᾶς εὐτραφεῖς ἥβης τέλος
Μολόντας, ἐχθρῶν τῶν ἐμῶν ὑπερτέρους.
Αὕτη τί χλωροῖς δακρύοις τέγγεις κόρας,
Στρέψασα λευκὴν ἔμπαλιν παρηΐδα,
Κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον;
ΜΗ. Οὐδέν· τέκνων τῶνδ' ἐννοουμένη πέρι.
ΙΑ. Θάρσει νῦν· εὖ γὰρ τῶνδε θήσομαι πέρι.
ΜΗ. Δράσω τάδ'· οὔτοι σοῖς ἀπιστήσω λόγοις·
Γυνὴ δὲ θῆλυ κἀπὶ δακρύοις ἔφυ.
ΙΑ. Τί δή, τάλαινα, τοῖσδ' ἐπιστένεις τέκνοις;
ΜΗ. Ἔτικτον αὐτούς· ζῆν δ' ὅτ' ἐξεύχου τέκνα,
Ἐσῆλθέ μ' οἶκτος, εἰ γενήσεται τάδε.
Ἀλλ' ὧνπερ οὕνεκ' εἰς ἐμοὺς ἥκεις λόγους,
Τὰ μὲν λέλεκται, τῶν δ' ἐγὼ μνησθήσομαι.
Ἐπεὶ τυράννοις γῆς μ' ἀποστεῖλαι δοκεῖ,
Κἀμοὶ τάδ' ἐστὶ λῷστα, γιγνώσκω καλῶς,
Μήτ' ἐμποδὼν σοι, μήτε κοιράνοις χθονὸς
Ναίειν, (δοκῶ γὰρ δυσμενὴς εἶναι δόμοις·)
Ἡμεῖς μὲν ἐκ γῆς τῆσδ' ἀπαίρομεν φυγῇ,
Παῖδες δ' ὅπως ἂν ἐκτραφῶσι σῇ χερὶ,
Αἰτοῦ Κρέοντα, τήνδε μὴ φεύγειν χθόνα.
ΙΑ. Οὐκ οἶδ' εἰ πείσαιμι, πειρᾶσθαι δὲ χρή.
ΜΗ. Σὺ δ' ἀλλὰ σὴν κέλευσον αἰτεῖσθαι πατρὸς
Γυναῖκα, παῖδας τήνδε μὴ φεύγειν χθόνα.
ΙΑ. Μάλιστα, καὶ πείσειν γε δοξάζω σφ' ἐγὼ,
Εἴπερ γυναικῶν ἐστὶ τῶν ἄλλων μία.
ΜΗ. Ξυλλήψομαι δὲ τοῦδέ σοι κἀγὼ πόνου·
Πέμψω γὰρ αὐτῇ δῶρ', ἃ καλλιστεύεται

καὶ παρ' ὅτου τῶν Θεῶν τὰ πράγμαθ' ἡμῖν ἐςὶν εὐμενῆ· ὑμεῖς δ' αὐξάνοισθε, καὶ ἥκοιτε εἰς ἥβην, εὐτραφεῖς προϊόντες, καὶ ὑπέρτεροι τῶν ἐμῶν ἐχθρῶν ἐν πᾶσι γιγνόμενοι· σὺ δὲ τί ποθ' οὕτως, ἐπιστραφεῖσα ἔμπαλιν, ὑποδακρύεις, καὶ οὐκ ἀσμένως ἀκούεις τούτων;

ΜΗ. Ἔννοιά τις τῶν παίδων ὑπεισῆλθέ μου τὴν διάνοιαν.

ΙΑ· Ἔχ' ἀτρέμας τούτων γ' ἕνεκα· καλῶς γὰρ αὐτοῖς παρ' ἐμοῦ ἔσται πάντα.

ΜΗ. Ἐχέτω μοι οὕτως· οὐκέτι γάρ με δεῖ ἀπιστεῖν τοῖς παρὰ σοῦ λεγομένοις, πλὴν τὸ γυναικῶν φῦλον μαλθακὸν φύσει, καὶ κατωφερὲς πρὸς τὰ δάκρυα.

ΙΑ. Τί γάρ σοι βούλεται τοσοῦτος στεναγμὸς ἐπὶ τούτοις;

ΜΗ. Ὅτε γὰρ ηὔχου αὐτοῖς ζῆν, ὑπεισῆλθέ μοι οἶκτος, εἰ ἄρ' αὐτοῖς εἴη τοῦτο· μῶν γὰρ οὐκ εἰμὶ ἐγὼ ἡ τεκοῦσα; ἀλλ' ἅλις τούτων ἡμῖν· νῦν δὲ κἀκεῖνο ἀκοῦσαί σε δεῖ· Ἐπειδὴ ἔδοξε τοῖς κρατοῦσιν ἐξελάσαι με τῆς Κορίνθου, κἀμοὶ τοῦτο συνδοκεῖ ἄμεινον εἶναι, μήτε σοὶ, μήτ' ἐκείνοις πρόσκομμα ἐνταυθοῖ κατοικεῖν, δυσμένειαν πρὸς αὐτοὺς δόξασαν ἔχειν, ἐγὼ μὲν ἑκοῦσα φευξοῦμαι· σὺ δ' ἐξαιτοῦ Κρέοντα τοῖς παισὶν ἡμῶν, ὑπὸ σεαυτῷ πατρὶ καὶ τροφῷ αὐξηθῆναι, παραμείναντας ὧδε.

ΙΑ. Τοῦτο μὲν οὐκ οἶδα, εἰ πείσω· πειράσομαι δέ.

ΜΗ. Ἀλλὰ τήνγε σαυτοῦ νύμφην κέλευσον ἐξαιτήσασθαι τοῦτο παρὰ τοῦ πατρός.

ΙΑ. Εὖ εἶπας· ἐλπίζειν γὰρ οὕτως οὐκ ἔξω λόγου ἐςὶν, εἴγε καὶ αὐτὴ μία τῶν ἄλλων ἐστὶ γυναικῶν.

ΜΗ. Οὐ μὴν ἀλλ' οὐδ' ἐγὼ πάμπαν ἀσυντελὴς ὑμῖν πρὸς τοῦτ' ἔσομαι· αὐτίκα γὰρ πέμψω τοὺς παῖδας δῶρα τῇ νύμφῃ

Τῶν νῦν ἐν ἀνθρώποισιν, οἶδ' ἐγὼ, πολὺ,
Λεπτόν τε πέπλον καὶ στέφος χρυσήλατον
Παῖδας φέροντας. ἀλλ' ὅσον τάχος χρεὼν
Κόσμον κομίζειν δεῦρο προσπόλων τινά.
Εὐδαιμονήσει δ' οὐχ ἓν, ἀλλὰ μυρία,
Ἀνδρός τ' ἀρίστου σοῦ τυχοῦσ' ὁμευνέτου,
Κεκτημένη τε κόσμον, ὅν ποθ' Ἥλιος
Πατρὸς πατὴρ δίδωσιν ἐκγόνοισιν οἷς.
Λάζυσθε φερνὰς τάσδε, παῖδες, ἐς χέρας,
Καὶ τῇ τυράννῳ μακαρίᾳ νύμφῃ δότε
Φέροντες· οὔτοι δῶρα μεμπτὰ δέξεται.
ΙΑ. Τί δ', ὦ ματαία, τῶνδε σὰς κενοῖς χέρας;
Δοκεῖς σπανίζειν δῶμα βασίλειον πέπλων;
Δοκεῖς δὲ χρυσοῦ; σῶζε, μὴ δίδου, τάδε.
Εἴπερ γὰρ ἡμᾶς ἀξιοῖ λόγου τινὸς
Γυνὴ, προθήσει χρημάτων, σάφ' οἶδ' ἐγώ.
ΜΗ· Μή μοι σύ· πείθειν δῶρα καὶ θεοὺς λόγος·
Χρυσὸς δὲ κρείσσων μυρίων λόγων βροτοῖς.
Κείνης ὁ δαίμων, κεῖνα νῦν αὔξει θεὸς,
Νέα τυραννεῖ· τῶν δ' ἐμῶν παίδων φυγὰς
Ψυχῆς ἂν ἀλλαξαίμεθ', οὐ χρυσοῦ μόνον.
Ἀλλ', ὦ τέκν', εἰσελθόντε πλουσίους δόμους,
Πατρὸς νέαν γυναῖκα δεσπότιν τ' ἐμὴν,
Ἱκετεύετ', ἐξαιτεῖσθε μὴ φεύγειν χθόνα,
Κόσμον διδόντες· τοῦδε γὰρ μάλιστα δεῖ,
Ἐς χεῖρ' ἐκείνην δῶρα δέξασθαι τάδε.
Ἴθ' ὡς τάχιστα· μητρὶ δ', ὧν ἐρᾷ τυχεῖν,
Εὐάγγελοι γένοισθε, πράξαντες καλῶς.
ΧΟ. Νῦν ἐλπίδες οὐκέτι μοι παίδων ζωᾶς, (Στρ' ά.)
Οὐκέτι. στείχουσι γὰρ ἐς φόνον ἤδη.
Δέξεται νύμφα χρυσέων ἀναδέσμων,
Δέξεθ' ἃ δύστανος ἄταν·

φέροντας, πέπλον λεπτὸν, καὶ χρυσήλατον στέφανον, τὰ κάλλισθ', ὧν ἐγῷδα, παρὰ γυναιξὶ νομιζόμενα· σὺ δ' ὦ θεράπαινα, δεῦρο κόμισόν μοι ταχέως τὸν κόσμον ἔνδοθεν ἐκεῖνον, ὅπως πανταχόθεν ἐκείνῃ περιῤῥέῃ τὸ εὔδαιμον, σοῦτε ἀνδρὸς ἀγαθοῦ τυχούσῃ, καὶ κόσμον κεκτημένῃ τόνδε, ὅν ποθ' Ἥλιος οὑμὸς πάππος τοῖς ἑαυτοῦ ἀπογόνοις ἐδεδώκει. Ὑμεῖς δ', ὦ παῖδες, λαβόντες ταῦτα, τὴν ἐμὴν οὖσαν φρενὴν, ἀπόδοτε τῇ μακαρίᾳ νύμφῃ· ἄξια γὰρ αὐτῇ ἔσται.

ΙΑ. Τί δ', ὦ ματαία, ἀποστερεῖς σεαυτήν; μῶν σπάνις τῶν τοιούτων ἐςὶ τοῖς κρατοῦσιν ἱματίων, ἢ χρυσοῦ; φείδου σεαυτῇ· μηδὲν δίδου· εἰ γὰρ φιλεῖ με ἡ νύμφη, ἐμοὶ μᾶλλον, οἶδ' ἐγὼ σαφῶς, ἢ τοῖς δώροις πεισθήσεται τούτοις.

ΜΗ. Μή μοι ἐμποδὼν γίγνου σύγε· δώροις γὰρ, φασὶ, καὶ Θεοὶ πείθονται· καὶ χρυσὸς ἀεὶ παντὸς λόγου πέφυκεν ἰσχυρότερος· ἐκείνῃ γὰρ πάρεστι νῦνγ' εὐδαιμονεῖν· νέα γὰρ ἤδη τυραννεῖ· ἐγὼ δ' οὐ χρυσοῦ μόνον, ἀλλὰ καὶ τῆς ψυχῆς αὐτῆς τὴν τῶν παίδων ἂν φυγὴν ἀνταλλαξαίμην. Ἀλλ' ὦ παῖδες, ἅμ' εἰσελθόντες εἰς τἀρχεῖα, ἔνθ' ἐστὶν ἡ νύμφη ἡ δεσπότις ἡμῶν, ἱκετεύσατε, ἐξαιτεῖσθε, ταῖς αὐτῆς μόνον χερσὶ τὸν κόσμον προσενεγκόντες τοῦτον· τούτου ἔθ' ἡμῖν δεῖ· ἴτε ταχέως καὶ ἐπανήκοιτέ μοι, ὦ παῖδες, ἄγγελοι τῇ μητρὶ, πράξαντες, ὧν ἐφίεμαι.

ΧΟ. Νῦν οὐκέτι μοι ἐλπὶς περιέσεσθαι τούτους· στείχουσι γὰρ τὴν ἐπὶ τὸν φόνον· ἡ δὲ νύμφη χρυσοῦς ἀναδέξεται ἀναδέσμους, οὐκ ἀναδέσμους, ἀλλ' αὐτὸν τὸν ὄλεθρον

Ξανθᾷ δ' ἀμφὶ κόμᾳ
Θήσει τόν Ἅιδα κόσμον,
Αὐτὰ ταῖν χεροῖν λαβοῦσα.
Πείσει χάρις, ἀμβρόσιός τ' αὐγὰ πέπλων (Ἀντ. ά.)
Χρυσεότευκτον στέφανον περιθέσθαι·
Νερτέροις δ' ἤδη πάρα νυμφοκομήσει.
Τοῖον εἰς ἕρκος πεσεῖται,
Καὶ μοῖραν θανάτου
Προσλήψεται δύστανος·
Ἄταν δ' οὐχ ὑπεκφεύξεται.
Σὺ δ', ὦ τάλαιν', ὦ κακόνυμφε, (Στρ. 6.)
Κηδεμὼν τυράννων, παισὶν οὐ κατειδὼς
Ὀλέθριον βιοτὰν προσάγεις,
Ἀλόχῳ τε σᾷ στυγερὸν θάνατον.
Δύστανε, μοίρας ὅσον παροίχῃ!
Μεταστένομαι δὲ σὸν ἄλγος, (Ἀντ. β'.)
Ὦ τάλαινα παίδων μᾶτερ, ἃ φονεύσεις
Τὰ τέκνα νυμφιδίων ἕνεκεν
Λεχέων, ἅ σοι προλιπὼν ἀνόμως,
Ἄλλᾳ ξυνοικεῖ πόσις ξυνεύνῳ.

ΠΑ. Δέσποιν', ἀφεῖνται παῖδες οἵδε σοὶ φυγῆς,
Καὶ δῶρα νύμφη βασιλὶς ἀσμένη χεροῖν
Ἐδέξατ'· εἰρήνη δὲ τἀκεῖθεν τέκνοις.
ΜΗ. Ἔα.
ΠΑ· Τί συγχυθεῖσ' ἕστηκας, ἡνίκ' εὐτυχεῖς;
[Τί σὴν ἔτρεψας ἔμπαλιν παρηΐδα,
Κοὐκ ἀσμένη τόνδ' ἐξ ἐμοῦ δέχῃ λόγον;]
ΜΗ. Αἶ. αἶ.
ΠΑ· Τάδ' οὐ ξυνῳδὰ τοῖσιν ἐξηγγελμένοις.

μάλιστα· αὐτὸν γὰρ λαϐοῦσα τὸν θάνατον, περὶ τὴν ἑαυτῆς ἀναθήσεται κόμην.

Ἀναπεισθήσεται γὰρ ἡ δύστηνος ἐκ τῆς ἐπανθούσης χάριτος αὐτὰ περιθέσθαι, ἀγνοοῦσ' ὅλως, ὡς αὐτίκα μάλα νυμφοκομήσει ἐν Ἅδου· εἰς τοιοῦτον γὰρ ἕρκος ἐμπεσεῖται, ὥστ' οὐκ ἂν τὴν τοῦ θανάτου ἐκφύγοι μοῖραν.

Σὺ δ' αὖ, ὦ τάλας, κακόδαιμον νυμφίε, τῶν τυράννων κηδεστὰ, οὐκ οἶσθ' ὅλως εἰς οἷον ὄλεθρον τοὺς σαυτοῦ παῖδας ἄγεις· οὐδ' οἷον θάνατον τῇ νέᾳ παρασκευάζεις νύμφῃ· αἲ τάλας, ὅσον, ὧν σπεύδεις σκοπῶν, ἐκπίπτεις.

Νῦν γ' ἐπὶ σὲ, ὦ τάλαινα μῆτερ, μετατίθημι τὸ ἄλγος· ἥτις τὰ σαυτῆς τέκνα, ἐξ ὧν ὁ ἀνὴρ προδοὺς τὴν εὐνὴν, ἑτέραν ἠγάγετο, διαχρήσεσθαι μέλλεις.

ΠΑ. Δέσποινα, ἡ νύμφη ἀσμένως δεξαμένη τὰ δῶρα, συνεχώρησε τοῖς παισὶ παραμένειν ἐνταῦθα· Οὕτως οὖν γίγνωσκε, ὡς καλῶς ἐκεῖθεν ἐχόντων τοῖς σοῖς τέκνοις τῶν πραγμάτων.

ΜΗ. Ἔα.

ΠΑ. Τί δὴ τοσοῦτον τετάραξαι πρὸς ταῦτα, ἐφ' οἷς ἡδέως ἐχρῆν σε ἔχειν; σὺ δὲ τοὐναντίον στρέψασα τὸ πρόσωπον ἔμπαλιν, ἀπεχθῶς δοκεῖς ἔχειν.

ΜΗ. Αἶ, αἶ.

ΠΑ. Ταῦτ' οὐ ξυνᾴδει τοῖς προαπηγγελμένοις.

---

972. Τὸν Ἄϊδα κόσμον] Ἄϊς ἄϊδος, τὸν ἄϊδα καὶ ᾅδα. 976. Νυμφοκομήσει] κοσμηθήσεται νυμφικῶς. 982. Κηδεμὼν] κηδεστὰ, γαμϐρέ. 983. Ὀλέθριον βίοταν] τὸν ὄλεθρον τοῦ βίου. 985. Μοίρας ὅσον παροίχῃ.) ὅσον τῆς τύχης

ΜΗ. Αἶ, αἶ μάλ' αὖθις·
ΠΑ. Μῶν τιν' ἀγγέλλων τύχην
Οὐκ οἶδα, δόξης δ' ἐσφάλην εὐαγγέλου;
ΜΗ. Ἤγγειλας οἷ' ἤγγειλας· οὐ σὲ μέμφομαι.
ΠΑ. Τί δὴ κατηφεῖς ὄμμα καὶ δακρυῤῥοεῖς;
ΜΗ. Πολλή μ' ἀνάγκη, πρέσβυ· ταῦτα γὰρ θεοὶ
Κἀγὼ κακῶς φρονοῦσ', ἐμηχανησάμην.
ΠΑ. Θάρσει· κάτει τοι καὶ σὺ πρὸς τέκνων ἔτι·
ΜΗ. Ἄλλους κατάξω πρόσθεν ἡ τάλαιν' ἐγώ·
ΠΑ. Οὔτοι μόνη σὺ σῶν ἀπεζύγης τέκνων.
Κούφως φέρειν χρὴ θνητὸν ὄντα συμφοράς.
ΜΗ. Δράσω τάδ'. ἀλλὰ βαῖνε δωμάτων ἔσω,
Καὶ παισὶ πόρσυν', οἷα χρὴ καθ' ἡμέραν.
Ὦ τέκνα, τέκνα, σφῷν μὲν ἔστι δὴ πόλις
Καὶ δῶμ', ἐν ᾧ, λιπόντες ἀθλίαν ἐμὲ,
Οἰκήσετ' ἀεὶ, μητρὸς ἐστερημένοι·
Ἐγὼ δ' ἐς ἄλλην γαῖαν εἶμι δὴ φυγὰς,
Πρὶν σφῷν ὄνασθαι, κἀπιδεῖν εὐδαίμονας,
Πρὶν λέκτρα καὶ γυναῖκα καὶ γαμηλίους
Εὐνὰς ἀγῆλαι, λαμπάδας τ' ἀνασχέθειν.
Ὦ δυστάλαινα τῆς ἐμῆς αὐθαδίας!
Ἄλλως ἄρ ὑμᾶς, ὦ τέκν', ἐξεθρεψάμην,
Ἄλλως δ' ἐμόχθουν καὶ κατεξάνθην πόνοις,
Στεῤῥὰς ἐνεγκοῦσ' ἐν τόκοις ἀλγηδόνας.
Ἦ μήν ποθ' ἡ δύστηνος εἶχον ἐλπίδας
Πολλὰς ἐν ὑμῖν, γηροβοσκήσειν τ' ἐμὲ
Καὶ κατθανοῦσαν χερσὶν εὖ περιστελεῖν,
Ζηλωτὸν ἀνθρώποισιν· ὄλωλε δὴ

ΜΗ. Αἶ, αἶ, μάλ' αὖθις.

ΠΑ. Μήτι κακὸν λαθὼν ἀπήγγειλά σοι, ἐγὼ δ' οὐκ ᾔδειν;

ΜΗ. Ἤγγειλας, οἷα ἤγγειλας, μηδὲν πρὸς ἔπος ταῦτα.

ΠΑ. Τί οὖν συνθλίβεις τὸ ὄμμα, ὥςε δακρύειν;

ΜΗ. Ἀνάγκη γὰρ, ὦ γέρον, οὕτως ἔχειν τὰ κατ' ἐμέ· οἵτε γὰρ Θεοὶ, κἀγὼ κακῶς φρονοῦσα, οὕτω γενέσθαι συνετολύπευσα ταῦτα.

ΠΑ. Θάρρει· ἐλπὶς γάρ ποτε κατάξειν σε τοὺς παῖδας.

ΜΗ. Ἄλλους δ' ἄλλοσε ἐγὼ ἡ τάλαινα μέλλω προκατάξειν.

ΠΑ. Οὐ γὰρ μόνη τῶν τέκνων ἀπεχωρίσθης· ἄλλως τε θνητοὺς ὄντας, φέρειν χρὴ τὰς συμφορὰς γενναίως.

ΜΗ. Εἴη μοι ταῦτα· σύ δ' εἰσελθὼν, δὸς τοῖς παισὶν ὡς ἔθος, ὧν εἰσιν ἐπιδεεῖς. Ἀλλ', ὦ τέκνα, φίλτατά μοι τέκνα, ὑμεῖς μὲν οἰκήσετε δώματα ἀεὶ μακρὰν τῆς μητρός· ἐγὼ δὲ φυγὰς ἤδη, ἑτέραν γῆν ἀποβλέπω, πρὶν ὑμῶν ὄνασθαι, εὐδαίμονας ἐπιδοῦσα· πρὶν εὐνὰς ὑμῶν γαμηλίους τελέσαι, λαμπάδας ἀνέχουσα· ὦ δύστηνος τῆς αὐθαδείας! μάτην ἄρ', ὦ παῖδες, ὑμᾶς ἐξεθρεψάμην, ἐκ πόνων πόνους, καὶ ὠδῖνας ἐξ ὠδίνων ὑπενεγκοῦσα· ἦν ὅτ' ἐφ' ὑμῖν χρηστὰς ἐσάλευον ἐλπίδας, ἦ μὴν γηροκομήσειν, καὶ ζηλωτὸν παρ' ἀνθρώποις με ἀποκαταστήσειν, εὖ μοι τὸ ὄμμα ἀποθανούσῃ συγκλείσαντας· νῦν δ' ἀπὸ μέσων

ἀποπεπλάνησαι· 1006 Κάτει] ἐν ἄλλοις δὲ κεῖται Κρατεῖς· ὁδὲ νοῦς· θάρρει. οἱ γὰρ παῖδες κατάξουσι καὶ σὲ ὑςέρῳ χρόνῳ, ἡ δὲ ἀποκρίνεται· ἐγώ κατάξω ἄλλους· αἰνίττεται δὲ τοὺς παῖδας ἐς τὸν ᾅδην· ἢ καὶ τοῦς περὶ τὴν Γλαύκαν. 1018· Ἀγῆλαι] κοσμῆσαι, ἑορτάσαι τοὺς γάμους, τὸ δὲ θέμα, ἀγάλλειν

Γλυκεῖα φροντίς· σφῷν γὰρ ἐστερημένη,
Λυπρὸν διάξω βίοτον, ἀλγεινόν τ' ἐμοί.
Ὑμεῖς δὲ μητέρ' οὐκέτ' ὄμμασιν φίλοις
Ὄψεσθ', ἐς ἄλλο σχῆμ' ἀποστάντες βίου.
Φεῦ, φεῦ· τί προσδέρκεσθέ μ' ὄμμασιν, τέκνα;
Τί προσγελᾶτε τὸν πανύστατον γέλων;
Αἶ, αἶ· τί δράσω; καρδία γὰρ οἴχεται,
Γυναῖκες, ὄμμα φαιδρὸν ὡς εἶδον τέκνων.
Οὐκ ἂν δυναίμην· χαιρέτω βουλεύματα
Τὰ πρόσθεν· ἄξω παῖδας ἐκ γαίας ἐμούς.
Τί δεῖ με, πατέρα τῶνδε τοῖς τούτων κακοῖς
Λυποῦσαν, αὐτὴν δὶς τόσα κτᾶσθαι κακά;
Οὐ δῆτ' ἔγωγε· χαιρέτω βουλεύματα.
Καίτοι τί πάσχω; βούλομαι γέλωτ' ὀφλεῖν,
Ἐχθροὺς μεθεῖσα τοὺς ἐμοὺς ἀζημίους;
Τολμητέον τάδ'· ἀλλὰ τῆς ἐμῆς κάκης,
Τὸ καὶ προέσθαι μαλθακοὺς λόγους φρενί.
Χωρεῖτε παῖδες ἐς δόμους· ὅτῳ δὲ μὴ
Θέμις παρεῖναι τοῖς ἐμοῖσι θύμασιν,
Αὐτῷ μελήσει· χεῖρα δ' οὐ διαφθερῶ.
Ἆ, ἆ.
Μὴ δῆτα, θυμὲ, μὴ σύγ' ἐργάσῃ τάδε·
Ἔασον αὐτοὺς, ὦ τάλαν, φεῖσαι τέκνων.
Ἐκεῖ μεθ' ἡμῶν ζῶντες εὐφρανοῦσί σε·
Μὰ τοὺς παρ' Ἅιδην νερτέρους ἀλάστορας,

Ἔκτοτε δὲ καὶ τὸ ἔθος λαμπάδας φέρειν τοὺς τεκόντας ἐν γάμοις. 1030 εἰς

τῶν ἐλπίδων ἀπέπτη πάντα· ἡ γὰρ στέρησις ὑμῶν λυπηρὸν καὶ ἀβίωτον ὅλως τὸν βίον μοι καταστήσει· ὑμεῖς δὲ οὐκέτ᾽ ὄψεσθε τὴν τεκοῦσαν, εἰς βίον ἕτερον μεταστάντες· φεῦ, φεῦ, τί οὕτω προσβλέπετε πρός με, ὦ τέκνα; τί οὕτω προσγελᾶτε τὸν πανύστατον γέλωτα; ὢ τῆς ἀθωότητος! αἶ, αἶ, τί ποιήσω; καρδία γὰρ ἔνδοθεν ἐκλείπει με γυναῖκες, ἐνέδωκα, οὐκέτι φέρω· οὐδ᾽ ὅμοι δέδοκται, ἀνέχομαι ἔτι πρᾶξαι, τὰ ὄμματα κατιδοῦσα τῶν τέκνων. Χαιρέτω τοίνυν τὰ πρῶτα βουλεύματα· αὐτήγε, ὅπῃ ἂν ὦ, συμπαραλήψομαι καὶ τοὺς παῖδας· τί γὰρ δεῖ τὸν πατέρα τιμωρουμένην, αὐτὴν μείζω πόνον ἔχειν; οὐ δῆτα τοῦτο ποιήσω, χαιρέτω βουλεύματα. Ἀλλ᾽ ἔα, τί τοῦτο δοκῶ αὖθις πάσχειν; γέλωτα γὰρ συνορῶ βουλομένη τοῖς ἐχθροῖς ὀφλισκάνειν· τολμητέον ταῦτα· τὸ γὰρ μαλθακὰ λέγειν ἀτολμίας δεῖγμά ἐστι τῆς ἐμῆς· ἴτε, χωρεῖθ᾽ ὑμεῖς, ὦ παῖδες, εἰς τὴν οἰκίαν· καὶ ὃς ἂν μὴ ἀνέχηται παραστῆναι τοῖς θύμασι, μεταστήτω κἀκεῖνος· οὐ γὰρ ἂν τὴν τῆς χειρὸς ἔγωγ᾽ ἀπαμβλύναιμι τόλμην. Ἆ, ἆ· οὐ δῆτα ἔγωγε· μή, ὦ θυμέ, μὴ σύγε εἰς τοῦτ᾽ ἀσεβείας ἔλθοις· φεῖσαι, ὦ δύστηνε, τῶν παίδων· ἔα τούτους εὐφραίνειν σε παρόντας, ὅπου ἂν ἧς. Ἀλλὰ μὰ τοὺς ἐν Ἅδου ἀλάστορας· οὐκ ἔσθ᾽ ὅπως ἔγωγε πάλιν

---

ἄλλο σχῆμα ἀποστάντες βίου] ἐννοεῖ τὸν ᾅδην. φυλάττεται δὲ τὸν παιδαγωγόν, ἵνα μὴ ὑπονοήτῃ τι τῶν μελετωμένων. 1035. Χαιρέτω βουλεύματα] τετάρακται σφόδρα τὴν ψυχὴν ἐνταῦθα, καὶ οὐκ ἔχει ὅ,τι ποιῇ, τῶν παθῶν, οἴκτου τε καὶ θυμοῦ ἀντιμαχομένων, πότερον θατέρου κρατήσῃ· διὸ ἡ αὐτὴ περὶ τοῦ αὐτοῦ γνοῦσα καὶ μεταγνοῦσα, συχνὴ ταῖς ἐφ᾽ ἑκάτερα μεταβάσεσιν ἀλλοιοῦται. μέγα δὲ τὸ πάθος ἐκ τῆς περιπετείας ὁ λόγος ἔχει. 1070. καὶ μανθάνω.

Οὔ τοί ποτ' ἔσται τοῦθ', ὅπως ἐχθροῖς ἐγὼ
παῖδας παρήσω τοὺς ἐμοὺς καθυβρίσαι.
Πάντως σφ' ἀνάγκη κατθανεῖν· ἐπεὶ δὲ χρὴ,
Ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.
Πάντως πέπρωται ταῦτα, κοὐκ ἐκφεύξεται·
Καὶ δὴ 'πὶ κρατὶ στέφανος, ἐν πέπλοισί τε
Νύμφη τύραννος ὄλλυται, σάφ' οἶδ' ἐγώ.
Ἀλλ' εἶμι γὰρ δὴ τλημονεστάτην ὁδὸν,
Καὶ τούσδε πέμψω τλημονεστέραν ἔτι.
Παῖδας προσειπεῖν βούλομαι· δότ', ὦ τέκνα,
Δότ' ἀσπάσασθαι μητρὶ δεξιὰν χέρα.
Ὦ φιλτάτη χεὶρ, φίλτατον δέ μοι στόμα,
Καὶ σχῆμα καὶ πρόσωπον εὐγενὲς τέκνων,
Εὐδαιμονοῖτον, ἀλλ' ἐκεῖ· τὰ δ' ἐνθάδε
Πατὴρ ἀφείλετ', ὦ γλυκεῖα προσβολὴ,
Ὦ μαλθακὸς χρὼς, πνεῦμά θ' ἥδιστον τέκνων.
Χωρεῖτε, χωρεῖτ' οὐκέτ' εἰμὶ προσβλέπειν
Οἵα τ' ἐς ὑμᾶς, ἀλλὰ νικῶμαι κακοῖς.
Καὶ μανθάνω μὲν, οἷα δρᾷν μέλλω κακά·
Θυμὸς δὲ κρείσσων τῶν ἐμῶν βουλευμάτων,
Ὅσπερ μεγίστων αἴτιος κακῶν βροτοῖς.

ΧΟ. Πολλάκις ἤδη διὰ λεπτοτέρων
Μύθων ἔμολον, καὶ πρὸς ἁμίλλας
Ἦλθον μείζους, ἢ χρὴ γενεὰν
Θῆλυν ἐρευνᾷν· ἀλλὰ γάρ ἐστιν
Μοῦσα καὶ ἡμῖν, ἣ προσομιλεῖ

---

μὲν οἷον δρᾷν μέλλω κακά] ἐν ἄλλοις κεῖται, οἷα τολμήσω κακά. Ἐνταῦθα δ' οὖν ἔξεστι μάλιστ' ἰδεῖν, ὅσον ὁ ἄνθρωπός ἐστι τοῖς πάθεσιν ὑποκείμενος· ὃς καὶ συνειδὼς ἑαυτὸν βλάπτων, οὐκ ἀπέχεται τούτου, ἐφ' ᾧ ἀμύνηται ἄλλους

παραλείψω τοὺς παῖδας τοῖς ἐχθροῖς μοι πρὸς ὕβριν· ἀνάγκης γὰρ οὔσης αὐτοὺς ἀποθανεῖν, ἐμοὶ τῇ τεκούσῃ τοῦτο μᾶλλον δρᾷν προσανήκει· δέδοκται ταῦτα, κοὐκ ἄλλως ἔχει· ἀλλ' ἤδη εἰκὸς διεφθάρθαι τὴν νύμφην ἐν τῷ χρυσῷ στεφάνῳ καὶ τῷ πέπλῳ, ἃ ἐγὼ ἐκείνῃ τυγχάνω πεπομφυῖα· τί οὖν μέλλω; βαδίσω τὴν τλημονεστάτην, τούςτε παῖδας πέμψω ἔτι τλημονεστέραν· βούλομαι δὲ προσειπεῖν αὐτοὺς πρῶτον· Χαίρετ', ὦ παῖδες, χαίρεθ' ὑμεῖς· δότε δὴ πρῶτον τῇ μητρὶ τὰς χεῖρας ἀσπάσασθαι, δότε καταφιλῆσαι· δότε δὲ καὶ τοὺς ὀφθαλμούς· ὦ φιλτάτη χεὶρ, ὦ στόμα, καὶ πρόσωπον, καὶ ὅλως σχῆμ' εὐγενὲς τῶν τέκνων· εὐδαιμονοίητε, ἀλλὰ παρ' ἄλλοις· τὰ δὲ ἐνταῦθα ὁ πατὴρ ὑμᾶς πάντ' ἀφεῖλεν, ἀπεστέρησεν ὅλως· ὦ γλυκυῖα τῶν ὀφθαλμῶν προσβολὴ, ὦ σῶμα μαλθακὸν, καὶ πνεῦμα τέκνων ἐκπνεόμενον ἥδιστον, χωρεῖτε ἐν τάχει, εἴσιτε· οὐκέτι φέρω προσβλέπειν ὑμᾶς· νικῶμαι τῷ πάθει· καὶ οἶδα μὲν, ὃ μέλλω δράσειν κακὸν, ἀλλ' ὁ θυμὸς κρείσσων τῶν ἐμῶν βουλευμάτων· ὃς μεγίστων κακῶν ἐστιν αἰτία τοῖς ἀνθρώποις.

**ΧΟ.** Πολλάκις ἐπῆλθέ μοι ἀναπόδραστος ἔννοια εἰς ἐρεύνας

---

τοῦτο δὲ καὶ Θουκυδίδης ἔφη πού. » Καὶ γὰρ καὶ τὰ οἰκεῖα χεῖρον τίθενται ἄνθρωποι, φιλονεικίας ἕνεκα τῆς αὐτίκα ». 1073. Διὰ λεπτοτέρων μύθων] πολλάκις ἐπῆλθέ μοί φησιν, εἰ ἔξεστι καὶ γυναιξὶ φιλοσοφῆσαι καὶ ἐξετάσαι περὶ τῶν ἐν τῷ βίῳ· καὶ εὗρον καὶ τῶν γυναικῶν πολλὰς οὐκ ἐστερημένας λόγου. καὶ ἐντεῦθεν ἄρχεται γνωμοδοτεῖν, οἷα οὐχ ὁ ὀρθὸς αἱρεῖ λόγος, ἀλλ' ὅ,τι τὸ παρὸν ὑπαγορεύει πάθος· τὸ γὰρ παῖδας τρέφειν καὶ τῇ φύσει ἑπόμενον, καὶ τῇ πατρίδι ἀναγκαῖον· εἰδὲ καὶ τἀπὶ τούτοις λογισαίμεθα ἀκριβῶς, πλείω εὑρήσομεν ἐν τῷ γάμῳ τὰ χρηστὰ τῶν ἀνιαρῶν. 1075. Ἢ χρὴ] οὕτω

Ἦλθον μείζους, ἢ χρὴ γενεὰν
Θῆλυν ἐρευνᾷν· ἀλλὰ γὰρ ἐστὶν
Μοῦσα καὶ ἡμῖν, ἣ προσομιλεῖ
Σοφίας ἕνεκεν· πάσαισι μὲν οὔ·
Παῦρον τόδε δὴ γένος ἐν πολλαῖς
Εὕροις ἂν ἴσως
Κοὐκ ἀπόμουσον τὸ γυναικῶν.
Καὶ φημὶ βροτῶν οἵ τινές εἰσιν
Πάμπαν ἄπειροι, μηδ' ἐφύτευσαν
Παῖδας, προφέρειν εἰς εὐτυχίαν
Τῶν γειναμένων·
Οἱ μέν γ' ἄτεκνοι δι' ἀπειροσύναν,
Εἴθ' ἡδὺ βροτοῖς, εἴτ' ἀνιαρὸν
Παῖδες τελέθουσ', οὐχὶ τυχόντες,
Πολλῶν μόχθων ἀπέχονται.
Οἷσιν δὲ τέκνων ἐστὶν ἐν οἴκοις
Γλυκερὸν βλάστημ', ἐσορῶ μελέτῃ
Κατατρυχομένους τὸν ἅπαντα χρόνον·
Πρῶτον μὲν ὅπως θρέψουσι καλῶς,
Βίοτόν θ' ὁπόθεν λείψουσι τέκνοις·
Ἔτι δ' ἐκ τούτων, εἴτ' ἐπὶ φλαύροις,
Εἴτ' ἐπὶ χρηστοῖς
Μοχθοῦσι, τόδ' ἔστιν ἄδηλον.
Ἓν δὲ τὸ πάντων λοίσθιον ἤδη
Πᾶσιν κατερῶ θνητοῖσι κακόν·
Καὶ δὴ γὰρ ἅλις βίοτόν θ' εὗρον,
Σῶμά τ' ἐς ἥβην ἤλυθε τέκνων,
Χρηστοί τ' ἐγένοντ· εἰ δὲ κυρήσει
Δαίμων οὗτος, φροῦδος ἐς Ἀΐδαν
Θάνατος προφέρων σώματα τέκνων.
Πῶς οὖν λύει πρὸς τοῖς ἄλλοις
Τήνδ' ἔτι λύπην ἀνιαροτάτην
Παίδων ἕνεκεν
Θνητοῖσι θεοὺς ἐπιβάλλειν;

μείζους ἐλθεῖν, ἢ χρὴ γυναῖκας ἐρευνᾷν περὶ τῶν συμβαινόντων τοῖς ἀνθρώποις· ἔνεστι γὰρ καὶ ἡμῖν σοφίας μοῦσα, εἰ καὶ μὴ πάσαις, ἀλλ' εὕροις ἂν ἐξετάσας καὶ ἡμῶν τινας σοφάς γε οὔσας· ἐγὼ γὰρ αὐτὴ οἶδα σαφῶς, κἀξεπίσταμαι μάλα, ὡς τῶν ἀνθρώπων, ὅσοι πατέρες οὐκ ἐγένοντο, εὐδαιμονέστεροί εἰσι τῶν τεκόντων· οἱ γὰρ εἰς πεῖραν μὴ ἦλθον τεκνώσεως, μήδ' εἰδότες, πότερον, ἡδὺ, ἢ ἀλγεινόν ἐστι τοῖς πατράσιν οἱ παῖδες, πολλῶν πόνων ἀπείρατοι διαγίνονται· οἷς δ' ἥδιστα παῖδες ἐγένοντο, τούτους ὁρῶ πολλαῖς τρυχομένους φροντίσιν, ὅπως τε καλῶς αὐτοὺς ἀναθρέψωσι, καὶ πλοῦτον καταλίπωσιν αὐτοῖς πρὸς τὸ ζῆν εὐδαιμόνως· καὶ τρίτον ἄδηλον αὐτοῖς, εἴτ' ἐπὶ χρηστοῖς, εἴτ' ἐπὶ φαύλοις τοσαύτην σπουδὴν ποιοῦνται· ὃ δὲ μάλισθ' ὑπερβάλλει τὰ εἰρημένα· εἰ γὰρ δοῖμεν πάντα ταῦτ' αὐτοῖς καλῶς ἕξειν, πλοῦτόν τε περιῤῥέοντα, σώματά τε ἰσχύοντα, καὶ ἡβῶντα, καὶ τὸ ἦθος χρηστόν· ἀλλ' ὁ θάνατος πολλάκις ἐλθὼν, ἀφεῖλεν ἅπαντα ἐκ μέσων τῶν ἐλπίδων· πῶς οὖν πρὸς τοῖς ἄλλοις ἀνιαροῖς κἀπὶ τοῖς παισὶ λύπην ἑτέραν ταύτην οἱ Θεοὶ εἰκότως τοῖς ἀνθρώποις ἐπιβαλεῖν ἂν εἴποιμι;

---

πολλῷ μᾶλλον ἀντὶ τοῦ, Εἰ χρὴ, συναπτικοῦ. 1100 Λύει] λυσιτελεῖ. 1105,

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΜΗΔΕΙΑ, ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ, ΠΑΙΣ, ΙΑΣΩΝ.

ΜΗ. Φίλαι, πάλαι τοι προσμένουσα τὴν τύχην,
Καραδοκῶ τἀκεῖθεν, οἷ προβήσεται.
Καὶ δὴ δέδορκα τόνδε τῶν Ἰάσονος
Στείχοντ᾽ ὀπαδῶν, πνεῦμά τ᾽ ἠρεθισμένον.
Δείκνυσι δ᾽, ὥςτι καινὸν ἀγγελεῖ κακόν.
ΑΓ. Ὦ δεινὸν ἔργον παρανόμως εἰργασμένη
Μήδεια, φεῦγε, φεῦγε, μήτε ναΐαν
Λιποῦσ᾽ ἀπήνην, μήτ᾽ ὄχον πεδοστιβῆ.
ΜΗ. Τί δ᾽ ἄξιόν μοι τῆσδε τυγχάνει φυγῆς;
ΑΓ. Ὄλωλεν ἡ τύραννος ἀρτίως κόρη,
Κρέων θ᾽ ὁ φύσας φαρμάκων τῶν σῶν ὕπο.
ΜΗ. Κάλλιστον εἶπας μῦθον, ἐν δ᾽ εὐεργέταις
Τὸ λοιπὸν ἤδη καὶ φίλοις ἐμοῖς ἔσῃ.
ΑΓ. Τί φής; φρονεῖς μὲν ὀρθὰ, κοὐ μαίνῃ γύναι,
Ἥτις τυράννων ἑστίαν ᾐκισμένην
Χαίρεις κλύουσα, κοὐ φοβῇ τὰ τοιάδε;
ΜΗ. Ἔχω τι κἀγὼ τοῖς γε σοῖς ἐναντίον
Λόγοισιν εἰπεῖν· ἀλλὰ μὴ σπέρχου, φίλος·
Λέξον δ᾽, ὅπως ὤλοντο· δὶς τόσον γὰρ ἂν
Τέρψειας ἡμᾶς, εἰ τεθνᾶσι παγκάκως.
ΑΓ. Ἐπεὶ τέκνων σῶν ἦλθε δίπτυχος γονὴ

---

Καραδοκῶ.] προσοχὴν πολλὴν ἔχειν τοῦτο δηλοῖ περί τινος ἀποβησομένου, οἷον

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΜΗΔΕΙΑ, ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ, ΠΑΙΣ, ΙΑΣΩΝ.

ΜΗ. Πάλαι μὲν, ὦ φίλαι, ἀναμένω τὰ παρὰ τῆς τύχης, ὅπως ἀποϐήσεταί μοι τὰ πράγματ' ἐκεῖθεν, ἃ προσδοκῶ· ἀλλ' ἤδη ὁρᾶν μοι δοκῶ ἐκεινονὶ τῶν Ἰάσονος θεραπόντων σὺν ἄσθματι σπεύδοντα πολλῷ ὡς ἡμᾶς, ὡς μέλλονθ' ἡμῖν νέον τὶ ἐξαγγελεῖν κακόν.

ΑΓ. Ὦ παρανόμως μέγα τι κακὸν ἐργασαμένη Μήδεια, φύγε, φύγε, ὅσον τάχος διά τε γῆς, διά τε θαλλάσσης, ὅθεν ἂν εἰδῆς τοῦτο ῥᾷον ἐσόμενόν σοι.

ΜΗ. Διὰ τί σοι φύγω; τί δ' ἄξιον φυγῆς πέπρακταί μοι;

ΑΓ. Ἀπόλωλε γὰρ ἡ νύμφη, καὶ ὁ Κρέων αὐτὸς, ὑφ' ὧν ἔπεμψας αὐτοῖς φαρμάκων.

ΜΗ. Ὡς κάλλιστον τοῦτον εἴρηκας λόγον, ἐφ' ᾧ εὐεργεσία καὶ φιλία σοι παρ' ἐμοὶ ἀνάγραπτος ἀποκείσεται.

ΑΓ. Τί φής; οὐ μαίνῃ, παραπαίουσα ταῦτα, ἣ τηλικοῦτον κακὸν δράσασα τοὺς κρατοῦντας, χαίρεις ἀκούουσα τοῦτο;

ΜΗ. Ἔχ' ἡσύχως· ἔχω γὰρ κἀγὼ ἄξια ἀντεμϐαλεῖν πρὸς ταῦτα· σὺ δὲ λέγε μοι τὸν τρόπον μόνον, ὅπως ἀπώλοντο ἐκεῖνοι· εἰ γὰρ κακῶς, δὶς εὐφρανεῖς ἡμᾶς τοσοῦτον.

ΑΓ. Εἰσελθόντων γὰρ τῶν σῶν παίδων μετὰ τοῦ πατρὸς εἰς

---

ὀρθόν τινα ἵστασθαι πρὸς τὸ προσδοκώμενον, ὅπως ποτὲ ἀποϐήσεται. 1112 Πνεῦμά τ' ἠρεθισμένον] ἀποπνιγόμενον ἄσθματι. 1115. Ναΐαν ἀπήνην] θαλά-

Σὺν πατρὶ, καὶ παρῆλθε νυμφικοὺς δόμους,
Ἥσθημεν, οἵπερ σοῖς ἐκάμνομεν κακοῖς
Δμῶες· δι' ὤτων δ' εὐθὺς ἦν πολὺς λόγος,
Σὲ καὶ πόσιν σὸν νεῖκος ἐσπεῖσθαι τὸ πρίν.
Κυνεῖ δ' ὁ μέν τις χεῖρ', ὁ δὲ ξανθὸν κάρα
Παίδων· ἐγὼ δὲ καὐτὸς ἡδονῆς ὕπο
Στέγας γυναικῶν σὺν τέκνοις ἅμ' ἑσπόμην.
Δέσποινα δ', ἣν νῦν ἀντὶ σοῦ θαυμάζομεν,
Πρὶν μὲν τέκνων σῶν εἰσιδεῖν ξυνωρίδα,
Πρόθυμον εἶχ' ὀφθαλμὸν εἰς Ἰάσονα·
Ἔπειτα μέντοι προὐκαλύψατ' ὄμματα,
Λευκήν τ' ἀπέστρεψ' ἔμπαλιν παρηΐδα,
Παίδων μυσαχθεῖσ' εἰσόδους· πόσις δὲ σὸς
Ὀργάς τ' ἀφῄρει καὶ χόλον νεάνιδος,
Λέγων τάδ'· Οὐ μὴ δυσμενὴς ἔσῃ φίλοις,
Παύσῃ δὲ θυμοῦ, καὶ πάλιν στρέψεις κάρα,
Φίλους νομίζουσ', οὕσπερ ἂν πόσις σέθεν·
Δέξῃ δὲ δῶρα, καὶ παραιτήσῃ πατρὸς,
Φυγὰς ἀφεῖναι παισὶ τοῖσδ' ἐμὴν χάριν·
Ἡ δ' ὡς ἐσεῖδε κόσμον, οὐκ ἠνέσχετο,
Ἀλλ' ᾔνεσ' ἀνδρὶ πάντα· καὶ πρὶν ἐκ δόμων
Μακρὰν ἀπεῖναι πατέρα καὶ παῖδας σέθεν,
Λαβοῦσα πέπλους ποικίλους ἠμπέσχετο,
Χρυσοῦν τε θεῖσα στέφανον ἀμφὶ βοστρύχοις,
Λαμπρῷ κατόπτρῳ σχηματίζεται κόμην,
Ἄψυχον εἰκὼ προσγελῶσα σώματος.
Κἄπειτ' ἀναστᾶσ' ἐκ θρόνων, διέρχεται
Στέγας, ἁβρὸν βαίνουσα παλλεύκῳ ποδὶ,
Δώροις ὑπερχαίρουσα, πολλὰ πολλάκις
Τένοντ' ἐς ὀρθὸν ὄμμασι σκοπουμένη.
Τοὐνθένδε μέντοι δεινὸν ἦν θέαμ' ἰδεῖν·

τὸν θάλαμον, ἤσθημεν ἡμεῖςγε οἱ θεράποντες οἱ ἐπὶ τοῖς γεγενημένοις λελυπημένοι, καὶ λόγος διὰ πάσης ἔθει τῆς πόλεως, ὅτι διήλλακταί σοι πρὸς τὸν ἄνδρα καλῶς· ὥσθ' ὁ μὲν ἡμῶν χεῖρα, ὁ δὲ κεφαλὴν κατεφίλει τῶν παίδων· ἐγὼ δὲ ὑφ' ἡδονῆς παρεδυόμην καὶ αὐτὸς εἰς τὸν θάλαμον σὺν τοῖς ἄλλοις· ἡ δὲ νέα δέσποινα πρὶν μὲν ἰδεῖν τοὺς παῖδας, ἡδέως προσέβλεπεν εἰς Ἰάσονα· ἐπιςάντων δ' ἐκείνων, δυσανασχετήσασα, ἀπεςράφη κατηφής· κἀν τούτῳ Ἰάσων ἐπειρᾶτο παντοίως τῆς νύμφης ἐξελεῖν τὴν ἀπέχθειαν· μὴ σύγε, λέγων, δυσμενὴς ἔσω φίλοις· ἀλλ' ἐξελοῦσα τὸ μίσος, εὐπροσηγόρως βλέπε, οὓς καὶ ὁ σὸς ἀνὴρ φιλεῖ μάλιστα· δεξαμένη δὲ δῶρα ταυτὶ, ἐξαιτοῦ μοι παρὰ τοῦ πατρὸς ἀφεῖναι αὐτοῖς τὴν φυγήν· ἡ δὲ, τούτων οὕτω ῥηθέντων, ὡς οἶδε τὸν κόσμον, ἀνῆκε παραχρῆμα, καὶ ἀνειμένῳ τῷ προσώπῳ ὑπέσχετο ταῦτα αὐτῷ διαπράξειν παρὰ τοῦ πατρός· ἐκ δὴ τούτων οὐκ ἔφθη Ἰάσων σὺν τοῖς παισὶ μεταςὰς, καὶ ἡ νύμφη τόν τε πέπλον εὐθὺς ἠμφιέσατο, καὶ τὸν ςέφανον περιέθηκε τοῖς βοστρύχοις· καὶ παριστ
αμένη τοῖς κατόπτροις ἐνησμένιζε, τὴν ἑαυτῆς εἰκόνα προσβλέπουσα ἡδέως· εἶτ' ἀναςᾶσα ἐκεῖθεν ἀγλαϊζομένη, καὶ περιεργότερον ἑαυτὴν περιθεωμένη, περιέθει τὰ οἰκήματα ποδὶ ἁβρῷ, καὶ τὸν τράχηλον ὑπερτεταμένη· καλῶς οὖν αὐτῇ εἶχε τὰ πράγματα μέχρι δεῦρο. Ἐκ δὲ τούτου θέαμα ἦν ὁρᾶν θεαμά-

—μον σχῆμα· ὅ ἐστι, πλοῖον. 1154. Ἄψυχον εἰκὼ] τὴν ἑαυτῆς μορφὴν τὴν ἐν τῷ κατόπτρῳ θεωροῦσα, ἠγάλλετο, ἀγλαϊζομένη καὶ προσμειδιῶσα. 1158.

Χροιὰν γὰρ ἀλλάξασα, λεχρία πάλιν
χωρεῖ τρέμουσα κῶλα, καὶ μόλις φθάνει
Θρόνοισιν ἐμπεσοῦσα, μὴ χαμαὶ πεσεῖν.
Καί τις γεραιὰ προσπόλων, δόξασά που
Ἢ Πανὸς ὀργὰς, ἤ τινὸς θεῶν μολεῖν,
Ἀνωλόλυξε, πρίν γ' ὁρᾷ διὰ στόμα
Χωροῦντα λευκὸν ἀφρὸν, ὀμμάτων τ' ἄπο
Κόρας στρέφουσαν, αἷμά τ' οὐκ ἐνὸν χροΐ·
Εἶτ' ἀντίμολπον ἧκεν ὀλολυγῆς μέγαν
Κωκυτόν· εὐθὺς δ' ἡ μὲν ἐς πατρὸς δόμους
Ὥρμησεν, ἡ δὲ πρὸς τὸν ἀρτίως πόσιν,
Φράσουσα νύμφης συμφοράν· ἅπασα δὲ
Στέγη πυκνοῖσιν ἐκτύπει δρομήμασιν.
Ἤδη δ' ἀνέλκων κῶλον ἐκπλέθρου δρόμου
Ταχὺς βαδιστὴς τερμόνων ἀνθήπτετ' ἄν·
Ἡ δ' ἐξ ἀναύδου καὶ μύσαντος ὄμματος
Δεινὸν στενάξασ' ἡ τάλαιν' ἠγείρετο·
Διπλοῦν γὰρ αὐτῇ πῆμ' ἐπεστρατεύετο.
Χρυσοῦς μὲν ἀμφὶ κρατὶ κείμενος πλόκος
Θαυμαστὸν ἵει νᾶμα παμφάγου πυρός·
Πέπλοι δὲ λεπτοὶ, σῶν τέκνων δωρήματα,
Λευκὴν ἔδαπτον σάρκα τῆς δυσδαίμονος.
Φεύγει δ' ἀναστᾶσ' ἐκ θρόνων πυρουμένη,
Σείουσα χαίτην κρᾶτά τ' ἄλλοτ' ἄλλοσε,

---

Εἰς ὀρθὸν τένοντα] εἰς τὸ ὀρθὸν καὶ ἐντεταμένον τοῦ τραχήλου. 1164. Πανὸς ὀργὰς] δείματα πανικά· τὰς γὰρ τοιαύτας ἐξαίφνης γινομένας τοῖς ἀνθρώποις μεταβολὰς τῷ Πανὶ, ἢ τῇ Ἑκάτῃ οἱ ἀρχαῖοι ἀπεδίδοσαν· ταῦτα δὲ ἰδοῦσα ἡ θεράπαινα, ἀνωλόλυξεν, ὅ ἐστιν, προσηύξατο τοῖς θεοῖς ἀποτρέψαι τὸ κακὸν ἄλλο τε. 1168. Ἀντίμολπον] τῇ εὐχῇ· μολπὴ γὰρ καὶ ὁ θρῆνος· ἀντίφθογ-

των ἁπάντων τὸ φρικωδέςατον· αἴφνης γὰρ μεταβαλόντος τῇ δυστήνῳ τοῦ καταστήματος, ἐπανήκει, ὅθεν ἐξῆλθε, τήντε κεφαλὴν κεκυφυῖα, καὶ τοῖς ποσὶ σφαλλομένη· καὶ μόλις φθάνει, πρὶν καταπεσεῖν, ὕπτιος ἐμπεσοῦσα τῷ θρόνῳ· ἐν δὲ τούτῳ γεραιά τις τῶν θεραπαινῶν, Πανὸς, ἢ ὅτου τῶν Θεῶν ὀργὴν ὑπολαβοῦσα τὸ πρᾶγμα εἶναι, ἀνωλόλυξεν εὐξαμένη· ἔπειθ' ὡς ἑώρα κρουνὸν ὅλον ἀφροῦ ἐξιόντα τοῦ ςόματος, τούςτ' ὀφθαλμοὺς διαςρόφους, καὶ τὸ πρόσωπον ὠχρὸν, ὡς νεκροῦ, ἀντίφθογγον τῇ προτέρᾳ ὀλολυγῇ μέλος ἦσε, εἰς μέγαν κωκυτὸν προϊοῦσα· ἐκ δὲ τούτων ἄλλης ἄλλοσε τῶν θεραπαινίδων, τῆς μὲν πρὸς τὸν πατέρα διαθεούσης· τῆς δὲ, ὡς τὸν νυμφίον, ὅπως φράσειαν τὰ συμβάντα τῇ νύμφῃ, πάντα τἀρχεῖα πυκνοῖς ἐδονεῖτο δρομήμασιν· ἐκ δὲ τούτου ἡ νύμφη ἄφωνος διαμείνασα οὐ πλέον, ἢ ὅσον χρόνον τάχιςος ἀνὴρ, μεγίςῳ χρώμενος βήματι, καταλαμβάνει τοῦ σταδίου τὸ τέρμα, ἀνηγέρθη ἡ δύστηνος, δεινὸν ὀλολύξασα· ὁ μὲν γὰρ ςέφανος ἄνωθεν ῥεῦμ' ὅλον παμφάγου πυρὸς ἀνήει· οἱ δ' αὖ πέπλοι πέριξ, οὓς οἱ παῖδες προσενηνόχεσαν, τὴν σάρκα πανταχόθεν κατέδαπτον· ἡ δὲ, ἐκπηδήσασ' ἐκεῖθεν, καὶ τὴν κεφαλὴν ἄλλοτ' ἄλλοσε ἐκκραδάνασα,

---

γον. 1173. Ἀνέλκων κῶλον] σκοτεινὸν τὸ χωρίον τοῦτο· εἴη δ' ἂν ἐπὶ τὸ σαφέστερον φράσαι ὧδί· ἅμα ἵππος ταχὺς, (ἢ ἀνὴρ ςαδιοδρόμος· ταὐτὸν γάρ ἐςι.) ὑπερμέτρῳ πηδήματι χρώμενος ἐν σταδίῳ, κατέλαβε τὸν καμπτῆρα, καὶ ἡ νύμφη ἐξ ἀναύδου ἐλάλησεν· ὅ ἐστιν, ὅσον χρόνον ταχὺς ἵππος τρέχει τὸ ςάδιον μέχρι καμπτῆρος· τοσοῦτον καὶ ἡ νύμφη διέμεινεν ἄφωνος, εἶτα ἀνασενάξασα ἠγέρθη· οὕτω μοι δοκεῖ ἄμεινον τὰς δύο ταύτας ἐννοίας εἰς μίαν ὁμοιοματικὴν ἐπισυνάπτειν περίοδον· εἰ μήτις εἴποι, ὅτι τὸ παράδειγμα κατασ-

Ῥίψαι θέλουσα στέφανον· ἀλλ' ἀραρότως
Σύνδεσμα χρυσὸς εἶχε, πῦρ δ', ἐπεὶ κόμην
Ἔσεισε, μᾶλλον δὶς τόσως τ' ἐλάμπετο.
Πιτνεῖ δ' ἐς οὖδος ξυμφορᾷ νικωμένη,
Πλὴν τῷ τεκόντι, κάρτα δυσμαθὴς ἰδεῖν.
Οὔτ' ὀμμάτων γὰρ δῆλος ἦν κατάστασις,
Οὔτ' εὐφυὲς πρόσωπον, αἷμα δ' ἐξ ἄκρου
Ἔσταζε κρατὸς, συμπεφυρμένον πυρὶ,
Σάρκες δ' ἀπ' ὀστέων, ὥστε πεύκινον δάκρυ,
Γναθμοῖς ἀδήλοις φαρμάκων ἀπέῤῥεον,
Δεινὸν θέαμα· πᾶσι δ' ἦν φόβος θιγεῖν
Νεκροῦ· τύχην γὰρ εἴχομεν διδάσκαλον.
Πατὴρ δ' ὁ τλήμων ξυμφορᾶς ἀγνωσίᾳ
Ἄφνω προσελθὼν δῶμα, προσπιτνεῖ νεκρῷ·
Ὤμωξε δ' εὐθὺς, καὶ περιπτύξας δέμας
Κυνεῖ, προσαυδῶν τοιάδ', Ὦ δύστηνε παῖ,
Τίς σ' ὧδ' ἀτίμως δαιμόνων ἀπώλεσεν;
Τίς τὸν γέροντα τύμβον ὀρφανὸν σέθεν
Τίθησιν; οἴμοι, ξυνθάνοιμί σοι τέκνον.
Ἐπεὶ δὲ θρήνων καὶ γόων ἐπαύσατο,
Χρῄζων γεραιὸν ἐξαναστῆσαι δέμας,
Προσείχεθ', ὥστε κισσὸς ἔρνεσιν δάφνης,
Λεπτοῖσι πέπλοις, δεινὰ δ' ἦν παλαίσματα·
Ὁ μὲν γὰρ ἤθελ' ἐξαναστῆσαι γόνυ,
Ἡ δ' ἀντελάζυτ'· εἰ δὲ πρὸς βίαν ἄγοι,

---

κευάζει ἀνωτέρω τὴν ταχύτητα τῶν διαθεόντων. 1198. Γναθμοῖς ἀδήλοις]- ἐν ἄλλοις Γναθμῶν. 1200. Τύχην εἴχομεν διδάσκαλον] τίς δ' ἦν ἡ τύχη; πότερον τὸ περὶ ταύτην πάθος, ἢ αὐτὸν τὸν πατέρα; τὸ δεύτερον ἔοικε, καίτοι ὁ

εἴπως τὸν ςέφανον ἀποσείσαιτο, οὐδὲν ἤνυε, δυσαπαλλάκτως τοῦ χρυσοῦ ταῖς θριξὶ ἐμπεπλεγμένου· τῆς δὲ κόμης ἀνασεισθείσης αὖθις, πῦρ δὶς τοσοῦτον ἐφαίνετ' ἀνιόν· καὶ τελευτῶσα νικωμένη τῷ πάθει, πίπτει χαμαὶ, ἄγνωςος πᾶσι τὸ εἶδος οὖσα, πλὴν τῷ τεκόντι μόνῳ· ἥτε γὰρ ὄψις εὐθὺς διάςροφος ἦν, καὶ τὸ πρόσωπον ἐξηλλοίωτο ὅλως· ἄνωθεν μὲν γὰρ ἐπὶ τῆς κεφαλῆς αἷμα, πυρὶ κεκραμένον, κατέῤῥει· ἀπὸ δὲ τῶν ὀστέων αὖ διέῤῥεον αἱ σάρκες, καθάπερ πεύκης δάκρυ, ἀδήλοις δήγμασι τῶν φαρμάκων· καὶ ἦν θέαμα δεινὸν καὶ φρίκης πλῆρες· ὥςε δέος ἦν πᾶσι προσάψασθαι τοῦ νεκροῦ, τῆς τύχης τὸ πάθος προδιδαξάσης· ὁ γὰρ ἄθλιος πατὴρ, ἀγνοῶν ὅλως οἷον ἦν τὸ παράδοξον πάθος τοῦτο, ἅμ' εἰσελθὼν, περιχυθείςτε τῷ νεκρῷ, ᾤμωξε· καὶ περιπτυξάμενος, τὰς χεῖρας ἠσπάζετο, τοιαῦτα ἐπὶ τῇ κειμένῃ ὀλοφυρόμενος· Τέκνον, ὦ δύςηνον τέκνον, τίς ἀλάςωρ σε δαίμων οὕτως ἀπώλεσε; τίς δὲ καὶ τὸν γεραιὸν ἐμὲ, τὸν ἔμψυχον ἤδη τάφον ὀρφανόν σου κατέςησεν; οἴμοι τῷ δυςήνῳ· γένοιτό μοι ἤδη συναποθανεῖν σοι, ὦ τέκνον. Ὡς δὲ ἀπωλοφύρετο, ἐπιβαλλόμενος ἀναςῆναι, οὐκ ἠδύνατο, κατεχόμενος ἐν τοῖς ἱματίοις οὐχ ἧττον, ἢ κισσὸς τῶν τῆς δάφνης προσισχόμενος κλώνων· καὶ ἦν ἀγὼν οὗτος ἕτερος ἐφ' ἑτέρῳ δεινός· ὁ μὲν γὰρ ὥρμᾶτο ἐκςῆναι· ἡ δὲ ἀντεπλέκετο, αὐτοῦ ἐχομένη· τελευτῶν δ' ἀποσπασθεὶς σὺν

---

πατὴρ ἀγνωσίᾳ τοῦ κακοῦ περιχυθεὶς, διεφθάρη. 1206. Τὸν γέροντα τύμβον] τὸν πλησίον ἤδη τοῦ τάφου ὄντα. 1211. Προσείχετο πέπλοις] πότερον προσεκολλᾶτο τοῖς φαρμακευθεῖσιν ἱματίοις, ἢ ὑπὸ τῆς Γλαύκης εἴχετο ἐν τοῖς πέ-

ΔΗΜΟ ΚΙΚΗ ... ΚΑΒΕΙΟΣ ΔΗΜΟΤΙΚΗ

Σάρκας γεραιὰς ἐσπάρασ' ἀπ' ὀστέων.
Χρόνῳ δ' ἀπέσβη καὶ μεθῆχ' ὁ δύσμορος
Ψυχήν· κακοῦ γὰρ οὐκέτ' ἦν ὑπέρτερος.
Κεῖνται δὲ νεκροὶ, παῖς τε καὶ γέρων πατὴρ,
Πέλας, ποθεινὴ δακρύοισι συμφορά·
Καί μοι τὸ μὲν σὸν ἐκποδὼν ἔστω λόγου·
Γνώσῃ γὰρ αὐτὴ ζημίας ἀποστροφήν·
Τὰ θνητὰ δ' οὐ νῦν πρῶτον ἡγοῦμαι σκιὰν,
Οὐδ' ἂν τρέσας εἴποιμι, τοὺς σοφοὺς βροτῶν
Δοκοῦντας εἶναι καὶ μεριμνητὰς λόγων
Τούτους μεγίστην μωρίαν ὀφλισκάνειν·
Θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων φύσει·
Ὄλβου δ' ἐπιῤῥυέντος, εὐτυχέστερος
Ἄλλου γένοιτ' ἂν ἄλλος, εὐδαίμων δ' ἂν οὔ.
ΧΟ. Ἔοιχ' ὁ δαίμων πολλὰ τῇδ' ἐν ἡμέρᾳ
Κακὰ ξυνάψειν ἐνδίκως Ἰάσονι.
Ὦ τλῆμον, ὥς σου ξυμφορὰς οἰκτείρομεν,
Κόρη Κρέοντος, ἥτις εἰς Ἅδου πύλας
Οἴχῃ γάμων ἕκατι τῶν Ἰάσονος.
ΜΗ. Φίλαι, δέδοκται τοὖργον, ὡς τάχιστά μοι
Παῖδας κτανούσῃ τῆσδ' ἀφορμᾶσθαι χθονὸς,
Καὶ μὴ σχολὴν ἄγουσαν ἐκδοῦναι τέκνα
Ἄλλῃ φονεῦσαι δυσμενεστέρᾳ χερί.
[Πάντως σφ' ἀνάγκη κατθανεῖν. ἐπεὶ δὲ χρὴ,
Ἡμεῖς κτενοῦμεν, οἵπερ ἐξεφύσαμεν.]
Ἀλλ' εἶ', ὁπλίζου, καρδία· τί μέλλομεν

---

...πλοις; ὑπ' ἀμφοτέρων δοκεῖ πάσχειν τοῦτο. 1218. Ποθεινὴ δακρύοισι ξυν

βία, διεσπάραξε τὰς ἑαυτοῦ σάρκας ἀπὸ τῶν ὀςέων· καὶ οὕτως ἀφεθεὶς, κατέστρεψε μετ' ὀλίγον, μηκέθ' οἷός τε ὢν ἀντισχεῖν πρὸς τὴν συμφοράν· καὶ νῦν κεῖνται ἡμῖν νεκροὶ δύο, παῖς καὶ πατὴρ ἐπ' ἀλλήλοις, συμφορὰ αὕτη μεγίστη, καὶ δάκρυα ἐκ δακρύων προκαλουμένη· καὶ ταῦτα μὲν οὕτως ἔσχε. Περὶ δέ σου ἐρῶ οὐδέν· αὐτὴ γὰρ οἴκοθεν κρινεῖς, ὅπως δεῖ σε ἀποφυγεῖν τὸ μὴ δοῦναι δίκην· ἀλλὰ τὰ θνητῶν σκιὰ καὶ ὄναρ ὅλως ἐςι· καὶ οὐ πρῶτον νῦν τοῦτο τοιοῦτον οἶδα· οὐδ' ἂν ὀκνήσαιμι εἰπεῖν μεγίςην ἄνοιαν ὀφλισκάνειν, εἴτις σοφὸς δοκῶν εἶναι, ταῖς τῶν λόγων τέχναις ἐπιςηρίζεται· εὐτυχέςερον μὲν γὰρ εὕροις ἂν ἄλλου ἄλλον γεγενημένον, ἐπιῤῥέοντος πλούτου, εὐδαίμονα δὲ οὐδένα.

**ΧΟ.** Πολλὰ κακὰ τήμερον ἡ τύχη δοκεῖ δικαίως ἐποίσειν Ἰάσονι· τὸ δὲ σὸν, ὦ δυςάλαινα κόρη Κρέοντος, ἣ ἀντὶ τῶν νυμφικῶν θαλάμων ἔχεις τὸν Ἅδην οὐκ ἔσθ' ὅπως, οὐκ οἰκτεροῦμεν πάθος.

**ΜΗ.** Δέδοκταί μοι τοίνυν, ὦ φίλαι, ἵν' ὡς τάχιςτ' ἀνελοῦσα τοὺς παῖδας, τῆς γῆς ἀπαλλάξωμαι τῆσδε· ὅπως μὴ ὑφ' ἑτέρας χειρὸς ἐχθίονος τῇ ἀναβολῇ ἀναιροῖντο· ἀνάγκης γὰρ ὑπούσης ἀποθανεῖν αὐτοὺς, τί μὴ οὐχὶ δεῖ ὑπ' ἐμοῦ παθεῖν τοῦτο, ὑφ' ἧς ἐγεννήθησαν; Ἴθι τοίνυν, χώρει εἰς τοὔργον, ὁπλίζου θυμῷ, καρδία· τί γὰρ ἂν καὶ μέλλοι

---

φορὰ] τὰ γὰρ δάκρυα, ἵνα γένωνται, ποθοῦσι τὰς συμφοράς· ἄλλως γὰρ, συμφορῶν μὴ οὐσῶν, οὐκ ἂν ἐξέφυ δάκρυ. 1220. Ἀποστροφὴν] τὴν ἀποφυγὴν πῶς ἂν μὴ δοίης, ὧν ἔπραξας, δίκην. 1237. Πάντως] περιττὰ ταῦτα σημειοῦσί τινες, ὡς προειρημένα. ςίχ. 1054. ἀνωτέρω· 1239. Ἀλλ' εἶα.] παρακε-

Τὰ δεινὰ κἀναγκαῖα μὴ πράσσειν κακά;
Ἄγ', ὦ τάλαινα χεὶρ ἐμὴ, λάβε ξίφος,
Λάβ'· ἕρπε πρὸς βαλβῖδα λυπηρὰν βίου,
Καὶ μὴ κακισθῇς, μηδ' ἀναμνησθῇς τέκνων,
Ὡς φίλταθ', ὡς ἔτικτες· ἀλλὰ τήνδε γε
Λαθοῦ βραχεῖαν ἡμέραν παίδων σέθεν,
Κἄπειτα θρήνει· καὶ γὰρ εἰ κτενεῖς σφ', ὅμως
Φίλοι γ' ἔφυσαν, δυστυχὴς δ' ἐγὼ γυνή.

ΧΟ. Ἰὼ γᾶ τε καὶ παμφαὴς (Στρ.)
Ἀκτὶς Ἀελίου, κατίδετ', ἴδετε τὰν
Ὀλομέναν γυναῖκα, πρὶν φοινίαν
Τέκνοις προσβαλεῖν χέρ' αὐτοκτόνον·
Τᾶς σᾶς γὰρ ἀπὸ χρυσέας γονᾶς
Ἔβλαστεν, θεῶν δ' αἷμα πιτνεῖν
Φόβος ὑπ' ἀνέρων.
Ἀλλά νιν, ὦ φάος διογενὲς, κάτειρ-
Γε, κατάπαυσον, ἔξελ' οἴκων φονίαν
Τάλαινάν τ' Ἐριννὺν ὑπ' ἀλαστόρων.
Μάταν μόχθος ἔρρει τέκνων,
Μάταν ἄρα γένος φίλιον ἔτεκες, ὦ (Ἀντ.)
Κυανεᾶν λιποῦσα Συμπληγάδων
Πετρᾶν ἀξενωτάταν ἐσβολάν.
Δειλαία, τί σοι φρενῶν βαρὺς
Χόλος προσπιτνεῖ, καὶ δυσμενὴς
Φόνος ἀμείβεται;
Χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ μιά-
Σματ' ἐπὶ γαῖαν αὐτοφόνταις, ξυνῳ-
Δὰ θεόθεν πιτνόντ' ἐπὶ δόμοις ἄχη.

---

λευστικὸν, ὅμοιον τῷ, ἴτω, γενέσθω, ἐῤῥίφθω κύβος· 1549. ὡς φίλτατα ἐν ἄλλοις κεῖται, ὦ φίλτατα· καὶ ἄμεινον ἴσως, ὡς ἐν ἤδει παθητικῷ κατὰ

τις, ἃ πράττειν ἀνάγκη; ἄγ', ὦ τάλαινα, λάβε ξίφος. λάβε, καὶ μὴ ἀπόκνει· χώρει γενναίως εἰς τὸν ἀγῶνα τοῦ δυστυχοῦς βίου, μήτε τῷ πάθει ἐνδιδοῦσα, μήτ' ἄλλως τῶν παίδων μεμνημένη, μήθ' ὡς φιλτάτων, μήθ' ὡς ἔτεκες ὅλως τούτους· ἐπιλαθοῦ τούτων ταύτην γε τὴν ἡμέραν· ἔπειτα δὲ, εἰ βούλει, θρήνει· φίλοι γάρ εἰσι, κἂν ἀποκτείνῃς τούτους· φεῦ, ὅσον ἐγὼ μητέρων εἰμὶ πασῶν δυστυχεστάτη.

ΧΟ. Ἰὼ, ὦ γῆ, καὶ παμφαὴς ἀκτὶς τοῦ ἡλίου, ἴδετε τὴν ὀλεθρίαν ταύτην γυναῖκα, κατίδετε πρὶν ἐπιβαλεῖν χεῖρα μιαιφόνον τοῖς τέκνοις· ἐκ γὰρ τῆς σῆς, ὦ Ἥλιε, γενεᾶς ἀνεβλάστησαν ταῦτα· Θεῶν δὲ αἷμα ἀθέμιτον ὑπ' ἀνθρωπίνης χειρὸς ἐκχεῖσθαι· ἀλλ' ὦ φῶς διογενὲς, κώλυσον, κατάπαυσον αὐτὴν τοῦ ὑπερζέσαντος πάθους· ἔξελε τῶν οἴκων τούτων τὴν σκληρὰν Ἐριννὺν, ὡς ὑπ' ἀλαστόρων ἐλαυνομένην δαιμόνων.

Εἰς μάτην ἄρ' ἐπόνεις, κύουσα τέκνα· ἐς μάτην, ὦ τάλαινα· ἔτεκες φίλον γένος πρὸς τὰς ἐλπίδας· σύγε, φημὶ, ἡ τὰς ἀξενωτάτας κυανᾶς διαπλεύσασα Συμπληγάδας· πόθεν σοι τοσοῦτον περικέχυται πάθος, ὥςε φόνον αὖθις τολμῆσαι τοῦ φόνου διάδοχον; χαλεπὸν γὰρ καὶ σχέτλιον ἀνθρώποις, ἐς προσήκοντας ἐμβάψαι τὴν χεῖρα· οὐ γὰρ ἂν ἐξείη ἀποφυγεῖν τὴν δίκην, τοῖς ἴσοις πολλάκις τῶν Θεῶν τὰ τοιαῦτα μετεργομένων πάθη.

---

διάμεσον προφερόμενον σχῆμα· ἅμα γὰρ εἰς λήθην τῶν παίδων κινεῖ ἑαυτὴν, καὶ τὸ πάθος δάκνει αὐτὴν ἔνδοθεν ἐκ φιλοςοργίας· διὸ λέγει. ὦ φίλτατα 1252. Σᾶς γενᾶς] ἐκ σοῦ τοῦ ἡλίου. Ἥλιος γὰρ πατὴρ Αἰήτου τοῦ Μηδείας πατρός· 1264. Φόνος ἀμείβεται.] τί σε οὕτως εἰς φόνον ἐπάγει; ἀντὶ τοῦ -ὁ

Π. Α. Οἴμοι, τί δράσω; ποῖ φύγω μητρὸς χέρας;
Π. Β. Οὐκ οἶδ', ἀδελφὲ φίλτατ'· ὀλλύμεσθα γάρ.
ΧΟ. Ἀκούεις βοὰν, ἀκούεις τέκνων;
Ἰὼ τλᾶμον, ὦ κακοτυχὲς γύναι.
Παρέλθω δόμους; ἀρῆξαι φόνον
Δοκεῖ μοι τέκνοις.
Π. Ναὶ, πρὸς θεῶν, ἀρήξατ'· ἐν δέοντι γάρ·
Ὡς ἐγγὺς ἤδη γ' ἐσμὲν ἀρκύων ξίφους.
ΧΟ. Τάλαιν', ὡς ἄρ' ἦσθα πέτρος ἢ σίδα-
Ρος, ἅτις τέκνων, ὧν ἔτεκες,
Ἄροτρον αὐτόχειρι μοίρᾳ κτενεῖς·
Μίαν δὴ κλύω, μίαν τῶν πάρος
Γυναῖκ' ἐν φίλοις χέρα βαλεῖν τέκνοις,
Ἰνὼ μανεῖσαν ἐκ θεῶν, ὅθ' ἡ Διὸς
Δάμαρ νιν ἐξέπεμψε δωμάτων ἄλη.
Πιτνεῖ δ', ἁ τάλαιν' ἐς ἅλμαν φόνῳ
Τέκνων δυσσεβεῖ,
Ἀκτῆς ὑπερτείνασα ποντίας πόδα,
Δυοῖν τε παίδοιν ξυνθανοῦσ' ἀπόλλυται.
Τί δὴ ποτ' αὖ γένοιτ' ἂν ἔτι δεινὸν, ὦ
Γυναικῶν λέχος πολύπονον, ὅσα δὴ
Βροτοῖς ἔρεξας ἤδη κακά.
ΙΑ. Γυναῖκες, αἳ τῆς δ' ἐγγὺς ἕστατε στέγης,
Ἆρ' ἐν δόμοισιν ἡ τὰ δείν' εἰργασμένη
Μήδεια τοῖσδέ γ', ἢ μεθέστηκεν φυγῇ;
Δεῖ γάρ νυν ἤτοι γῆς σφε κρυφθῆναι κάτω.
Ἢ πτηνὸν ἆραι σῶμ' ἐς αἰθέρος βάθος,
Εἰ μὴ τυράννων δώμασιν δώσει δίκην.
Πέποιθ', ἀποκτείνασα κοιράνους χθονὸς,
Ἀθῷος αὐτὴ τῶνδε φεύξεσθαι δόμων;

ΠΑ. Οἴμοι τί ποιήσω; ποῖ φύγω μητρὸς τὸ ξίφος;

ΠΒ. Οὐκ οἶδα, φίλτατε ἀδελφέ· ἤδη γὰρ θέομεν τὸν ὑπὲρ ψυχῆς·

ΧΟ. Ἀκούεις φωνὴν, οἵαν ὠλόλυξαν οἱ παῖδες ἔνδον; ἰὼ τλῆμων· φεῦ, ὦ δειλαία· βούλομαι, εἰσελθοῦσα, ἐπαμύναι τοῖς παισί.

ΠΑ. Ἀμύνατε πρὸς Θεῶν ἐν καιρῷ· μεταξὺ γὰρ ἤδη βαίνομεν ξίφους.

ΧΟ. Τάλαινα, ὡς ἀνάλγητος εἶ, ὡς σιδήριος, ἥτις αὐτόχειρ, ὧν ἔτεκες, τολμᾷς γενέσθαι· μίαν ἀκούω, μίαν μόνην τῶν πάλαι φονίαν χεῖρα τοῖς ἰδίοις τέκνοις ἐπιβαλεῖν, Ἰνὼ, τὴν ὑπὸ τῶν Θεῶν ἐς μανίαν περιτραπεῖσαν, ἡνίχ' ἡ Ἥρα ἐπ' αὐτῇ χολωθεῖσα, ἀλᾶσθαι πεποίηκεν, ὥστ' ἐμβαλεῖν ἑαυτὴν ἐς τὴν θάλασσαν· οὗ τί ἂν γένοιτο χεῖρον; ὦ γυναικῶν πολύμοχθοι ἔρωτες, οἵων κακῶν ἀνθρώποις γεγένησθε αἴτιοι.

ΙΑ. Γυναῖκες, ὅσαι πάρεσθ' ὧδε, ἆρ' ἔνδον ἐςὶν ἡ Μήδεια, ἡ τὰ δεινόταθ' ἡμᾶς εἰργασμένη, ἢ ᾤχετο διαδρᾶσα; δεῖ γὰρ δὴ νῦν ἤτοι κατορυχθῆναι πη, ἀφανῆ γενομένην, ἢ πτερῷ χρήσασθαι πρὸς τὸν ἀπέραντον αἰθέρα· οὐ γὰρ ἄλλως ἂν ἀποφύγοι παρὰ τῶν κρατούντων τὴν δίκην, ἀποκτανοῦσα τοὺς τυράννους· καὶ αὐτῆς μὲν ταύτης ἧττόν μοι

---

ἀμείψεται ἴσως. ἡ γὰρ ἑπομένη κατασκευὴ τοῦτο δοκεῖ ἀπαιτεῖν· 1281. Ἰνώ] αὕτη κατὰ χόλον τῆς Ἥρας μανεῖσα καὶ τοὺς δύο παῖδας (κατά γε τὸν ἡμέτερον ποιητήν) Λέαρχον καὶ Μελικέρτην ἀποκτείνασα, ἔῤῥιψεν ἑαυτὴν εἰς τὴν θά-

Ἀλλ' (οὐ γὰρ αὐτῆς φροντίδ', ὡς τέκνων, ἔχω·)
Κείνην μὲν, οὓς ἔδρασεν, ἕρξουσιν κακῶς,
Ἐμῶν δὲ παίδων ἦλθον ἐκσῶσαι βίον,
Μή μοί τι δράσωσ' οἱ προσήκοντες γένει,
Μητρῷον ἐκπράσσοντες ἀνόσιον φόνον.
ΧΟ. Ὦ τλῆμον, οὐκ οἶσθ', οἷ κακῶν ἐλήλυθας,
Ἰᾶσον· οὐ γὰρ τούσδ' ἂν ἐφθέγξω λόγους.
ΙΑ. Τί δ' ἐστίν; ἦπου κἄμ' ἀποκτεῖναι θέλει;
ΧΟ. Παῖδες τεθνᾶσι χειρὶ μητρῴᾳ σέθεν.
ΙΑ. Οἴμοι τί λέξεις; ὥς μ' ἀπώλεσας, γύναι.
ΧΟ. Ὡς οὐκέτ' ὄντων σῶν τέκνων φρόντιζε δή.
ΙΑ. Ποῦ γάρ νιν ἔκτειν', ἐντὸς, ἢ 'ξωθεν δόμων;
ΧΟ. Πύλας ἀνοίξας, σῶν τέκνων ὄψει φόνον.
ΙΑ. Χαλᾶτε κλῇδας ὡς τάχιστα, πρόσπολοι,
Ἐκλύεθ' ἁρμοὺς, ὡς ἴδω διπλοῦν κακὸν,
Τοὺς μὲν θανόντας, τὴν δὲ τίσωμαι φόνῳ.
ΜΗ. Τί τάσδε κινεῖς κἀναμοχλεύεις πύλας,
Νεκροὺς ἐρευνῶν κἀμὲ τὴν εἰργασμένην;
Παῦσαι πόνου τοῦδ'· εἰ δ' ἐμοῦ χρείαν ἔχεις,
Λέγ', εἴ τι βούλει, χειρὶ δ' οὐ ψαύσεις ποτέ.
Τοιόνδ' ὄχημα πατρὸς Ἥλιος πατὴρ
Δίδωσιν ἡμῖν, ἔρυμα πολεμίας χερός.
ΙΑ. Ὦ μῦσος, ὦ μέγιστον ἐχθίστη γύναι,
Θεοῖς τε κἀμοὶ παντί τ' ἀνθρώπων γένει,
Ἥτις τέκνοισι σοῖσιν ἐμβαλεῖν ξίφος
Ἔτλης τεκοῦσα, κἄμ' ἄπαιδ' ἀπώλεσας·

---

λασσαν. 1318. Ὄχημα] Τοιοῦτον αἴφνης λαβοῦσα ὄχημα παρὰ τοῦ Ἡλίου, καὶ

μέλει· μέλει δέ μοι τῶν τέκνων· αὐτὴ γὰρ, οὓς ἔδρασε κακῶς, παρ' ἐκείνων κακὴ κακῶς ἀποθανεῖται· τῶν δὲ, ἐμοὶ προσήκει φροντίδα ἀναγκαίως ποιεῖσθαι, μή τι οἱ προσήκοντες τοῖς κρατοῦσι τῷ τῶν πεπραγμένων ἐρεθισθέντες πάθει, βουλεύσωνται αὐτοῖς τι δεινὸν, τῷ τῶν κρατούντων ἐπεξιόντες φόνῳ.

ΧΟ. Ὦ τλῆμον, οὐδ' οἶσθ' ὅλως, οἷ τῶν κακῶν ἐλήλυθας· οὐ γὰρ ἂν τοιαῦτ' ἐλήρεις.

ΙΑ. Τί δ' ἐςιν; μῶν κἀμὲ βούλεται ἀποκτεῖναι;

ΧΟ. Τοῦτο μὲν οὔ· οἱ δὲ παῖδές σοι κεῖνται νεκροὶ ὑπ' αὐτῆς.

ΙΑ. Οἴμοι· τί φής; ὡς ἀπόλωλα τάλας.

ΧΟ. Γίνωσκε τοίνυν ἐκείνους μηκέτι ζῶντας.

ΙΑ. Ποῦ δὴ πέπρακται ταῦτα; οὐκ ἔνδον ὧδε;

ΧΟ. Εἰσελθὼν ὄψει προκείμενα πτώματα διττά.

ΙΑ. Χαλᾶτε τὰ κλεῖθρα ὑμεῖς οἱ θεράποντες, διαλύσατε τοὺς ἁρμοὺς, ἵνα δύο ἅμα ἴδωμεν δεινὰ, τοὺς μὲν τεθνηκότας, τὴν δὲ νῦν ἐπισφαγησομένην.

ΜΗ. Τί ποθ' οὕτως ἀναμοχλεύεις τὰς θύρας, τούτους τοὺς νεκροὺς κἀμὲ ζητῶν τὴν ἀποκτανοῦσαν; ἔχ' ἀτρέμας, μὴ μάτην σπεῦδε· εἰ δέ τι πρὸς ἐμὲ βούλει λέγειν, λέγε οὕτω· χειρὶ δ' ἄν μου οὐκ ἂν οὐδένα προσψαύσεις τρόπον· τοιοῦτον γὰρ ὄχημα κρεῖττον χειρὸς πολεμίας ὁ προπάτωρ μοι δέδωκεν Ἥλιος.

ΙΑ. Ὦ μυσαρωτάτη γύναι, ὦ ἐχθίστη κἀμοὶ καὶ Θεοῖς καὶ παντὶ τῷ τῶν ἀνθρώπων γένει· ἥτις ἀπετόλμησας οὕτω παραβόλως τοῖς σαυτῆς τέκνοις ἐπενεγκεῖν τὸ ξίφος, κἀμὲ αὐτὸν ἄπαιδα ὅλως θεῖναι· καὶ ταῦτα πράξασα,

---

ἐπιβᾶσα, ἵςαται μετέωρος ἤδη κατὰ τὸν αἰθέρα· ὅθεν διαλέγεται τὰ ἑξῆς πρὸς

Καὶ ταῦτα δράσασ', Ἥλιόν τε προσβλέπεις
Καὶ γαῖαν, ἔργον τλᾶσα δυσσεβέστατον.
Ὄλοι'· ἐγὼ δὲ νῦν φρονῶ, τότ' οὐ φρονῶν,
Ὅτ' ἐκ δόμων σε βαρβάρου τ' ἀπὸ χθονὸς
Ἕλλην' ἐς οἶκον ἠγόμην, κακὸν μέγα,
Πατρός τε καὶ γῆς προδότιν, ἥ σ' ἐθρέψατο.
Τὸν σὸν δ' ἀλάστορ' εἰς ἔμ' ἔσκηψαν θεοί·
Κτανοῦσα γὰρ δὴ σὸν κάσιν παρέστιον,
Τὸ καλλίπρωρον εἰσέβης Ἀργοῦς σκάφος.
Ἤρξω μὲν ἐκ τοιῶνδε, νυμφευθεῖσα δὲ
Παρ' ἀνδρὶ τῷδε καὶ τεκοῦσά μοι τέκνα,
Εὐνῆς ἕκατι καὶ λέχους σφ' ἀπώλεσας.
Οὐκ ἔστιν ἥτις τοῦτ' ἂν Ἑλληνὶς γυνὴ
Ἔτλη ποθ', ὧν γε πρόσθεν ἠξίουν ἐγὼ
Γῆμαί σε, κῆδος ἐχθρὸν ὀλέθριόν τ' ἐμοὶ,
Λέαιναν, οὐ γυναῖκα, τῆς Τυρσηνίδος
Σκύλλης ἔχουσαν ἀγριωτέραν φύσιν.
Ἀλλ' οὐ γὰρ ἄν σε μυρίοις ὀνείδεσι
Δάκοιμι· τοιόνδ' ἐμπέφυκέ σοι θράσος·
Ἔρρ', αἰσχροποιὲ καὶ τέκνων μιαιφόνε.
Ἐμοὶ δὲ τὸν ἐμὸν δαίμον' αἰάζειν πάρα,
Ὃς οὔτε λέκτρων νεογάμων ὀνήσομαι,
Οὐ παῖδας, οὓς ἔφυσα κἀξεθρεψάμην,
Ἕξω προσειπεῖν ζῶντας, ἀλλ' ἀπώλεσα.
ΜΗ. Ἦ μάκρ' ἂν ἐξέτεινα τοῖσδ' ἐναντία
Λόγοισιν, εἰ μὴ Ζεὺς πατὴρ ἠπίστατο,
Οἷ' ἐξ ἐμοῦ πέπονθας, οἷά τ' εἰργάσω·
Σὺ δ' οὐκ ἔμελλες, τἄμ' ἀτιμάσας λέχη,

Ἰάσονα. 1331. Παρέστιον] ἀπέκτεινεν Ἄψυρτον τὸν ἀδελφὸν παρὰ τὴν ἑστίαν,

ἀνέχῃ ἔτι ἥλιόν καὶ γῆν αὐτὴν προσβλέπειν, ἔργον τηλικοῦτον εἰργασμένη; ἀλλ' ἀπολέσειέ σε Ζεύς· ἐγὼ δ' ὁ τάλας μόλις νῦν κατέμαθον, οἷον κακὸν εἱλόμην, ἡνίκα εἰς Ἑλληνικὸν οἶκον γυναῖκα βάρβαρον ἠγαγόμην, τὴν τοῦ πατρὸς καὶ τῆς πατρίδος ὅλως προδότιν γεγενημένην, ἀνθ' ὧν εἰς ἐμὲ τὸν σὸν ἀλάστορα ἔπεμψαν οἱ Θεοί· σὺ γὰρ πρῶτον μὲν Ἄψυρτον τὸν σαυτῆς ἀνελοῦσα ἀδελφὸν, οὕτως ἐπέβης τῆς Ἀργοῦς· ἔπειτα νυμφευθεῖσα ἐμὲ, ἀπέκτεινας οὓς ἐξ ἐμοῦ ἔτεκες, ἐκ ζηλοτυπίας, ὅτι ἑτέραν ἔτυχον ἐμαυτῷ συναρμόσας γυναῖκα· ὃ Ἑλληνὶς οὐκ ἂν πώποτ' ἀπετόλμησεν οὐδεμία, ὧν σε προειλόμην εἰς γάμον ὀλέθριον, οὐ γυναῖκα, ἀλλ' αὐτόχρημα λέαιναν τῆς ἐν Σικελίᾳ Σκύλλης ἀγριωτέραν τὴν φύσιν οὖσαν, ἀλλ' οὐκ ἄν, εὖ οἶδ' ὅτι, οὐδ' ἂν μυρία σου κατείπω τοιαῦτα, τὴν σὴν καρδίαν δάκνοιμι κατ' ἀξίαν· εἰς τοῦτο γὰρ θρασύτητος ἦλθες. Ἔρρε τοίνυν ἀνοσιουργὲ, καὶ τέκνον μιαιφόνε· ἐμοὶ δὲ λοιπὸν ἐποδύρεσθαι πρὸς τὴν τύχην, ὡς οὔτε τῆς νεογάμου ὀνήσομαι ἔτι νύμφης, οὔτε τοὺς παῖδας, οὓς γεννήσας ἀνεθρεψάμην, ἴδοιμι ἂν ἔτι ζῶντας.

ΜΗ. Ἦπουγε πολλὰ ἂν εἶχον εἰπεῖν πρὸς ταῦτα, εἰ μὴ Ζεὺς αὐτὸς συνίστωρ τοῦ πράγματος ἦν, οἷα ἀνθ' οἵων ἡμᾶς τυγχάνεις ποιήσας· πῶς γὰρ ἂν διεβίωσας χαίρων, τοιαῦτά με δράσας δεινά; πῶς δὲ καὶ ἤμελλες καταπροΐξεσθαί

---

* παρὰ τὸν βωμὸν, ἢ ἐν τῷ οἴκῳ· καίτοι κατ' ἄλλους ἐν τῷ πλεῖν φεύγουσα. 1334. Παρ' ἀνδρὶ τῷδε] οἷον, ἐμοί· 1337. ὧν γε πρόσθεν] ὧν προτιμήσας, ἠγαγόμην. 1340. Σκύλλης] τῆς κατὰ τὸ στενὸν τῆς Σικελίας τοὺς τοῦ Ὀδυσσέως ἀναρπασάσης ἑταίρους. 1348. Ἦ μάκρ' ἂν] οὕτως ἄμεινον ἀντὶ τοῦ

Τερπνὸν διάξειν βίοτον, ἐγγελῶν ἐμοὶ,
Οὔθ' ἡ τύραννος, οὔθ' ὁ σοὶ προσθεὶς γάμους
Κρέων ἀνατεὶ τῆσδέ μ' ἐκβαλεῖν χθονός.
Πρὸς ταῦτα καὶ λέαιναν, εἰ βούλει, κάλει,
Καὶ Σκύλλαν, ἣ Τυρσηνὸν ᾤκησεν σπέος.
Τῆς σῆς γὰρ, ὡς χρὴ, καρδίας ἀνθηψάμην.
ΙΑ. Καὐτή γε λυπῇ. καὶ κακῶν κοινωνὸς εἶ.
ΜΗ. Σάφ' ἴσθι· λύει δ' ἄλγος, ἢν σὺ μὴ 'γγελᾷς.
ΙΑ. Ὦ τέκνα, μητρὸς ὡς κακῆς ἐκύρσατε!
ΜΗ. Ὦ παῖδες, ὡς ὤλεσθε πατρῴᾳ νόσῳ!
ΙΑ. Οὐ τοίνυν ἡ 'μὴ δεξιά σφ' ἀπώλεσεν.
ΜΗ. Ἀλλ' ὕβρις, οἵ τε σοὶ νεοδμῆτες γάμοι.
ΙΑ. Λέχους σφέ γ' ἠξίωσας οὕνεκα κτανεῖν;
ΜΗ. Σμικρὸν γυναικὶ πῆμα τοῦτ' εἶναι δοκεῖς;
ΙΑ. Ἥτις γε σώφρων· σοὶ δὲ πάντ' ἐστὶ κακά.
ΜΗ. Οἵδ' οὐκέτ' εἰσί· τοῦτο γάρ σε δήξεται.
ΙΑ. Οἵδ' εἰσίν (οἴμοι) σῷ κάρᾳ μιάστορες.
ΜΗ. Ἴσασιν, ὅστις ἦρξε πημονῆς, θεοί.
ΙΑ· Ἴσασι δῆτα σήν γ' ἀπόπτυστον φρένα.
ΜΗ. Στυγῇ· πικρὰν δὲ βάξιν ἐχθαίρω σέθεν.
ΙΑ. Καὶ μὴν ἐγὼ σήν· ῥᾴδιοι δ' ἀπαλλαγαί.
ΜΗ. Πῶς οὖν; τί δράσω; κάρτα γὰρ κἀγὼ θέλω.
ΙΑ. Θάψαι νεκρούς μοι τούσδε καὶ κλαῦσαι πάρες.
ΜΗ. Οὐ δῆτ', ἐπεί σφας τῇδ' ἐγὼ θάψω χερὶ,
Φέρουσ' ἐς Ἥρας τέμενος ἀκραίας θεοῦ,
Ὡς μήτις αὐτοὺς πολεμίων καθυβρίσῃ,
Τύμβους ἀνασπῶν· γῇ δὲ τῇδε Σισύφου
Σεμνὴν ἑορτὴν καὶ τέλη προσάψομεν

μου, εἴτε σὺ, εἴθ' ἡ νύμφη, εἴτε Κρέων αὐτὸς, οἱ αὐθημερόν με τῆς γῆς ἐξελαύνοντες; πρὸς οὖν ταῦτ' εἴτε λέαιναν, εἴτε Σκύλλαν Τυρσηνικὴν βούλει με καλεῖν, κάλει· ἐγὼ δὲ ἓν οἶδα μόνον, τὴν σὴν καρδίαν οὐκ ἐπιπολαίως δακοῦσα.

ΙΑ. Μῶν σὺ οὐ λυπῇ ἐπὶ τοῖς αὐτοῖς ὁμοίως;

ΜΗ. Νὴ Δία· ἀλλὰ λύεταί μοι τὸ ἄλγος, σοῦ μηκέτι δυναμένου καταγελᾷν μου.

ΙΑ. Ὦ φίλτατα τέκνα, ὡς κακῆς ἐτύχετε μητρός.

ΜΗ. Ὦ τέκνα, ὡς ἀπολώλατε τῇ τοῦ πατρὸς κακίᾳ.

ΙΑ. Οὐκ· οὐ γὰρ ὑπὸ τῆς ἐμῆς χειρὸς κατεσφάγησαν.

ΜΗ. Ὑπὸ δὲ τῆς σῆς εἰς ἐμὲ ὕβρεως, γήμαντος ἑτέραν.

ΙΑ. Εἶθ' ἕνεκα γάμου τοὺς σαυτῆς ἀπέκτεινας παῖδας;

ΜΗ. Μικρὸν τοῦθ' ὑπολαμβάνεις γυναικὶ εἶναι πρὸς ὕβριν;

ΙΑ. Τῇγε σώφρονι· σοὶ δὲ πάντα κακὰ δοκεῖ εἶναι.

ΜΗ. Ἀλλ' οὗτοι σφαγέντες, τὴν σὴν δάκνουσι καρδίαν.

ΙΑ· Ἀλλ' εἰσὶν οὗτοι ἀλάστορες ἐπὶ τῆς κεφαλῆς σου.

ΜΗ. Ἴσασιν οἱ Θεοὶ τὸν ὑπάρξαντα χειρῶν ἀδίκων.

ΙΑ. Ἴσασι δήπου τὴν σὴν μιαρὰν ψυχήν.

ΜΗ. Μισῶ σε, καὶ τὴν πικράν σου ταύτην φωνὴν ἀποπτύω.

ΙΑ. Κἀγὼ τὴν σήν· ἀλλ' εἰ βούλει νῦν, ἀπαλλαγῶμεν.

ΜΗ. Ἐπὶ τίσι· κἀμὲ γὰρ τούτου πόθος ἔχει.

ΙΑ. Ἐπὶ τῇ δόσει τῶν νεκρῶν, ὡς κλαύσας αὐτοὺς θάψω.

ΜΗ. Μὰ Δί' οὔ. βούλομαι γὰρ αὐτῇ ἰδίᾳ χειρὶ ἐκείνους θάψαι, εἰς τὸ τῆς Ἥρας ἐκκομίσασα τέμενος, ὡς μήτις τῶν πολεμίων τυμβορυχήσῃ πρὸς ὕβριν· ἐγὼ δ' ἑορτὴν αὐτοῖς

---

Μακρὰν ἄν. 1354. Ἀνατεί,] καὶ ἀνατὶ, ἄνευ ἄτης καὶ βλάβης. 1356. Σπέος] οὕτως ἐξ ἑτέρας ἀντὶ τοῦ πέδον. 1376. Ἥρας ἀκραίας] τῆς ἐν ἀκροπόλει ἱδρυ-

Τὸ λοιπὸν ἀντὶ τοῦδε δυσσεβοῦς φόνου,
Αὐτὴ δὲ γαῖαν εἶμι τὴν Ἐρχθέως,
Αἰγεῖ συνοικήσουσα τῷ Πανδίονος.
Σὺ δ', ὥσπερ εἰκὸς, κατθανῇ κακὸς κακῶς,
Ἀργοῦς κάρα σὸν λειψάνῳ πεπληγμένος,
Πικρὰς τελευτὰς τῶν ἐμῶν ἰδὼν γάμων.

ΙΑ. Ἀλλά σ' Ἐριννὺς ὀλέσειε τέκνων,
Φονία τε Δίκη.

ΜΗ. Τίς δὲ κλύει σου θεὸς, ἢ δαίμων,
Τοῦ ψευδόρκου καὶ ξειναπάτα;

ΙΑ. Φεῦ, φεῦ, μυσαρὰ καὶ παιδολέτορ.

ΜΗ. Στεῖχε πρὸς οἴκους καὶ θάπτ' ἄλοχον.

ΙΑ. Στείχω, δισσῶν γ' ἄμορος τέκνων.

ΜΗ. Οὔπω θρηνεῖς· μένε καὶ γῆρας.

ΙΑ. Ὦ τέκνα φίλτατα

ΜΗ. Μητρί γε, σοὶ δ' οὔ.

ΙΑ. Κἄπειτ' ἔκτας;

ΜΗ. Σέ γε πημαίνουσ'.

ΙΑ. Οἴμοι· φιλίου χρήζω στόματος
Παίδων ὁ τάλας προσπτύξασθαι.

ΜΗ. Νῦν σφε προσαυδᾷς, νῦν ἀσπάζῃ,
Τότ' ἀπωσάμενος.

ΙΑ. Δός μοι, πρὸς θεῶν,
Μαλακοῦ χρωτὸς ψαῦσαι τέκνων.

ΜΗ. Οὐκ ἔστι· μάτην ἔπος ἔῤῥιπται.

ΙΑ. Ζεῦ, τάδ' ἀκούεις, ὡς ἀπελαυνόμεθ',
Οἷά τε πάσχομεν ἐκ τῆς μυσαρᾶς
Καὶ παιδοφόνου τῆσδε λεαίνης;
Ἀλλ' ὁπόσον γοῦν πάρα καὶ δύναμαι,
Τάδε καὶ θρηνῶ κἀπιθοάζω.
Μαρτυρόμενος δαίμονας, ὥς μοι
Τέκν' ἀποκτείνασ', ἀποκωλύεις

ἀνθ' ὧν ἠσέβηταί μοι, καὶ μυστήρια ἐν Κορίνθῳ διαπραξαμένη τελεῖσθαι, ἀπαρῶ ἐς τὴν Ἐρεχθέως, Αἰγεῖ αὐτοῦ τῷ Πανδίονος συνοικήσουσα· σὺ δὲ καταστρέψεις, κακῶς κακὸς ἀπολόμενος, ὥσπερ εἰκός ἐστι, ξύλῳ τῆς Ἀργοῦς καταγεὶς τὸ κρανίον, πικρὸν τέλος τῶν ἐμῶν ἰδὼν γάμων.

ΙΑ. Ἀλλ' ἡ Ἐριννὺς καὶ φονία τῶν παίδων δίκη ἀπολέσειέ σε.

ΜΗ. Τίς δὲ θεὸς, ἢ δαίμων ἀκούσειε τοῦ ψευδορκοῦντος καὶ τοὺς ξένους ἐξαπατῶντος;

ΙΑ. Φεῦ, φεῦ, μυσαρὰ καὶ παιδολέτωρ γύναι.

ΜΗ. Σὺ δὲ σπεῦδε οἴκαδε, τὴν νύμφην θάψων.

ΙΑ. Εἶμι, ἀλλ' ἀποστερηθεὶς δύο τέκνων.

ΜΗ. Οὐδὲν ταῦτα πρὸς ἄσοι ἔτι τὸ γῆρας οἴσει.

ΙΑ. Ὦ φίλτατοι παῖδες.

ΜΗ. Τῇ μητρίγε τοῦτο· σοὶ δ' οὐδαμῶς.

ΙΑ. Εἶτα πῶς τετόλμηκας κατασφάξαι ἐκείνους;

ΜΗ. Κακὸν τιμωρουμένη πατέρα.

ΙΑ. Αἶ, αἶ· πῶς ἂν ἀσπασαίμην τοὺς παῖδας.

ΜΗ. Νῦν ἀσπάζῃ, ἀπωθούμενος αὐτοὺς πρῴην;

ΙΑ. Δός μοι πρὸς θεῶν ἁπαλὰ περιπτύξασθαι σώματα.

ΜΗ. Οὐκ ἂν τύχοις· μάτην ἔῤῥιπται λόγος.

ΙΑ. Ὦ Ζεῦ, ἀκούεις, οἷα πάσχομεν ὑπὸ τῆς μυσαρᾶς παιδολετῆρος ταύτης λεαίνης; ἀλλ' ἔγωγε, ὅσον δύναμαι, ὀλοφύρομαι ταῦτα, θεοὺς μαρτυρόμενος, ὅτι ἀποκτείνασα, ἀποκωλύεις με, βουλόμενον ψαῦσαι καὶ θάψαι αὐτῶν τοὺς

---

μένης, ἔνθα καὶ ἑορτὴ ἔσται πένθιμος Κορινθίοις Ἥραια. 1384. Ἀργοῦς λειψάνῳ] φασὶ γὰρ αὐτὸν κοιμώμενον ἐν τῇ πρύμνῃ, ξύλον ἄνωθεν κατεπεσὸν ἀνε[λεῖν]

Ψαῦσαί τε χεροῖν, θάψαι τε νεκροὺς,
Οὓς μήποτ' ἐγὼ φύσας ὤφελον
Πρὸς σοῦ φθιμένους ἐπιδέσθαι.
ΧΟ. Πολλῶν ταμίας Ζεὺς ἐν Ὀλύμπῳ,
Πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί·
Καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
Τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός.
Τοιόνδ' ἀπέβη τόδε πρᾶγμα.

---

λε. 1412. Πολλῶν ταμίας Ζεὺς ἐν Ὀλύμπῳ] πλὴν τοῦ πρώτου τούτου ςίχου

νεκρούς· οὓς ὤφειλον μὴ γεννῆσαι, ὥστ' ἐπιδεῖν αὐτοὺς ὑπὸ σοῦ τεθνηκότας.

ΧΟ. Πολλὰ μὲν Ζεὺς ταμιεύει ἐν οὐρανῷ· πολλὰ δὲ ἐκτελεῖ τοῖς ἀνθρώποις ἀνέλπιστα ὄντα· ἃ μὲν, γὰρ ἤλπισαν πρὶν πολλάκις ἀτέλεστα ἔμεινεν· ὧν δὲ οὐδεμία ἐλπὶς ἦν ἔσεσθαι, τούτων πόρον ἔδειξεν ὁ θεός. Τοιοῦτον ἄρα καὶ τοῦτ' ἀπέβη τὸ πρᾶγμα.

---

ταὐτὸν τέλος ἀπέδωκε κἀν τῇ Ἑλένῃ, Βάκχαις, Ἀλκήστιδι, καὶ Ἀνδρομάχῃ.

# ΟΡΕΣΤΗΣ.

# ΥΠΟΘΕΣΙΣ.

Ὀρεστης, τὸν φόνον τοῦ πατρὸς μεταπορευόμενος, ἀνεῖλεν Αἴγισθον καὶ Κλυταιμνήστραν· μητροκτονῆσαι δὲ τολμήσας, παραχρῆμα τὴν δίκην ἔδωκεν, ἐμμανὴς γενόμενος. Τυνδάρεω δὲ, τοῦ πατρὸς τῆς ἀνῃρημένης, κατηγορήσαντος αὐτοῦ, ἔμελλον Ἀργεῖοι κοινὴν ψῆφον ἐκφέρεσθαι περὶ τοῦ τί δεῖ παθεῖν τὸν ἀσεβήσαντα· κατὰ τύχην δὲ Μενέλαος ἐκ τῆς πλάνης ὑποστρέψας, νυκτὸς μὲν Ἑλένην εἰσαπέστειλε· μεθ' ἡμέραν δὲ αὐτὸς ἦλθε· καὶ παρακαλούμενος ὑπ' Ὀρέςου βοηθῆσαι αὐτῷ, ἀντιλέγοντα Τυνδάρεων μᾶλλον ηὐλαβήθη. λεχθέντων δὲ λόγων ἐν τοῖς ὄχλοις, ἐπηνέχθη τὸ πλῆθος ἀποκτεῖναι Ὀρέστην. συνὼν δὲ τούτοις ὁ Πυλάδης, ὁ φίλος αὐτοῦ, συνεβούλευσε πρῶτον Μενελάου τιμωρίαν λαβεῖν, Ἑλένην ἀποκτείναντας. Αὐτοὶ μὲν οὖν ἐπὶ τούτοις ἐλθόντες διεψεύσθησαν τῆς ἐλπίδος, θεῶν τὴν Ἑλένην ἁρπασάντων· Ἠλέκτρα δὲ Ἑρμιόνην ἐπιφανεῖσαν, ἔδωκεν εἰς χεῖρας αὐτοῖς· οἱ δὲ ταύτην φονεύειν ἔμελλον· ἐπιφανεὶς δὲ Μενέλαος, καὶ βλέπων ἑαυτὸν ἅμα γυναικὸς καὶ τέκνου στερούμενον ὑπ' αὐτῶν, ἐπεβάλετο τὰ βασίλεια πορθεῖν· οἱ δὲ φθάσαντες, ὑφάψειν ἠπείλησαν· ἐπιφανεὶς δὲ Ἀπόλλων Ἑλένην μὲν ἔφησεν εἰς θεοὺς διακομίζειν, Ὀρέστῃ δὲ Ἑρμιόνην ἐπέταξε λαβεῖν, Πυλάδῃ δὲ Ἠλέκτραν συνοικίσαι, καθαρθέντι δὲ τοῦ φόνου, Ἄργους ἄρχειν.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει· ὁ δὲ Χορὸς συνέστηκεν ἐκ γυναικῶν Ἀργείων ἡλικιωτίδων Ἠλέκτρας, αἳ καὶ παραγίνονται, ὑπὲρ τῆς τοῦ Ὀρέστου πυνθανόμεναι συμφορᾶς· προλογίζει δὲ Ἠλέκτρα· τὸ δὲ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταστροφήν· ἡ δὲ διασκευὴ τοῦ δράματός ἐςι τοιαύτη· πρὸς τὰ τοῦ Ἀγαμέμνονος βασίλεια ὑπόκειται Ὀρέςης κάμνων, καὶ κείμενος ὑπὸ μανίας ἐπὶ κλινιδίου, ᾧ προσκαθέζεται πρὸς τοῖς ποσὶν Ἠλέκτρα· διαπορεῖται δὲ, τί δήποτε οὐ πρὸς τῇ κεφαλῇ καθέζεται· οὕτω δὲ μᾶλλον ἐδόκει τὸν ἀδελφὸν τημελεῖν, πλησιαίτερον προσκαθεζομένη· ἔοικεν οὖν διὰ τὸν Χορὸν ὁ ποιητὴς διασκευάσαι· διηγέρθη γὰρ ἂν ὁ Ὀρέστης, ἄρτι καὶ μόγις καταδαρθεὶς, πλησιαίτερον αὐτῷ τῶν κατὰ τὸν Χορὸν γυναικῶν παρισταμένων· ἔστι δὲ ὑπονοῆσαι τοῦτο, ἐξ ὧν φησὶν Ἠλέκτρα τῷ Χορῷ· Σῖγα, σῖγα, λεπτὸν ἴχνος ἀρβύλης· πιθανὸν οὖν ταύτην εἶναι τὴν πρόφασιν τῆς τοιαύτης διαθέσεως· τὸ δρᾶμα τῶν ἐπὶ σκηνῆς εὐδοκιμούντων· χείριστον δὲ τοῖς ἤθεσι· πλὴν γὰρ Πυλάδου, πάντες φαῦλοι ἦσαν.

# ΑΛΛΩΣ.

ΟΤΙ κατὰ τῶν Τρώων ἡ Ἑλλὰς ὥρμησεν, Ἀγαμέμνων στρατηγὸς ᾑρέθη παντὸς τοῦ στόλου, ἅτε τῶν ἄλλων προέχειν δοκῶν ἀρχῆς τε μεγέθει καὶ πλήθει νεῶν· ἑκατὸν γὰρ ναῦς εἰς τὴν τοῦ ςόλου συντέλειαν εἰσέφερε. καὶ ὃς μέλλων

ἀνάγεσθαι, καταλείπει τῶν οἴκοι πραγμάτων αὐτοῦ ἐπιμελητὴν καὶ προστάτην Αἴγισθον· ἐπεὶ δὲ πολὺς ἠνύετο χρόνος, καὶ Ἀγαμέμνων οὐκ ἔτ' ἐπανήει, οἷα δὴ πολλὰ γίνεται, συνῆλθεν ἀθέσμως Αἴγισθος Κλυταιμνήστρᾳ, τῇ τοῦ Ἀγαμέμνονος γυναικί· μαθόντες δὲ Κλυταιμνήστρα καὶ Αἴγισθος τήν τε Τροίαν ἁλοῦσαν, καὶ Ἀγαμέμνονα μετὰ τῶν ἄλλων οἴκαδε πλέοντα, βουλεύονται τοῦτον τῆς οἰκίας ἐπειλημμένον ἀποκτενεῖν, ἵνα μὴ τούτῳ, γνωσθέντος τοῦ σφῶν πονηρεύματος, αὐτοὶ παραδοθεῖεν θανάτῳ· ὃ δὴ καὶ ἤνυσαν· καὶ ἐπανελθόντα τὸν Ἀγαμέμνονα ἀποκτείνουσι· χιτῶνα γὰρ μὴ διεξόδους κεφαλῆς καὶ χειρῶν ἔχοντα μετὰ τὸ λουτρὸν ἐνδιδύσκουσι, καὶ ἐν τῷ πελέκει τοῦτον φονεύουσι· μεταξὺ γοῦν τοῦ Ἀγαμεμνονείου φόνου Ἠλέκτρα τὸν ἀδελφὸν Ὀρέστην, ἵνα μὴ καὶ οὗτος ἀναιρεθείη, κλέψασα καί τινι δοῦσα παιδαγωγῷ εἰς Φωκίδα παρὰ Στρόφιον πέμπει, φίλον καὶ συγγενῆ τοῦ πατρὸς αὐτῆς τυγχάνοντα· Ὀρέστης δὲ εἰς ἄνδρας ἥκων, παραλαβὼν Πυλάδην τὸν παῖδα Στροφίου, ἐφ' ᾧ μετ' αὐτοῦ Αἴγισθον καὶ Κλυταιμνήστραν τιμωρήσεται, καταλαμβάνει λάθρα τὸ Ἄργος, καὶ χρησμὸν παρὰ τοῦ Πυθίου δεξάμενος τοῦτο ποιεῖν, πρῶτον μὲν ἔρχεται πρὸς τὸν τοῦ πατρὸς τάφον καὶ θύει, εἶτά τι μηχανᾶται τοιόνδε· τὸν γὰρ παιδαγωγὸν, ᾧ παρὰ τῆς Ἠλέκτρας πάλαι πιστευθεὶς, ἧκεν, ὡς ἔφημεν, εἰς τὴν Φωκίδα, τοῦτον προπέμπει εἰς Αἴγισθον καὶ Κλυταιμνήστραν λέγοντα, ὡς Ὀρέστης ἐν Πυθικοῖς ἄθλοις ἀνηρέθη, καὶ νῦν ἄνδρες τὰ τούτου ὀστᾶ ἐν κιβωτίῳ κομίζουσιν, ἵνα πατρῴων γοῦν τάφων τύχῃ· ὑπαχθέντες δὲ τῇ τοιαύτῃ ἀπάτῃ Κλυταιμνήστρα καὶ Αἴγισθος, ἵνα μὴ μακρολογῶ, ἀναιροῦνται ὑπὸ Ὀρέστου, καὶ Πυλάδου, πρώτη μὲν Κλυταιμνήστα, ὕστερος δὲ Αἴγισθος. Μητροκτονήσας τοίνυν Ὀρέστης, Ἐριννύσι παραχρῆμα τὴν δίκην ἔδωκε μανείς. Μενέλαος δὲ ἐκ Τροίας ἐλθὼν (ὕστερος γὰρ Ἀγαμέμνονος ἐπανῆκε) καὶ τῷ Ναυπλίῳ λιμέ-

νι προσχὼν, νυκτὸς μὲν Ἑλένην εἰσπέμπει πρὸς Μυκήνας· μεθ' ἡμέραν δὲ αὐτὸς εἰσήει, καὶ τὸν Ὀρέστην μεμηνότα εὑρὼν, παρακαλεῖται μὲν ὑπὸ Ὀρέστου καὶ Ἠλέκτρας σῶσαι αὐτούς· ὁ γὰρ τῆς Κλυταιμνήστρας πατὴρ Τυνδάρεως πάντας Ἀργείους κατ' αὐτῶν ἐκίνησεν, ἵνα τούτους ὡς μητροκτόνους ἀνέλοιεν· ὡς δὲ τὸν Τυνδάρεω ἀντιλέγοντα εὗρε, καὶ ἅμα καὶ αὐτὸς ὑπολογιζόμενος, ὡς, εἰ Ὀρέστης ἀναιρεθείη, βασιλεὺς αὐτὸς ἔσται τοῦ Ἄργους, οὐκ ἤθελεν Ὀρέστῃ τε καὶ τῇ ἀδελφῇ συμμαχεῖν, ἀλλὰ τὸ τῶν Ἀργείων πλῆθος ἔλεγεν εὐλαβεῖσθαι· πρῶτον μὲν οὖν Ὀρέστης καὶ Τυνδάρεως διελέχθησαν πρὸς ἀλλήλους, ὁ μὲν ὡς οὐ δικαίως ἀνεῖλε Κλυταιμνήστραν δεικνὺς, Ὀρέστης δὲ, ὡς καὶ μάλα δικαίως, εἰ καὶ μυριάκις αὐτὴν ἔδει τεθνάναι. Ἔπειτα, ἐκκλησίας ἐν ἀκροπόλει Μυκηνῶν γενομένης, καὶ συνιόντων τῶν προὐχόντων ἐν Ἄργει, Ὀρέστης ὑπὸ Πυλάδου φοράδην ἐκεῖσε κομίζεται· λόγων δὲ πολλῶν γινομένων, καὶ τῶν μὲν βοηθούντων Ὀρέστῃ, τῶν δὲ ἐναντιουμένων, τέλος ἐνίκησαν οἱ κακοί· καὶ κατακρίνεται Ὀρέστης αὐτός τε καὶ ἡ ἀδελφὴ, λίθοις βληθέντες, ἀποθανεῖν. Ὀρέστης δὲ ἐπηγγείλατο πρὸς τὸ πλῆθος, αὐτοχειρίᾳ ἑαυτὸν καὶ τὴν ἀδελφὴν ἀποσφάξαι· καὶ ὁ φίλος Πυλάδης καὶ παρὰ τὴν συμφορὰν φίλος ἔμεινε, καὶ κοινωνεῖν αὐτῷ τῆς τελευτῆς ἠξίωσε προθυμότατα· ἐπεὶ δὲ σφίσι τοῦτο παθεῖν προὔκειτο, συμβουλεύει Πυλάδης, Μενέλεω πρῶτον τιμωρίαν λαβεῖν, λέγων, ὡς οὐ δεῖ τοῦτον τρυφᾷν ἡμῶν ἀπιόντων· ὅθεν εἰσελθόντες εἴσω τῶν βασιλείων Ἑλένης δῆθεν δεησόμενοι, ἵνα μὴ περιΐδῃ σφᾶς ὀλλυμένους, ἀλλὰ χεῖρα ὀρέξῃ καὶ Μενέλεων καὶ ἄκοντα πρὸς σωτηρίαν κινήσῃ, ἐπεὶ ταύτην φονεύειν ἔμελλον, ταύτης μὲν ἥμαρτον, ὑπὸ Ἀπόλλωνος ἁρπασθείσης κελεύσει Διὸς, Ἑρμιόνην δὲ συλλαμβάνουσιν, ἐκ τοῦ τῆς Κλυταιμνήστρας τάφου ἐπανήκουσαν, πρῴην γὰρ αὐτὴν Ἑλένη πεπόμφει, τῇ ἀδελφῇ θύσουσαν· λαβόντες δὲ Ἑρμιόνην καὶ ἔνδοθεν τας τῶν βασιλείων, ἀσφαλίσαντες

πύλας, ἀνῆλθον ἐν μετεώρῳ τῶν βασιλείων, ἔχοντές τε τὴν Ἑρμιόνην καὶ ξίφος πρὸς τῇ δέρῃ αὐτῆς, καὶ μέλλοντες μετὰ τὴν ταύτης διαχείρισιν, ἂν μὴ σφᾶς Μενέλεως σώσῃ, καὶ τοὺς δόμους ὑφάψειν πυρί. Μενέλεως μὲν ὑπὸ τούτων Ἑλένην τεθνάναι μαθὼν, ἵνα κἂν σώσῃ τὴν παῖδα ἐλθὼν, ἤρξατο πορθεῖν τὰ βασίλεια, ἐπιφανεὶς δὲ Ἀπόλλων διήλλαξε τούτους, Ἑλένην μὲν εἰς οὐρανοὺς φήσας διακομίσαι, Μενέλεων δὲ ἑτέραν λαβεῖν κελεύσας γυναῖκα, Ὀρέστῃ δὲ Ἑρμιόνην συνάψαι μετὰ τοῦ φόνου κάθαρσιν· ἧς Ἀθήνησιν ἔτυχε, μετὰ Ἐριννύων εἰς Ἄρειον πάγον κριθεὶς, ὅτε καὶ καταδικασθῆναι μέλλοντα ὑπὸ πάντων Θεῶν, Ἀθηνᾶ ψῆφον βαλοῦσα νικῆσαι τοῦτον ἐποίησε· καὶ οὕτως Ὀρέστης ὕστερον Ἑρμιόνην γυναῖκα λαμβάνει κατὰ τοῦ Ἀπόλλωνος θέσπισμα, καὶ Ἄργους κρατεῖ, Πυλάδῃ δὲ Ἠλέκτραν δίδωσι, τὴν καὶ πρότερον ὑπ᾽ αὐτοῦ κατεγγυηθεῖσαν τούτῳ. Ἰστέον δὲ, ὅτι πᾶσα τραγῳδία σύμφωνον ἔχει καὶ τὸ τέλος· ἐκ λύπης γὰρ ἄρχεται καὶ εἰς λύπην τελευτᾷ· τὸ παρὸν δὲ δρᾶμα ἐστὶν ἐκ τραγικοῦ κωμικόν. λήγει γὰρ εἰς τὰς παρ᾽ Ἀπόλλωνος διαλλαγὰς ἐκ συμφορῶν εἰς εὐθυμίαν κατηντηκός· ἡ δὲ κωμῳδία γέλωσι καὶ εὐφροσύναις ἐνύφανται.

ΤΑ

# ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

ΗΛΕΚΤΡΑ.
ΕΛΕΝΗ.
ΕΡΜΙΟΝΗ.
ΧΟΡΟΣ.
ΟΡΕΣΤΗΣ.
ΜΕΝΕΛΑΟΣ.
ΤΥΝΔΑΡΕΩΣ.
ΠΥΛΑΔΗΣ.
ΑΓΓΕΛΟΣ
ΦΡΥΞ.
ΑΠΟΛΛΩΝ.

# ΟΡΕΣΤΗΣ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΚΕΙΜΕΝΟΝ

### ΗΛΕΚΤΡΑ, ΕΛΕΝΗ, ΟΡΕΣΤΗΣ, ΧΟΡΟΣ.

ΟΥΚ ἔστιν οὐδὲν δεινὸν, ὧδ' εἰπεῖν ἔπος,
Οὐδὲ πάθος, οὐδὲ συμφορὰ θεήλατος,
Ἧς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπου φύσις.
Ὁ γὰρ μακάριος, (κοὐκ ὀνειδίζω τύχας,)
Διὸς πεφυκὼς, ὡς λέγουσι, Τάνταλος,

---

1. Οὐκ ἔστιν οὐδὲν δεινὸν] συναπτέον τοῦτ' ἀμέσως πρὸς τὸ πάθος, ἵνα ᾖ τὸ, ὧδ' εἰπεῖν ἔπος, ὡς ἐν παρενθέσει, ἀντὶ τοῦ, ὡς ἐν γένει εἰπεῖν· οὕτω γὰρ κἀν τῷ Ἱππολύτῳ στίχ. 1176. βουλομένη γὰρ ἡ Ἠλέκτρα τὰ τοῦ ἑαυτῆς γένους ἐκτραγῳδῆσαι κακὰ, ἄρχεται ἀπὸ τῶν γενικῶν, διελοῦσα τὸ δεινὸν εἰς πάθη, καὶ συμφοράς· πάθη μὲν τὰ τοῦ σώματος καὶ οἰκειακὰ, συμφορὰς δὲ τὰς ἔξωθεν ἀνάγκη τύχης προσπιπτούσας θλίψεις. 4. κοὐκ ὀνειδίζω τύχας] ὡσεὶ ἔλεγε, μακάριον φημὶ αὐτὸν ἐφημοῦσα, ἵνα μὴ ὀνομάσασα κακοδαίμονα, ἐξονειδίσω αὐτῷ τὴν δυστυχίαν ἐν προοιμίοις. 5. Διὸς πεφυκώς] Τμώλου καὶ Πλουτοῦς Τάνταλον γενέσθαι φασί. Ταντάλου δὲ καὶ Εὐριανάσσης, Πέλοπα, Βροτέαν, Νιόβην. Πέλοπος δὲ καὶ Ἱπποδαμείας, Ἀτρέα. Θυέστην, Δίαν, Κυνόσουρον, Κορίνθιον, Ἵππαλμον, Ἵππασον, Κλέωνα, Ἀργεῖον, Ἀλκάθωνα, Αἴλιον, Πιτθέα, Τροιζῆνα. Νικίππην, Λυσιδίκην· ἔκτινος δὲ Ἀξιόχης. Χρύσιππον νόθον. Τούτῳ δὲ φθονήσαντες οἱ Πελοπίδαι, ὡς προκρινομένῳ παρὰ τῷ πατρὶ, ἀναπείθουσι μετ

# ΟΡΕΣΤΗΣ.

## ΠΡΑΞΙΣ ΠΡΩΤΗ.

### ΠΑΡΑΦΡΑΣΙΣ

### ΗΛΕΚΤΡΑ, ΕΛΕΝΗ, ΟΡΕΣΤΗΣ, ΧΟΡΟΣ.

ΟΥΚ ἔστιν ἐν τῷ βίῳ οὕτω δεινὸν οὐδὲν, συλλήβδην εἰπεῖν, οὔτε πάθος, οὔτε θεήλατος συμφορὰ, ἣν οὐκ ἂν ὑποσχίη ἡ ἀνθρώπινος φύσις· μαρτυρεῖ δέ μου τῷ λόγῳ Τάνταλος ὁ μακάριος (οὐ γὰρ ἂν βουλοίμην ὀνειδίζειν

---

τὰ τῆς μητρὸς τοὺς πρεσβυτάτους Ἀτρέα καὶ Θυέστην ἀνελεῖν τὸν παῖδα· οἱ δὲ ἀποκτείναντες, ἔῤῥιψαν αὐτὸν εἰς φρέαρ. Πέλοψ δὲ, ὑποπτεύσας τοὺς παῖδας, ἐκβάλλει αὐτοὺς τῆς πατρίδος, ἐπαρασάμενος· τῶν δὲ Ἡρακλειδῶν κατασχόντων τὴν Πελοπόννησον, ἔχρησεν ὁ θεὸς αὐτοὺς μὲν ἀποστῆναι Λακεδαίμονος· βασιλεῦσαι δὲ Πελοπίδας. Οὕτως οὖν μετὰ τὸν θάνατον Πέλοπος, ἐλθόντες οἱ παῖδες ἄμφω ἀντεποιοῦντο τῆς βασιλείας ἑκάτερος· Συνέθεντο τοίνυν. ὁπότερος αὐτῶν δείξειε τέρας τι, τοῦτον γενέσθαι ἐγκρατῆ τῶν πραγμάτων· οὕτως εὑρεθέντος ἀρνὸς χρυσομάλλου ἐν τοῖς ποιμνίοις, πεμφθέντος ὑπὸ τοῦ Ἑρμοῦ, καὶ μέλλοντος Ἀτρέως δεῖξαι τοῦτο τοῖς δικασταῖς, Ἀερόπη ἡ τούτου γυνὴ, μοιχευομένη Θυέστῃ τῷ ἀδελφῷ Ἀτρέως, κλέψασα τοῦτο, παρέδωκεν ἐκείνῳ· ὁ δὲ, δείξας τοῦτο τοῖς δικασταῖς, ἐκράτησε τῆς ἀρχῆς. Ἀτρεὺς δὲ χαλεπήνας, τήν-τε Ἀερόπην ἐκόλασεν ἐπὶ τούτοις, ῥίψας αὐτὴν εἰς τὴν θάλασσαν, καὶ τοὺς τρεῖς υἱοὺς τοῦ Θυέστου, Ἀγλαὸν, Ὀρχομενὸν, καὶ Κάλιον σφάξας, παρέθηκεν τράπεζαν τῷ πατρὶ, ὂν καὶ ἀπέκτεινεν ὕστερον· ἐντεῦθεν ἄρα ὁ ἥλιος φρίξας ἐπὶ τῷ παρανόμῳ, ἐδίφρευσε μίαν ἡμέραν ἀνάπαλιν ἀφ' ἑσπέρας πρὸς ἀνα-

Κορυφῆς ὑπερτέλλοντα δειμαίνων πέτρον,
Αέρι ποτᾶται, καὶ τίνει ταύτην δίκην,
Ὡς μὲν λέγουσιν, ὅτι θεοῖς, ἄνθρωπος ὢν,
Κοινῆς τραπέζης ἀξίωμ' ἔχων ἴσον,
Ἀκόλαστον ἔσχε γλῶσσαν, αἰσχίστην νόσον·
Οὗτος φυτεύει Πέλοπα· τοῦ δ' Ἀτρεὺς ἔφυ,
Ὧ στέμματα ξήνασ' ἐπέκλωσεν θεὰ
Ἔριν, Θυέστῃ πόλεμον ὄντι συγγόνῳ
Θέσθαι· τί τἄῤῥητ' ἀναμετρήσασθαί με δεῖ;
Ἔδαισε δ' οὖν νιν, τέκν' ἀποκτείνας, Ἀτρεύς·
Ἀτρέως δὲ, (τὰς γὰρ ἐν μέσῳ σιγῶ τύχας,)
Ὁ κλεινὸς, εἰ δὴ κλεινὸς, Ἀγαμέμνων ἔφυ
Μενέλεώς τε Κρήσσης μητρὸς Ἀερόπης ἄπο.
Γαμεῖ δ' ὁ μὲν δὴ τὴν θεοῖς στυγουμένην
Μενέλαος Ἑλένην, ὁ δὲ Κλυταιμνήστρας λέχος
Ἐπίσημον εἰς Ἕλληνας Ἀγαμέμνων ἄναξ·
Ὧ παρθένοι μὲν τρεῖς ἔφυμεν ἐκ μιᾶς,
Χρυσόθεμις, Ἰφιγένειά τ', Ἠλέκτρα τ' ἐγὼ,
Ἄρσην τ' Ὀρέστης μητρὸς ἀνοσιωτάτης,
Ἣ πόσιν ἀπείρῳ περιβαλοῦσ' ὑφάσματι
Ἔκτεινεν· ὧν δ' ἕκατι παρθένῳ λέγειν

---

τολάς· καὶ σὺν αὐτῷ αἱ Πλειάδες τὴν ἐναντίαν ἐβάδισαν· 6. Ὑπερτέλλοντα] οἱ μὲν λέγουσι ἐν τῷ ἅδῃ κολάζεται Τάνταλος δίψῃ, ἔνθα κύπτων πιόμενος εἰς τὴν λίμνην, ἁμαρτάνει ἀεὶ, τοῦ ὕδατος φεύγοντος, καὶ ἄνωθεν ἀνακύπτοντος, πέτρος ἠωρημένος ἀπειλεῖ καταπεσεῖσθαι κατὰ τῆς αὐτοῦ κεφαλῆς· Εὐριπίδης δ' ἐν τῷ ἀέρι ποιεῖ αὐτὸν κολαζόμενον, καὶ τὸν λίθον ἐκ χρυσῶν ἁλύσεων ὑπὲρ κεφαλῆς αἰωρούμενον ἔχουτα, ἵνα μὴ, φασὶν, ἔχῃ πρὸς τίνα διαλέξηται, σιωπῇ τὴν γλωσσαλγίαν αὐτοῦ τοῦ Διὸς μετελθόντος. 12. Ὧ στέμ-

αὐτῷ τὴν συμφορὰν) ὃς παῖς γενόμενος, φασὶ, τοῦ Διὸς, τὸν ὑπὲρ τῆς κεφαλῆς αὐτοῦ αἰωρούμενον λίθον δεδιὼς, δίκην δίδωσι, περιστρομβούμενος μετέωρος κατὰ τὸν αἰθέρα, ὅτι ὁμοτράπεζος γενόμενος τοῖς Θεοῖς, θνητὸς ὢν, ἀχαλήνωτον ἔσχε γλῶσσαν, τοῦτο δὴ τὸ πάντων αἴσχιστον νόσημα. Τούτου οὖν γίγνεται Πέλοψ· Πέλοπος δὲ, Ἀτρεύς· ᾧ γενομένῳ ἐπέκλωσε ξήνασα ἡ Θεὸς στέμμα ἔριδος πρὸς Θυέστην τὸν ἀδελφὸν, ὥστε πόλεμον ποιήσασθαι πρὸς αὐτόν· καὶ τί με δεῖ τὰ πολλὰ λέγοντα μεταξὺ διατρίβειν; εἱστίασεν αὐτὸν ὁ Ἀτρεὺς, ἀποκτείνας αὐτῷ τὰ τέκνα. Ἀτρέως δ' αὖ, ἵνα τἀν μέσῳ παρῶ, γίγνεται ἐξ Ἀερόπης τῆς Κρήσσης Ἀγαμέμνων ὁ περικλεὴς, εἴγε δὴ τοιοῦτός ἐστι ταῖς ἀληθείαις, καὶ Μενέλαος· ὧν ὁ μὲν Ἑλένην γαμεῖ τὴν Θεοστυγῆ· Ἀγαμέμνων δὲ, τὴν περιβόητον Κλυταιμνήστραν· ᾧ θυγατέρες μὲν ἐγενόμεθα τρεῖς, Χρυσόθεμις, Ἰφιγένεια, καὶ τρίτη ἐγώ· ἄῤῥην δὲ μόνος Ὀρέστης, ἐκ μητρὸς ἀνοσιωτάτης· ἣ τὸν ἑαυτῆς ἀπέκτεινεν ἄνδρα, ἀδιεξόδῳ ἀποπνίξασα ἱματίῳ· ἐφ' ὅτῳ δὲ, οὐκ εὐπρεπὲς ἔμοιγε λέγειν, παρθένῳ γε οὔσῃ· οὐ γὰρ

---

ματα ξήνασα] εἴτε ἡ Ἔρις, εἴτε ἡ Κλωθώ· καὶ Ὅμηρος γὰρ ἐποίησε τοὺς θεοὺς κλώθειν.

» Τῷ οἱ ἐπεκλώσαντο θεοὶ οἶκονδε νέεσθαι.

στέμματα δὲ ἐννοεῖ τὴν βασιλείαν· δι' ἣν ἡ ἔρις τοῖς ἀδελφοῖς· ὁμοίαν δ' ἔχει τὴν μεταφορὰν καὶ τὸ, ξήνασα, πρὸς τὸ κλώθειν. 25. Ἀπείρῳ] περᾶν ἄνωθεν τὴν κεφαλὴν οὐκ ἔχοντι ἔξοδον· ἐν γὰρ τῷ λουτρῶνί φασιν ἀποπνίξαι αὐτὸν τὴν Κλυταιμνήστραν, τοιῷδε χιτῶνι περιβαλοῦσαν· οἱ δὲ, καὶ Αἴγισθον ἄνωθεν ἀράξαντα πελέκει τὴν κεφαλὴν παρεισάγουσιν. Ὅμηρος δὲ (Ὀδ. Δ'. στίχ. 517.) ἐν τῷ τοῦ Αἰγίσθου φονευθῆναί φησιν Ἀγαμέμνονα παρ' αὐτοῦ, ἀπο-

Οὐ καλόν· ἐῶ τοῦτ' ἀσαφὲς ἐν κοινῷ σκοπεῖν·
Φοίβου δ' ἀδικίαν μὲν τί δεῖ κατηγορεῖν;
Πείθει δ' Ὀρέστην μητέρ', ἥ σφ' ἐγείνατο,
Κτεῖναι, πρὸς οὐχ ἅπαντας εὔκλειαν φέρον.
Ὅμως δ' ἀπέκτειν', οὐκ ἀπειθήσας θεῷ·
Κἀγὼ μετέσχον, οἷα δὴ γυνὴ, φόνου,
Πυλάδης θ', ὃς ἡμῖν ξυγκατείργασται τάδε.
Ἐντεῦθεν ἀγρίᾳ ξυντακεὶς νόσῳ, νοσεῖ
Τλήμων Ὀρέστης· ὁ δὲ πεσὼν ἐν δεμνίοις
Κεῖται, τὸ μητρὸς δ' αἷμά νιν τροχηλατεῖ
Μανίαισιν· ὀνομάζειν γὰρ αἰδοῦμαι θεὰς
Εὐμενίδας, αἳ τόνδ' ἐξαμιλλῶνται φόβῳ.
Ἕκτον δὲ δὴ τόδ' ἦμαρ, ἐξ ὅτου σφαγαῖς
Θανοῦσα μήτηρ, πυρὶ καθήγνισται δέμας·
Ὧν οὔτε σῖτα διὰ δέρης ἐδέξατο,
Οὐ λούτρ' ἔδωκε χρωτί· χλανιδίων δ' ἔσω
Κρυφθεὶς, ὅταν μὲν σῶμα κουφισθῇ νόσου,
Ἔμφρων δακρύει, ποτὲ δὲ δεμνίων ἄπο
Πηδᾷ δρομαῖος, πῶλος ὣς ἀπὸ ζυγοῦ.
Ἔδοξε δ' Ἄργει τῷδε, μήθ' ἡμᾶς στέγαις,
Μὴ πυρὶ δέχεσθαι, μήτε προσφωνεῖν τινὰ
Μητροκτονοῦντας· κυρία δ' ἥδ' ἡμέρα,
Ἐν ᾗ διοίσει ψῆφον Ἀργείων πόλις,
Εἰ χρὴ θανεῖν νὼ λευσίμῳ πετρώματι,

---

νοσοῦντα ἀπὸ τοῦ Ἰλίου. 28. Κατηγορεῖν.] σεμνῶς πως καταμέμφεται τὸν θεόν. Ὀρέστης γὰρ μετὰ τὸν φόνον τοῦ πατρὸς δεκάτῳ περίπου ἔτει ἐλθὼν εἰς Δελφοὺς, δίκας ἀπήτει παρὰ τοῦ Ἀπόλλωνος τοῦ πατρῴου φόνου, ὃ δὲ ἔχρησεν αὐτῷ ἀνελεῖν τὴν μητέρα· γενομένου δὲ τούτου, μαίνεται Ὀρέστης, ὡς ἀνοσίου γενομένης μητροκτονίας. 30. Φέρον] ἐν ἄλλοις δὲ κεῖται φέρων· ἀπο-

χαλεπὸν οὐδενὶ καὶ ἄῤῥητον τοῦτο ξυμβαλεῖν, σκοπουμένῳ· Περὶ δὲ τοῦ Φοίβου τί δεῖ λέγειν, ὅπως ἠδίκησε, πείσας Ὀρέστην τὴν ἑαυτοῦ ἀποκτεῖναι μητέρα; ἔργον δήπου γε τοῦτο πολλὴν πρὸς ἅπαντας φέρον δύσκλειαν· ἀλλ᾽ ὅμως ἔπραξε τοῦτο, πεισθεὶς τῷ χρησμῷ, ἐμέ τε αὐτὴν, καὶ Πυλάδη συμπαραλαβὼν τοῦ πράγματος κοινωνούς. Ἐντεῦθεν ἄρα νόσῳ ληφθεὶς ὁ τλήμων δεινοτάτῃ, κεῖται ἤδη κλινήρης, τῷ πάθει τηκόμενος· τὸ γὰρ μητρῷον αἷμα ἐκχυθὲν, οἰστρηλατεῖ αὐτὸν δεινῇ μανίᾳ, ἵνα μὴ εἴπω Εὐμενίδας αὐτὰς, ὑφ᾽ ὧν ἐξελαύνεται· ἕκτη δὲ ἡμέρα, ἐξ ὅτου σφαγεῖσα ἡ μήτηρ, ταφῇ παραδέδοται, οὔτε σῖτόν τι προσηνέγκατο, οὔτε λουτροῖς τὸ σῶμα ἐδέξατο θεραπεῦσαι· ἀλλὰ χλανιδίοις ὑποδὺς, ἀνασφήλας μὲν τῆς νόσου ποτὲ, καὶ ἔμφρων καταστὰς, τήκεται δάκρυσι· ληφθεὶς δὲ τῷ πάθει, ἀναπηδᾷ, ὥσπερ πῶλος τῆς κλίνης· ἐξ ὧν ψῆφος ἐκείνη ἐκράτησε παρ᾽ Ἀργείοις, μήθ᾽ ὁμωρόφιον ἡμῖν γενέσθαι, μήτε πυρὸς μεταδοῦναι, μήθ᾽ ὅλως προσειπεῖν ἡμᾶς, μητραλοίας γεγενημένους· καὶ νῦν ἡ τήμερον ἡμέρα κρινεῖ περὶ ἡμῶν δυοῖν θάτερον, ἢ καταλευσθῆναι, ἢ ξίφει σφαγέντας ἀποθανεῖν· ὕπεστι

---

δίδοται δὲ μᾶλλον, εἰς τὸ ἔργον τὸ, κτεῖναι. 32, Οἷα δὴ γυνὴ] ἀσθενὴς πρὸς σφαγήν· συμπράξασα γνώμῃ δηλονότι, οὐ μὴν χρησαμένη καὶ ξίφει. 33. Πυλάδης παῖς ἦν Στροφίου τοῦ Φωκέως, καὶ Κυνδραγόρας τῆς ἀδελφῆς Ἀγαμέμνονος. διὸ καὶ Ὀρέστης μετὰ τὸν θάνατον τοῦ πατρὸς πρὸς Στρόφιον δοκεῖ καταφυγεῖν, ὅπου τὴν πρὸς Πυλάδην ἀείμνηστον ἐποιήσατο φιλίαν. 40. Πυρὶ καθήγνισται δέμας] ἐκάη καὶ ἐτάφη, ἁπλῶς τοῦτο. 41. Ὧν] Ἀφ᾽ ὧν, ἢ μᾶλλον, ἐφ᾽ ὧν ἕξ ἡμερῶν· χρονικὸν γάρ. 47. Μήτε πυρί·] πότερον, πρὸς τῷ αὐτῷ πυρὶ συγκαθεσθῆναι, ἢ μὴ ἐᾷν ἡμᾶς ἀνάπτειν ἀπ᾽ αὐτῶν· τὸ δεύτερον ἔοικε· οὕτω δὲ καὶ κατωτέρω 50. Νώ... θήξαντε] δυϊκὸν, ἐγώ τε καὶ Ὀ-

Ἢ φάσγανον θήξαντ' ἐπ' αὐχένος βαλεῖν.
Ἐλπίδα δὲ δήτιν' ἔχομεν, ὥςε μὴ θανεῖν.
Ἥκει γὰρ ἐς γῆν Μενέλεως Τροίας ἄπο,
Λιμένα δὲ Ναυπλίειον ἐκπληρῶν πλάτη
Ἀκταῖσιν ὁρμεῖ, δαρὸν ἐκ Τροίας χρόνον
Ἄλαισι πλαγχθείς· τὴν δὲ δὴ πολύστονον
Ἑλένην, φυλάξας νύκτα, μή τις εἰσιδὼν
Μεθ' ἡμέραν στείχουσαν, ὧν ὑπ' Ἰλίῳ
Παῖδες τεθνᾶσιν, ἐς πέτρων ἔλθῃ βολὰς,
Προὔπεμψεν ἐς δῶμ' ἡμέτερον· ἔστιν δ' ἔσω
Κλαίουσ' ἀδελφὴν ξυμφορᾶς τε δωμάτων.
Ἔχει δὲ δή τιν' ἀλγέων παραψυχήν·
Ἣν γὰρ κατ' οἴκους ἔλιφ', ὅτ' ἐς Τροίαν ἔπλει,
Παρθένον, ἐμῇ τε μητρὶ παρέδωκεν τρέφειν
Μενέλαος ἀγαγὼν Ἑρμιόνην Σπάρτης ἄπο,
Ταύτῃ γέγηθε κἀπιλήθεται κακῶν·
Βλέπω δὲ πᾶσαν εἰς ὁδὸν, πότ' ὄψομαι
Μενέλαον ἥκονθ'· ὡς τάγ' ἄλλ' ἐπ' ἀσθενοῦς
Ῥώμης ὀχούμεθ', ἤν τι μὴ κείνου πάρα
Σωθῶμεν· ἄπορον χρῆμα δυστυχῶν δόμος.

ΕΛ. Ὦ παῖ Κλυταιμνήστρας τε κἀγαμέμνονος,
Παρθένε μακρὸν δὴ μῆκος, Ἠλέκτρα, χρόνου,
Πῶς, ὦ τάλαινα, σύ τε κασίγνητός τε σὸς
Τλήμων Ὀρέστης, μητρὸς ὅδε φονεὺς ἔφυ;
Προσφθέγμασιν γὰρ οὐ μιαίνομαι σέθεν,
Ἐς Φοῖβον ἀναφέρουσα τὴν ἁμαρτίαν.
Καίτοι στένω γε τὸν Κλυταιμνήστρας μόρον,
Ἐμῆς ἀδελφῆς, ἥν, ἐπεὶ πρὸς Ἴλιον

γεμὴν ἡμῖν καὶ βραχεῖα ἔτι σωτηρίας ἐλπίς. Μενέλαος γὰρ ἀπὸ Τροίας ἀπονοςήσας, πολὺν ἤδη χρόνον πλανηθεὶς κατὰ θάλατταν, προσέσχε Ναυπλίᾳ· τὴν δ' Ἑλένην, ἵνα μή τις τῶν τοὺς παῖδας ἐν Τροίᾳ ἀπολεσάντων, λίθοις αὐτὴν βάλοι, μεθ' ἡμέραν ἰδὼν ἐρχομένην, προὔπεμψε νύκτωρ ὧδ' ὡς ἡμᾶς· καὶ νῦν ἔνδον τὴν ἑαυτῆς ὀλοφύρεται ἀδελφὴν, καὶ τὴν ἄλλην συμφορὰν τῆς οἰκίας, μίαν μόνην παραμυθίαν τοῦ πάθους ἔχουσα, ἣ μόνη ἀγαλλομένη, τῶν κακῶν λήθην ἔχει, Ἑρμιόνην φημὶ, ἣν αὐτὴ μὲν πλεύσασα ἐς Τροίαν, κατέλιπεν οἴκοι· Μενέλαος δ' ἐκ Σπάρτης ἀγαγὼν, παρακατέθετο τῇ ἐμῇ μητρὶ ἀναθρέψαι. Ἔγωγε μὲν οὖν ἐν τούτῳ περισκοπῶ, εἴποθεν ἴδοιμι Μενέλαον εἰσιόντα: τῆς γὰρ ἐκεῖθεν ἡμῖν σωτηρίας ἀρθείσης, τἄλλαγε ὡς ἀπὸ κρόκης σαθρᾶς πάνθ' ὁρῶ ἠρτημένα· δυςυχῶν γὰρ πᾶς οἶκος ἀσθενής ἐςι φύσει.

ΕΛ. Ὦ παῖ Κλυταιμνήστρας καὶ Ἀγαμέμνονος Ἠλέκτρα, ἡ πολὺν ἤδη χρόνον παρθένος διατελοῦσα, εἰπέ μοι, ὦ τάλαινα, ὅπως ποτὲ σύτε καὶ Ὀρέςης ὁ σὸς ἀδελφὸς ἀπεκτείνατε τὴν μητέρα; οὐ γὰρ δέδοικα μήτι μιανθῶ, διαλεγομένη πρὸς σὲ, εἰς Φοῖβον αὐτὸν τὸ κακὸν ἀναφέρουσα· καίτοι λίαν ἀλγῶ ἐπ' ἐκείνῃ ἀδελφῇ μοιγε οὔσῃ· ἣν ἐξ ὅτου ἔπλευσα ἐπὶ Τροίαν, ὅπως δήποτε ἔπλευσα, ἀθρόᾳ χρησαμένῃ

ρέστης. 54. Ἐκπληρῶν] ἐν ἄλλοις ἐκπερῶν· πλάτῃ δὲ, τῇ κώπῃ διὰ τὸ πλατεῖαν εἶναι τὰ κάτω. 72. Μακρὸν δὴ μῆκος] ἡ διὰ πολλοῦ διὰ τὰς συμφορὰς ἄγαμος οὖσα· ἦν γὰρ ἡ Ἠλέκτρα, ὡς εἰκάσαι, εἰκοςὸν ἤδε καὶ πέμπτον

Ἔπλευσ', ὅπως ἔπλευσα, θεομανεῖ πότμῳ,
Οὐκ εἶδον, ἀπολειφθεῖσα δ' αἰάζω τύχας.
ΗΛ. Ἑλένη, τί σοι λέγοιμ' ἄν, ἅ γε παροῦσ' ὁρᾷς,
Ἐν ξυμφοραῖσι τοῦ Ἀγαμέμνονος γόνον;
Ἐγὼ μὲν ἄϋπνος, πάρεδρος ἀθλίῳ νεκρῷ,
(Νεκρὸς γὰρ οὗτος οὕνεκα σμικρᾶς πνοῆς,)
Θάσσω· τὰ τούτου δ' οὐκ ὀνειδίζω κακά·
Σὺ δ' ἡ μακαρία, μακάριός θ' ὁ σὸς πόσις
Ἥκετον ἐφ' ἡμᾶς ἀθλίως πεπραγότας.
ΕΛ. Πόσον χρόνον δὲ δεμνίοις πέπτωχ' ὅδε;
ΗΛ. Ἐξ οὗπερ αἷμα γενέθλιον κατήνυσεν.
ΕΛ. Ὦ μέλεος, ἡ τεκοῦσά θ', ὡς διώλετο.
ΗΛ. Οὕτως ἔχει τάδ', ὥστ' ἀπείρηκ' ἐν κακοῖς.
ΕΛ. Πρὸς θεῶν, πίθοι' ἂν δῆτά μοί τι, παρθένε;
ΗΛ. Ὡς ἄσχολός γε συγγόνου προσεδρίᾳ.
ΕΛ. Βούλει τάφον μοι πρὸς κασιγνήτης μολεῖν;
ΗΛ. Μητρὸς κελεύεις τῆς ἐμῆς; τίνος χάριν;
ΕΛ. Κόμης ἀπαρχὰς καὶ χοὰς φέρουσ' ἐμάς.
ΗΛ. Σοὶ δ' οὐχὶ θεμιτὸν πρὸς φίλων στείχειν τάφον;
ΕΛ. Δεῖξαι γὰρ Ἀργείοισι σῶμ' αἰσχύνομαι.
ΗΛ. Ὀψέ γε φρονεῖς εὖ, τότε λιποῦσ' αἰσχρῶς δόμους.
ΕΛ. Ὀρθῶς ἔλεξας, οὐ φίλως δέ μοι λέγεις.
ΗΛ. Αἰδὼς δὲ δή τίς σ' ἐς Μυκηναίους ἔχει;
ΕΛ. Δέδοικα πατέρας τῶν ὑπ' Ἰλίῳ νεκρῶν.
ΗΛ. Δεινὸν γάρ· Ἄργει τ' ἀναβοᾷ διὰ στόμα.

---

μάλιστα ἄγουσα ἔτος· οὕτω δὲ καὶ κατωτέρω. στίχ. 656. 80. Ἀπολειφθεῖσα] ὑστερήσασα, μὴ παρευρεθεῖσα αὐτῇ ζώσῃ ἔτι· ἢ ὃ καὶ μᾶλλον, μονωθεῖσα ἐκείνης θανούσης. 91. Ἀπείρηκεν] ἐν ἄλλοις, ἀπείρηκ' ἐν κακοῖς, ἐν πρώτῳ μᾶλλον προσώπῳ. 96. Κόμης ἀπαρχάς.] νόμος ἦν τοὺς συγγενεῖς ἀποκείρα-

Θεοβλαβείᾳ, οὐκ εἶδον· νῦν δὲ κλαίω ἐκείνην τῆς συμφορᾶς, ἀποστερηθεῖσα.

ΗΛ. Ἑλένη, τί ἂν εἴποιμι πρὸς ὁρῶσάν σε ἐν οἵᾳ γεγένηται συμφορᾷ ὁ παῖς Ἀγαμέμνονος; ἐγὼ γὰρ ἄϋπνος παρεδρεύω μὲν τῷ ἀθλίῳ τούτῳ νεκρῷ (νεκρὸς γὰρ ἔμοιγε, ὃς μόλις ἀνασπᾶται πνοήν)· τὴν δὲ συμφορὰν αὐτῷ προφέρειν οὐκ ἂν βουλοίμην· ὑμεῖς δὲ, ὦ μακάριοι, σύ τε καὶ ὁ σὸς εὐδαίμων ἀνὴρ, ἐπανελθόντες εὕρεθ' ἡμᾶς δυςυχοῦντας.

ΕΛ. Ποςαῖος δὲ κεῖται κλινήρης οὗτος;

ΗΛ. Ἐξ ὅτου τὸ μητρῷον τυγχάνει ἐκχέας αἷμα.

ΕΛ. Ὡς δυστηχὴς, αὐτός τε καὶ ἡ ἀπολεσθεῖσα μήτηρ.

ΗΛ. Οὕτως ἔχει ταῦτα· κἀμὲ γὰρ τήκει τὸ πάθος τοῦτο.

ΕΛ· Ἀλλ' ἆρα χαρίσῃ μοι ὅ,τι ποτ' ἂν δεηθῶ σου;

ΗΛ. Εἰ μὴ ἀνάγκη εἴη μοι προσεδρεύειν τούτῳ.

ΕΛ. Βούλει μοι πρὸς τὸν τῆς ἐμῆς ἀδελφῆς ἐλθεῖν τάφον;

ΗΛ. Μητρὸς φὴς τῆς ἐμῆς; τί χρῆμα ζητοῦσα;

ΕΛ. Ἀπαρχὰς αὐτῇ κόμης τῆς ἐμῆς καὶ χοὰς προσοίσουσα τάςδε.

ΗΛ. Τί δὲ κωλύει αὐτήν σε ἐλθοῦσαν ποιῆσαι τοῦτο;

ΕΛ. Αἰσχύνη γὰρ αἴφνης φανῆναι τοῖς Ἀργείοις.

ΗΛ. Ὀψὲ νοῦν ἔσχες, ἀφρόνως τότε προδοῦσα τοὺς οἰκείους.

ΕΛ. Ἀληθῆ μὲν φὴς, δηκτικὰ δ' ἔμοιγ' ἄλλως.

ΗΛ. Αἰσχύνη δὲ τίς κατέχει σε πρὸς Ἀργείους;

ΕΛ. Δέδοικα τοὺς πατέρας τῶν ἐν Τροίᾳ πεσόντων.

ΗΛ. Δεινὸν φὴς τοῦτο· καὶ γὰρ πᾶσα ἡ πόλις καταβοᾷ σου.

---

μένους προσφέρειν τὴν κόμην τῷ νεκρῷ, ἢ τῷ τάφῳ τῶν ἀγαπωμένων· ὡς καὶ Τεῦκρος καὶ Τέκμησσα ἐν Αἴαντι καὶ Ἠλέκτρᾳ παρὰ Σοφοκλεῖ στίχ. 449. περὶ δὲ τῶν χοῶν ἴδε κατωτέρω. 100. Ὀρθῶς ἔλεξας] ἐν ἄλλοις ὀρθῶς ἐλέγξασ'. 103. Ἀναβοᾷ] δεύτερόν ἐστι πρόσωπον τοῦτο· οἷον σὺ ἀναβοᾷ ἐν

ΕΛ. Σύ νυν χάριν μοι, τὸν φόβον λύσασα, δός.
ΗΛ. Οὐκ ἂν δυναίμην μητρὸς ἐσβλέψαι τάφον.
ΕΛ. Αἰσχρόν γε μέντοι προσπόλους φέρειν τάδε.
ΗΛ. Τί δ' οὐχὶ θυγατρὸς Ἑρμιόνης πέμπεις δέμας;
ΕΛ. Ἐς ὄχλον ἕρπειν παρθένοισιν οὐ καλόν.
ΗΛ. Καὶ μὴν τίνοι γ' ἂν τῇ τεθνηκυίᾳ τροφάς.
ΕΛ. Καλῶς ἔλεξας, πείθομαί τέ σοι, κόρη,
[Καὶ πέμψομαί γε θυγατέρ'· εὖ γάρ τοι λέγεις.]
Ὦ τέκνον, ἔξελθ', Ἑρμιόνη, δόμων πάρος,
Καὶ λαβὲ χοὰς τάσδ' ἐν χεροῖν, κόμας τ' ἐμάς.
Ἐλθοῦσα δ' ἀμφὶ τὸν Κλυταιμνήστρας τάφον
Μελίκρατ' ἄφες γάλακτος, οἰνωπόν τ' ἄχνην,
Καὶ στᾶσά γ' ἐπ' ἄκρου χώματος, λέξον τάδε·
Ἑλένη σ' ἀδελφὴ ταῖσδε δωρεῖται χοαῖς,
Φόβῳ προσελθεῖν μνῆμα σὸν, ταρβοῦσά τε
Ἀργεῖον ὄχλον· εὐμηνῆ δ' ἀνωγένιν
Ἐμοί τε καὶ σοὶ καὶ πόσει γνώμην ἔχειν,
Τοῖν τ' ἀθλίοιν τοῖνδ', οὓς ἀπώλεσεν θεός.
Ἃ δ' εἰς ἀδελφὴν καιρὸς ἐκπονεῖν ἐμὲ,
Ἅπανθ' ὑπισχνοῦ νερτέρων δωρήματα.
Ἴθ', ὦ τέκνον, μοι σπεῦδε, καὶ χοὰς τάφῳ
Δοῦσ' ὡς τάχιστα, τῆς πάλιν μέμνησ' ὁδοῦ.
ΗΛ. Ὦ φύσις, ἐν ἀνθρώποισιν ὡς μέγ' εἶ κακὸν,

---

τῷ Ἄργει διὰ στόματος πάντων. 167. Ἑρμιόνης δέμας] φράσις ποιητικὴ, τὸ μέρος ἀντὶ τοῦ ὅλου· ἐξῆν δὲ καὶ τὸν πόδα ἀντὶ τοῦ δέμας εἰπεῖν. τὸ δὲ μέτρον χωλαίνει πως· διὸ ἐν ἄλλοις οὐ κεῖται τὸ, δέμας. 115. Οἰνωπόντ' ἄχνην] ἦν ἄρα ἡ χοὴ, κρᾶμά τι ἐκ μέλιτος, γάλακτός τε, καὶ οἴνου, ἀφρὸν ἔχουσα ἐρυθρωπόν· τοῦτο γάρ ἐστιν, Οἰνωπὸς ἄχνη. 123. Ἐκπονεῖν ἐμὲ] ἐν Ἄλλοις

ΕΛ. Λύοις οὖν μοι σύγε τὸν φόβον, χαρισαμένη.

ΗΛ. Οὐκ ἂν ἀνασχοίμην τὸν τάφον προσιδεῖν τῆς μητρός.

ΕΛ. Ἀλλ' αἰσχρὸν τὰς θεραπαίνας ταῦτα φέρειν ἐκεῖσε.

ΗΛ. Τί δ' οὐ πέμπεις ταῦτα διὰ τῆς Ἑρμιόνης;

ΕΛ. Αἰσχρὸν γὰρ παρθένῳ δι' ὄχλου βαδίζειν.

ΗΛ. Οὐχ', ὥστ' ἀποδοῦναι τῇ τροφῷ τὰ τροφεῖα.

ΕΛ. Εὖ λέγεις· ἴτω τοίνυν ἐκείνη πρὸς τὸν τάφον. Τέκνον Ἑρμιόνη, ἔξελθε δεῦρο, καὶ λαβοῦσα τάσδε τὰς χοὰς, μελίκρατα γάλακτος, καὶ οἰνώδη ἀφρὸν, καὶ κόμην ἐμὴν, θὲς ἐπὶ τοῦ τάφου τῆς Κλυταιμνήστρας ἰοῦσα· καὶ στᾶσα ἐπ' ἄκρου τοῦ χώματος, λέξον τάδε, Ἑλένη ἡ σὴ ἀδελφὴ, μὴ δυναμένη αὐτὴ προσελθεῖν φόβῳ τῶν Ἀργείων, πέμπει σοι δι' ἐμοῦ τὰς χοὰς τάσδε· γενοῦ δ' εὐμενὴς ἐμοί τε κἀκείνῃ καὶ τῷ ἀνδρὶ ἐκείνης· οὐχ ἧττον δὲ καὶ τούτοιν τοῖν δυστήνοιν· οὓς ὁ θεὸς συμφορᾷ περιβαλὼν, ἐξαπώλεσεν· ἃ δὲ νενόμισται νεκροῖς παρὰ τῶν ζώντων ἔχειν δωρήματα, ταῦθ' ὑπισχνοῦ αὐτῇ πάνθ' ὕστερον ἔσεσθαι παρ' ἐμοῦ· σπεῦδ,' ὦ τέκνον, ἰοῦσα, καὶ προσενεγκοῦσα ταῦτα τῷ τάφῳ, ἔχου τῆς ὁδοῦ ὡς ἡμᾶς ἐν τάχει πάλιν.

ΗΛ. Ὦ φύσις, ὡς μέγα εἶ τοῖς ἀνθρώποις καλόν τε κακόν τε,

---

ἐκπονεῖν ἐμήν· τὸ δὲ δωρήματα ὁ αὐτὸς ἐξηγεῖται παρακατιὼν στίχ. 1436. τὸ φᾶρος. ὃ ἤμελλεν Ἑλένη ἄγαλμα ἐπιθεῖναι τῷ τάφῳ. 126. Ὦ φύσις] τῆς Ἑλένης ἄκρας τὰς τρίχας τεμούσης τέχνῃ, ἀλλ' οὐχ ὅλας, μέμφεται ἰδοῦσα Ἠλέκτρα, ὡς μᾶλλον τοῦ κάλλους φροντίζουσαν, ἢ τὴν μητέρα τιμῆσαι· διὸ ἀποτεινομένη πρὸς τὴν φύσιν, φησὶν, ὡς σωτήριον μὲν τοῖς καλῶς χρωμένοις, κακὸν δ' οὖσαν τοῖς μὴ οὕτω· τὸ δὲ ἡ πάλαι Γυνὴ, βούλεται εἰπεῖν οὐ μᾶλλον καλὴ ὡς τὸ πάλαι, ἢ ἠθικώτερον, ὡς καὶ νῦν νεάζει τὰς φρένας, ὁμοίως ὡς καὶ πάλαι, τῷ περὶ τὴν κεφαλὴν κόσμῳ χρωμένη· εἰ μὴ καὶ μᾶλλόν τι σε·

Σωτήριόν τε τοῖς καλῶς κεκτημένοις.
Ἴδετε παρ' ἄκρας ὡς ἀπέθρισεν τρίχας,
Σώζουσα κάλλος· ἔστι δ' ἡ πάλαι γυνή·
Θεοί σε μισήσειαν, ὥς μ' ἀπώλεσας,
Καὶ τόνδε, πᾶσάν θ' Ἑλλάδ'. ὢ τάλαιν' ἐγώ!
Αἵδ' αὖ πάρεισι τοῖς ἐμοῖς θρηνήμασι
Φίλαι ξυνῳδοί· τάχα μεταστήσουσ' ὕπνου
Τόνδ' ἡσυχάζοντ', ὄμμα δ' ἐκτήξουσ' ἐμὸν
Δακρύοις, ἀδελφὸν ὅταν ὁρῶ μεμηνότα.
Ὦ φίλταται γυναῖκες, ἡσύχῳ ποδὶ
Χωρεῖτε, μὴ ψοφεῖτε, μήδ' ἔστω κτύπος.
Φιλία γὰρ ἡ σὴ πρευμενὴς μὲν, ἀλλ' ἐμοὶ
Τόνδ' ἐξεγεῖραι ξυμφορὰ γενήσεται.
Σῖγα, σῖγα, λεπτὸν ἴχνος ἀρβύλης (Στρ. α'.)
Τίθετε, μὴ ψοφεῖτε, μήδ' ἔστω κτύπος.
Ἀποπρὸ βᾶτ' ἐκεῖσ', ἀποπρό μοι κοίτας.
ΧΟ. Ἰδοὺ, πείθομαι.
ΗΛ. Ἆ ἆ, σύριγγος ὅπως πνοὰ
Λεπτοῦ δόνακος, ὦ φίλα, φώνει μοι.
ΧΟ. Ἴδ', ἀτρεμαίαν ὡς ὑπόροφον φέρω
Βοάν·
ΗΛ. Ναὶ οὕτω.
Κάταγε, κάταγε, πρόσιθ' ἀτρέμας, ἀτρέμας ἴθι·
Λόγον ἀπόδος, ἐφ' ὅ,τι χρέος ἐμόλετέ ποτε·
Χρόνια γὰρ πεσὼν, ὅδ' εὐνάζεται.

---

μνοτέρῳ τῷ λόγῳ ἐξονειδίζει αὐτῇ τὴν μοιχίαν. 132. Αἵδε πάρεισι] εἰσέρχεται ὁ Χορός. 140. Ἀρβύλης] εἶδος τοῦθ' ὑποδήματος. 142. Ἀποπρόμοι] ἀναπληρωτέον ἐκ τοῦ προηγουμένου, ἄπο προβᾶτε μοι, ὅ ἐστι, μακράν μοι τῆς

ὅπως ἂν ἕκαστος χρῆσθαί σοι· ὁρᾶτε γὰρ πρὸς θεῶν, ὅπως ἄκρας ἀποκειραμένη τὰς τρίχας, παρεφύλαξεν ἐντέχνως τὸ κάλλος! ἀλλ' ἔστιν ἡ αὐτὴ γυνὴ, ἡ καὶ πάλαι. Ἀλλ' οἱ θεοί σε μισήσειαν· ἢ ἐμέ τε καὶ τοῦτον, καὶ πᾶσαν προσαπώλεσας τὴν Ἑλλάδα· ὦ τάλαιν' ἐγώ. Ἀλλ' ἴδ' ἐκεῖναί μοι φίλαι προσίασιν, ὡς ἔοικε, ξυνθρηνήσουσαι· τάχα δέ μοι ἐξεγεροῦσι τὸν ἀδελφὸν ὑπνώττονθ' ἡδέως· κἀμὲ ποιήσουσι καταῤῥυῆναι τοῖς δάκρυσιν, ὁρῶσαν τὸν φίλτατόν μοι τουτονὶ ἐν μανίᾳ. Φίλταταί μοι γυναῖκες, ἡσυχαιτέρῳ, δέομαι, πρόσιτε βήματι, μηδὲν λιποῦσαι ψόφον· φίλαι μὲν γὰρ ὑμεῖς γε καὶ τὰ μάλιστα εὐμενεῖς· ἀλλ' ἔμοιγ' ἄλγος μέγιστον ἐξεγερθῆναι τοῦτον τοῦ ὕπνου· σῖγ' οὖν ἔχε, ὡς ἰσχνὸν ποιοῦσα τὸ ἴχνος, μηδὲν ψοφοῦσα· ἐκεῖσ' ἐκεῖσε χωρεῖτε, μακρὰν ἀπὸ τῆσδε τῆς κλίνης.

**ΧΟ.** Εὖ λέγεις, καὶ δὴ πείθομαί σοι.

**ΗΛ.** Ἆ, ἆ· ὡς ἰσχνὴν, ὦ φίλη, προΐου μοι τὴν φωνὴν, καὶ οἷόν ἐστι ψιθύρισμα λεπτὸν λεπτοτάτου καλάμου.

**ΧΟ.** Καὶ μὴν ἥσυχον ὡς ἐκ λεπτοῦ καλάμου φωνὴν ἐκφέρω.

**ΗΛ.** Οὕτως, εὖ ἔχει· χώρει τοίνυν ἀτρέμας, πρόσιθι ἡσυχῇ, ἀπέστω πᾶς ψόφος, καί μοι λέγε νῦν ὅ,τι ποτε βουλόμεναι, παρεγένεσθε. οὗτος γὰρ ἤδη διὰ χρόνου κατακλιθεὶς, ἀναπαύεται.

---

κοίτης τοῦ Ὀρέστου πρόσιτε. 144. Ἆ, ἆ] ἀποτρεπτικὸν τοῦτο μόριον· ὡς καὶ Ἀριστοφάνης, ἆ, ἆ, τὴν δᾷδαν μή μοι πρόσαγε· τὸ δὲ σύριγξ οὐ τὸ ὄργανον ἐννοητέον μᾶλλον, ἢ τὴν λεπτὴν ἀπήχησιν τῶν καλάμων· ἡ δὲ συνθήκη οὑτωσὶ μᾶλλον, φώνει μοι, ὥσπερ ἡ πνοὴ σύριγγος λεπτοῦ δόνακος· πρὸς γοῦν τοῦτο ἀπαντᾷ ὁ Χορός· ἴδ' ἀτρεμαίαν φέρω βοὴν ὡς ὑπόροφον βοάν· ὄροφος γὰρ καὶ ὁ λεπτὸς κάλαμος· τὸ δὲ Κάταγε ἐπαλαμβανόμενον τὸ σιγηλῶς, ὅσον οἷόν τε

ΧΟ. Πῶς ἔχει; λόγου μετάδος, ὦ φίλα. (ἀντ. ά.)
ΗΛ· Τίνα τύχαν εἴπω; τίνα δὲ συμφοράν;
Ἔτι μὲν ἐμπνέει, βραχὺ δ' ἀναστένει.
ΧΟ· Τί φῄς; ὦ τάλας.
ΗΛ. Ὀλεῖς, εἰ βλέφαρα κινήσεις
Ὕπνου γλυκυτάταν φερομένῳ χαράν·
ΧΟ· Μέλεος ἐχθίστων θεόθεν ἐργμάτων!
Τάλας, φεῦ μόχθων!
ΗΛ. Ἄδικος ἄδικα τότ' ἄρ' ἔλακεν, ἔλακεν, ἀπό-
φονον ὅτ' ἐπὶ τρίποδι Θέμιδος ἄρ' ἐδίκασε
Φόνον ὁ Λοξίας ἐμᾶς ματέρος.
ΧΟ. Ὁρᾷς; ἐν πέπλοισι κινεῖ δέμας. (στρ. β'.)
ΗΛ· Σὺ γάρ νιν, ὦ τάλαινα,
Θωΰξασ' ἔβαλες ἐξ ὕπνου.
ΧΟ. Εὕδειν μὲν οὖν ἔδοξα.
ΗΛ. Οὐκ ἀφ' ἡμῶν; οὐκ ἀπ' οἴκων
Πάλιν ἀνὰ πόδα σὸν εἱλίξεις,
Μεθεμένα κτύπου;
ΧΟ. Ὑπνώσσει.
ΗΛ. Λέγεις εὖ.
ΧΟ. Πότνια, πότνια νύξ, (Στρ. γ'.)
Ὑπνοδότειρα τῶν πολυπόνων βροτῶν,
Ἐρεβόθεν ἴθι, μόλε, μόλε κατάπτερος
Τὸν Ἀγαμεμνόνιον ἐπὶ δόμον.
Ὑπὸ γὰρ ἀλγέων ὑπό τε συμφορᾶς
Διοιχόμεθ', οἰχόμεθα.
ΗΛ. Κτύπον ἠγάγετ'· οὐχὶ σῖγα

---

προσιέναι παρίστησι. 153· Τίνα τύχαν] ποίαν τύχην διορθοῦσι τοῦτο, ἵν' ᾖ τέλος στιχος ἰαμβικός· ὡς καὶ ὁ δεύτερος ἀνωτέρω τῆς Στροφῆς, τὸ, Τιθεῖτε

ΧΟ. Ἀλλ' εἰπέ μοι πρῶτον, ὦ φίλε, πῶς ἔχει οὗτος;

ΗΛ. Τίνα μὲν τύχην, τίνα δ' ἂν εἴποιμι συμφοράν; ὑποςένων ἔτι μικρὸν ἐμπνεῖ.

ΧΟ. Ὦ τάλας αὐτόςγε, τί φῄς;

ΗΛ. Ἀπολεῖς με αὐτίκα μάλα, εἰ διεγερεῖς αὐτὸν, πολλὴν ἤδη ἐν τῷ ὕπνῳ ἀνάπαυλαν τῶν κακῶν εὑρισκόμενον.

ΧΟ. Ὦ δείλαιος, ἐφ' οἷς θεόθεν ἐλαυνόμενος, ἔπραξεν· ὦ τάλας τῶν ἀνηκέςων πόνων.

ΗΛ. Φεῦ, φεῦ· ἀδίκως ἄδικ' ἔχρησεν αὐτῷ ὁ Λοξίας, ἡνίκ' ἐκ τοῦ τῆς Θέμιδος τρίποδος τὸν κακόφονον τῆς ἐμῆς μητρὸς κατεθέσπισε φόνον.

ΧΟ. Ὁρᾷς; ὑποκινεῖται ἤδη ὑπὸ τοῖς χλανιδίοις.

ΗΛ. Σὺ γὰρ, ὦ τάλαινα, ἐξήγειρας αὐτὸν θορυβήσασα.

ΧΟ. Καὶ γὰρ ἔδοξέ μοι καθεύδειν.

ΗΛ. Οὐκοῦν ἄπιτ' ἐντεῦθεν· ἄπιτε πάλιν, ὅθεν ἐλθοῦσαι τυγχάνεθ', ὧδε ἡσυχίαν ἡμῖν ἀφεῖσαι.

ΧΟ. Ἔα, ὑπνώττει αὖθις.

ΗΛ. Καλὸν τοῦτο λέγεις.

ΧΟ. Ὦ σεβαςὴ νὺξ, ἡ τὸν ὕπνον πολυςόνοις φέρουσα βροτοῖς, ἔξελθ', ἔξελθε τοῦ Ἐρέβους· σπεῦδ', σπεῦδε ὥσπερ πτεροῖς εἰς τὸν Ἀγαμέμνονος οἶκον· οἰχόμεθα γὰρ ὑπὸ τῶν πόνων καὶ τῆς συμφορᾶς, ἀπολώλαμεν ὅλως.

ΗΛ. Ψόφον αὖθις ὑμεῖς ἐποιήσατε, ἀλλ' ἡσύχως ἔχετ', ὦ φίλαι

---

(ὅπερ ἐν ἄλλοις κεῖται τίθετε ἄμεινον.) μὴ κτυπεῖτε, μήδ' ἔστω κτύπος. 159. Ἀπόφονον] τὸν ἄδικον φόνον (μετ' ἀποστροφῆς τοῦτο), ἢ οὗ ἀπωνάμεθα οὐδέν. 166. Οὐκ ἀφ' ἡμῶν] τὸ πάθος ἀναγκάζει αὐτὴν δυσχεραίνειν καὶ πρὸς τὰς φίλας· καί φησιν, οὐκ ἀνελίξεις σὸν πόδα πάλιν; οὐκ ἀναχωρήσεις, ὅθεν ἦλθες. 177. Οὐχὶ] ἐν ἄλλοις ἐν τῷ τοῦ Χοροῦ στόματι τοῦτ' ἀποδίδοται,

Σῖγα φυλασσομένα
Στόματος ἀνακέλαδον ἀπὸ λέχεος, ἥ-
συχον ὕπνου χαρὰν παρέξεις φίλα;
ΧΟ. Θρόει, τίς κακῶν τελευτὰ μένει; (Ἀντ. β'.)
ΗΛ. Θανεῖν· τί δ' ἄλλο γ' εἴπω;
Οὐδὲν γὰρ πόθον ἔχει βορᾶς.
ΧΟ. Πρόδηλος ἄρ' ὁ πότμος.
ΗΛ. Ἐξέθυσ' ὁ Φοῖβος ἡμᾶς,
Μέλεον ἀπόφονον αἷμα δοὺς
Πατροφόνου ματρός·
ΧΟ. Δίκα μὲν, καλῶς δ' οὔ.
ΗΛ. Ἔκανες, ἔθανες, ὦ (Ἀντ. γ'.)
Τεκομένα με μᾶτερ, ἀπὸ δ' ὤλεσας
Πατέρα τέκνα τε τάδε σέθεν ἀφ' αἵματος.
Ὀλόμεθ' ἰσονέκυες, ὀλόμεθα.
Σύ τε γὰρ ἐν νεκροῖς, τό,τ' ἐμὸν οἴχεται
Βίου τὸ πλέον μέρος ἐν
Στοναχαῖσί τε καὶ γόοισι,
Δάκρυσί τ' ἐννυχίοις·
Ἄγαμος, ἔπιδ', ἄτεκνος ἅτε βίοτον ἁ
Μέλεος εἰς τὸν αἰὲν ἕλκω χρόνον.
ΧΟ. Ὅρα παροῦσα, παρθέν' Ἠλέκτρα, πέλας,
Μὴ κατθανών σε σύγγονος λέληθ' ὅδε·
Οὐ γάρ μ' ἀρέσκει τῷ λίαν παρειμένῳ·
ΟΡ. Ὦ φίλον ὕπνου θέλγητρον, ἐπίκουρον νόσου,
Ὡς ἡδύ μοι προσῆλθες ἐν δέοντί τε!
Ὦ πότνια λήθη τῶν κακῶν, ὡς εἶ σοφὴ,
Καὶ τοῖσι δυστυχοῦσιν εὐκταία θεός!

φυλασσόμεναι γὰρ τρανῶς λαλεῖν, ἡδίστην τῷδε ὕπνου παρέξετ' ἀπόλαυσιν.

ΧΟ. Ἀλλ' ἄγ' εἰπὲ νῦν ἡμῖν, ποῦ τελευτήσει ταῦτα;

ΗΛ. Τί ἂν ἄλλ' εἴποιμι πλὴν θανεῖν τοῦτον; ἀνορέκτως γὰρ ἔχει σίτου.

ΧΟ. Πρόδηλον ἄρα αὐτῷ τὸ τέλος.

ΗΛ. Φοῖβος αὐτὸς ἡμᾶς ἐξαπώλεσεν ὅλως, τὸ τῆς ἀνδροφόνου μητρὸς αἷμα συγχωρήσας ἡμῖν ἐκχέαι.

ΧΟ. Δίκαιον μέν πως τοῦτο· αἰσχρὸν δ' ἄλλως.

ΗΛ. Ἀπόλωλας, ὄλωλας, ὦ μῆτερ, ἐφ' οἷς προαπώλεσας τὸν πατέρα· ἀλλὰ συναπώλεσας χ' ἡμᾶς τὰ σαυτῆς τέκνα· ἀπολώλαμεν, ὀλώλαμεν, ὦ φίλτατ' Ὀρέστα, ὁμόνεκροι ὄντες· σύ τε γὰρ ἐν νεκροῖς, κἀμοὶ τὸ πλέον τοῦ βίου διαρρεῖ ἐν στεναγμοῖς καὶ παννυχίοις θρήνοις· ὁρᾷς γὰρ ὅπως ἄγαμός τε καὶ ἄτεκνος ἡ δειλαία σὺν βίᾳ ζῶ τὸν ἅπαντα αἰῶνα.

ΧΟ. Ἀλλὰ σύγ', ὦ φιλτάτη, πάρεδρος ἤδη οὖσα, ἴδε μή τι λέληθ' ἀποθανών· ὕποπτόν μοι τὸ λίαν τοῦθ' ἥσυχον.

ΘΡ. Ὦ φίλτατον θέλγητρον ὕπνου, ἀκεσώδυνον φάρμακον νόσου, ὡς ἡδὺ κἀν καιρῷ μοι προσῆλθες· ὦ σεβαστὴ λήθη τῶν κακῶν, ὡς εἶ σοφή, καὶ θεὸς δυστυχοῦσι χαρίεσσα·

---

187. Πατροφόνου] τῆς τὸν πατέρα μου φονευσάσης· ἄλλως δ' ἔδει εἰπεῖν ἀνδροφόνου μᾶλλον. 178. Ἔκανες, ἔθανες] ἐν ἄλλοις ἔθανες, ἔθανες· καὶ ἐν ἄλλοις αὖ, ἔκανες, ἔκανες. 191. Ἰσονέκυς] ἐγώ τε καὶ σύ· ἐν ἄλλοις δὲ πληθυντικῶς, Ἰσονέκυες, ὅμοιοι νεκροῖς, ἢ ἄμφω νεκροί. 195. Ἔπιδ', ἄτεκνος] ἔπιδε, ὅπως εἰμὶ ἄτεκνος· ἐν ἄλλοις κεῖται, Ἐπεὶ, καὶ ἐν ἄλλοις Ἐπί. ἅτε βίοτον ἕλκω· ἥτις ἕλκω τὸν βίον σὺν βίᾳ, ὡς ὁ βοῦς ἕλκει ἅμαξαν. 201. Τῷ λίαν παρειμένῳ] οὐ γὰρ ἀρέσκει με ὁ ἀνὴρ ἐπὶ τῷ λίαν ἐκλελύσθαι· τὸ δὲ ἀρέσκω πρὸς αἰτιατικὴν ἀττικῶς καὶ Θουκυδίδης καὶ ἄλλοι.

Πόθεν πότ' ἦλθον δεῦρο; πῶς δ' ἀφικόμην;
Ἀμνημονῶ γὰρ, τῶν πρὶν ἀπολειφθεὶς φρενῶν!
ΗΛ. Ὦ φίλταθ', ὥς μ' εὔφρανας, εἰς ὕπνον πεσών!
Βούλει θίγω σου κἀνακουφίσω δέμας;
ΟΡ. Λαβοῦ, λαβοῦ δῆτ', ἐκ δ' ὄμορξον ἀθλίου
Στόματος ἀφρώδη πέλανον, ὀμμάτων τ' ἐμῶν.
ΗΛ. Ἰδοὺ τὸ δούλευμ' ἡδὺ, κοὐκ ἀναίνομαι
Ἀδέλφ' ἀδελφῇ χειρὶ θεραπεύειν μέλη.
ΟΡ. Ὑπόβαλε πλευροῖς πλευρὰ, κἀυχμώδη κόμην
Ἄφελε προσώπου· λεπτὰ γὰρ λεύσσω κόραις.
ΗΛ. Ὦ βοστρύχων πινῶδες ἄθλιον κάρα.
Ὡς ἠγρίωσαι διὰ μακρᾶς ἀλουσίας.
ΟΡ. Κλῖνόν μ' ἐς εὐνὴν αὖθις· ὅταν μ' ἀνῇ νόσος
Μανίας, ἄναρθρός εἰμι, κἀσθενῶ μέλη.
ΗΛ. Ἰδοὺ, φίλον τι τῷ νοσοῦντι δέμνιον,
Ἀνιαρὸν ὂν τὸ κτῆμ', ἀναγκαῖον δ' ὅμως.
ΟΝ. Αὖθις μ' ἐς ὀρθὸν στῆσον, ἀνακύκλει δέμας·
Δυσάρεστον οἱ νοσοῦντες ἀπορίας ὕπο.
ΗΛ. Ἦ κἀπὶ γαίας ἁρμόσαι πόδας θέλεις,
Χρόνιον ἴχνος θείς; μεταβολὴ πάντων γλυκύ.
ΟΡ. Μάλιστα· δόξαν γὰρ τόδ' ὑγιείας ἔχει·
Κρεῖσσον δὲ τὸ δοκεῖν, κἂν ἀληθείας ἀπῇ.
ΗΛ. Ἄκουε δὴ νῦν, ὦ κασίγνητον κάρα,
Ἕως ἐῶσί σ' εὖ φρονεῖν Ἐριννύες.
ΟΡ. Λέξεις τι καινόν; κεἰ μὲν εὖ, χάριν φέρεις·
Εἰ δ' ἐς βλάβην τιν', ἅλις ἔχω τοῦ δυστυχεῖν.
ΗΛ. Μενέλαος ἥκει σοῦ κασίγνητος πατρός·
Ἐν Ναυπλίᾳ δὲ σέλμαθ' ὥρμισται νεῶν.

---

216. Ὦ . . . κάρα] κατ' ἐναλλαγὴν τῶν πτώσεων ἀντὶ τοῦ, ὦ βόστρυχες πινώδεις ἀθλίου καρός. 223. Ἀπορίας] στενοχωρίας. 233. Σέλματα] σέλματα

Ἀλλὰ πόθεν ἐγὼ ἐνταῦθα, πῶς ἀφικόμενος; ἅπαξ γὰρ ἐκςὰς τῶν φρενῶν, οὐδὲν τῶν πρὶν μνημονεύω συμβάντων.

ΗΛ. Ὦ φίλτατε, ὡς ηὔφρανάς με, εἰς ὕπνον τραπείς· βούλει δὲ ἀναλάβων σε μικρὸν ταῖς χερσί;

ΟΡ. Λαβοῦ μου, λαβοῦ, ὀρέξασα τὴν χεῖρα· ἀπόμορξον δέ μοι τοῦ ςόματος καὶ τῶν ὀφθαλμῶν μου τὴν λήμην.

ΗΛ. Ἕτοιμος ἔγωγ' ἀδελφὸν ἀδελφικῇ χειρὶ θεραπεῦσαι.

ΟΡ. Πρόσιθι, πλευρὰ πρὸς πλευροῖς παραβαλοῦσα· ἄφελε δὲ καὶ τὴν πιναρὰν τοῦ προσώπου μου κόμην· μόλις γὰρ ὁρῶ.

ΗΛ. Ὦ κόμη κεφαλῆς πιναρὰ καὶ ἀθλία, ὡς λίαν ἐκ πολλῆς ἀλουσίας τυγχάνεις ἠγριωμένη.

ΟΡ. Κλίνον με πάλιν εἰς τὴν εὐνήν· ἀνείσης γάρ με τῆς νόσου, ἀσθενὴς εἰμὶ, καὶ ὅλως παρειμένος.

ΗΛ. Ἰδού· φίλον μὲν γὰρ εὐνὴ καὶ ἀναγκαῖον νοσοῦσιν· ἀνιαρὸν δ' ἄλλως καὶ ὅλως ἀπευκταῖον.

ΟΡ. Ἀνόρθωσόν με αὖθις ἀνακουφίσασα.

ΧΟ. Ὡς δυσάρεςόν ἐςιν οἱ νοσοῦντες ὑπ' ἀπορίας.

ΗΛ. Βούλει δὲ καὶ ὀρθὸς ὡς διὰ χρόνου στῆναι; ἡδὺ γὰρ ἐπὶ πάντων ἡ μεταβολή.

ΟΡ. Πάνυ μὲν οὖν· ὑγιείας γὰρ δόξαν ἔχει· οὐ γὰρ σμικρὸν καὶ ἡ δόκησις ἐν ἀπουσίᾳ τῆς ἀληθείας πρὸς παραμυθίαν.

ΗΛ. Ἄκουε τοίνυν, ἀδελφῶν φίλτατε, μέχρις οὗ ἐῶσί σε ἐν τῷ φρονεῖν Ἐριννύες.

ΟΡ. Τί ποτ' ἐρεῖς; εἰ μὲν ἀγαθὸν, εὐφρανεῖς με πάντως· εἰ δὲ τοὐναντίον, ἔα με ἡσυχάζειν· ἅλις γάρ μοι κακῶν.

ΗΛ. Μενέλαος ὁ τοῦ σοῦ πατρὸς ἀδελφὸς ἥκει, καταχθεὶς ταῖς ναυσὶν εἰς Ναυπλίαν.

---

* καθίσματα τῶν ναυτῶν, ἢ αὐτὰ τὰ σκάφη· εἴληφε δὲ τὸ μέρος ἀντὶ τοῦ

ΟΡ. Πῶς εἶπας; ἥκει φῶς ἐμοῖς καὶ σοῖς κακοῖς,
Ἀνὴρ ὁμογενὴς καὶ χάριτας ἔχων πατρός;
ΗΛ. Ἥκει, (τὸ πιστὸν τόδε λόγων ἐμῶν δέχου,)
Ἑλένην ἀγόμενος Τρωϊκῶν ἐκ τειχέων.
ΟΡ. Εἰ μόνος ἐσώθη, μᾶλλον ἂν ζηλωτὸς ἦν.
Εἰ δ᾽ ἄλοχον ἄγεται, κακὸν ἔχων ἥκει μέγα.
ΗΛ. Ἐπίσημον ἔτεκε Τυνδάρεως ἐς τὸν ψόγον
Γένος θυγατέρων δυσκλεές τ᾽ ἀν᾽ Ἑλλάδα.
ΟΡ. Σύ νιν διάφερε τῶν κακῶν· ἔξεστι γάρ·
Καὶ μὴ μόνον λέγ᾽, ἀλλὰ καὶ φρόνει τάδε.
ΗΛ. Οἴμοι, κασίγνητ᾽, ὄμμα σὸν ταράσσεται,
Ταχὺς δὲ μετέθου λύσσαν, ἄρτι σωφρονῶν.
ΟΡ. Ὦ μῆτερ, ἱκετεύω σε, μὴ ᾽πίσειέ μοι
Τὰς αἱματωποὺς καὶ δρακοντώδεις κόρας.
Αὗται γὰρ, αὗται πλησίον θρώσκουσί μου.
ΗΛ. Μέν᾽, ὦ ταλαίπωρ᾽, ἀτρέμα σοῖς ἐν δεμνίοις.
Ὁρᾷς γὰρ οὐδὲν, ὧν δοκεῖς σάφ᾽ εἰδέναι.
ΟΡ. Ὦ Φοῖβ᾽ ἀποκτενοῦσί μ᾽ αἱ κυνώπιδες
Γοργῶπες, ἐνέρων ἱέριαι, δειναὶ θεαί.
ΗΛ. Οὔτοι μεθήσω· χεῖρα δ᾽ ἐμπλέξασ᾽ ἐμὴν,
Σχήσω σε πηδᾶν δυστυχῆ πηδήματα.
ΟΡ. Μέθες· μί᾽ οὖσα τῶν ἐμῶν Ἐριννύων,
Μέσον μ᾽ ὀχμάζεις, ὡς βάλῃς ἐς Τάρταρον.
ΗΛ. Οἲ ᾽γὼ τάλαινα, τίν᾽ ἐπικουρίαν λάβω,

---

όλου· τὸ δὲ φῶς κατωτέρω σημαίνει σωτηρίαν. 240. Ἐπίσημον γένος] ἐπὶ κακοῦ, διαβόητον· πρὸς ὃ Ὀρέστης νουθετεῖ τὴν ἀδελφὴν καὶ λόγῳ καὶ ἔργῳ τὴν ἐκείναις ἐναντίαν ὁδὸν βαδίζειν τοῦ βίου. 244. Οἴμοι] ἐπανῆλθεν αἴφνης

ΘΡ. Τί φῄς; ἧκεν ἡ τῶν ἡμετέρων κακῶν σωτηρία, ἀνὴρ συγγενὴς, καὶ πολλῶν τῷ πατρὶ ἡμῶν ὀφείλων χάριν;

ΗΛ. Ἥκει γὰρ, σαφ' ἴσθι τοῦτο, συνεπαγόμενος καὶ Ἑλένην ἀπὸ τοῦ Ἰλίου.

ΘΡ. Εἰ μὲν μόνος εἰς ἡμᾶς διεσώθη, μᾶλλον ἂν συνήνεγκεν αὐτῷ· νῦν δὲ, μέγα κακὸν ἧκεν ἄγων.

ΗΛ. Τοιοῦτον γὰρ ζεῦγος θυγατέρων Τυνδάρεως εἰς ὄνειδος ἑαυτῷ ἀνὰ πᾶσαν ἐγείνατο τὴν Ἑλλάδα.

ΟΡ. Οὐκοῦν σύγ' ἄπεχε τῶν τοιούτων κακῶν· δύνασαι γὰρ τοῦτο· καὶ μὴ μόνον λέγε, ἀλλὰ καὶ φρόνει ταῦτα.

ΗΛ. Ἀλλ' οἴμοι τάλαιν' ἐγώ· ὁρῶ γὰρ ἤδη ὄμμα αὖθις τὸ σὸν ταραττόμενον, αἴφνης σοῦ ἀπὸ σωφροσύνης εἰς μανίαν μετατεθειμένου.

ΟΡ. Ὦ μῆτερ, ἱκετεύω σε, μὴ ἐπίπεμπ' ἐπ' ἐμὲ τὰς αἱματώδεις καὶ δρακοντοειδεῖς τάσδε γυναῖκας, αἳ ἐκ τοῦ ἐγγυτάτου ἤδη μέλλουσί μοι ἐπιπηδήσειν.

ΗΛ. Παράμενε, ὦ ταλαίπωρε, ἐν τῇ κλίνῃ. οὐδὲν γὰρ ὁρᾷς ταῖς γε ἀληθείαις, ὧν σαφῶς δοκεῖς βλέπειν.

ΟΡ. Ὦ Φοῖβε Ἄπολλον, ἀπολοῦσί με αὗται αἱ δειναὶ Θεαὶ, αἱ κυνώπιδες καὶ γοργώπιδες τοῦ ῞Αδου ἱέρειαι.

ΗΛ. Οὐκ ἂν ἀποσταίην σου, ἀμφοτέραις ταῖς χερσὶν ἐχομένη, ἀλλ' ἐπισχήσω σε τῶν ἀθλίων τούτων ἁλμάτων.

ΟΡ. Ἔα με, ὦ Ἐριννὺς σύγε· τί κατέχεις, μέσον με συλλαβοῦσα, ὡς βάλῃς με εἰς τὸν Τάρταρον;

ΗΛ. Ὦ τάλαιν' ἐγώ· τίνα ἐπικουρίαν αὐτῷ προσενέγκω, ὁπότε τὸ θεῖον ἔσθ' ἡμῖν δυσμενές;

---

αὐτῷ ἡ μανία. 252. Γοργῶπες] ἐκ συγκοπῆς δοκεῖ τοῦ γοργώπιδες. 255. Μία οὖσα] Ἐριννὺν τὴν ἀδελφὴν λέγει, κατέχουσαν αὐτὸν μὴ φύγῃ· οὕτω γὰρ αὐτῷ ἡ φαντασία ταύτην παρίστησι· τὸ δὲ ὀχμάζεις, κατέχεις, κατα-

Ἐπεὶ τὸ θεῖον δυσμενὲς κεκτήμεθα;
ΟΡ. Δὸς τόξα μοι κερουλκὰ δῶρα Λοξίου,
οἷς μ' εἶπ' Ἀπόλλων ἐξαμύνασθαι θεάς,
Εἴ μ' ἐκφοβοῖεν μανιάσιν λυσσήμασι·
ΗΛ. Βεβλήσεταί τις θεῶν βροτησίᾳ χερί;
ΟΡ. Εἰ μὴ 'ξαμείψει χωρὶς ὀμμάτων ἐμῶν.
Οὐκ εἰσακούετ'; οὐχ ὁρᾶθ' ἑκηβόλων
Τόξων πτερωτὰς γλυφίδας ἐξορμωμένας;
(Ἆ, ἆ.) τί δῆτα μέλλετ'; ἐξακρίζετ' αἰθέρα
Πτεροῖς· τὰ Φοίβου δ' αἰτιᾶσθε θέσφατα.
(Ἔα.) τί χρῆμ' ἀλύω, πνεῦμ' ἀνεὶς ἐκ πνευμόνων;
Ποῖ, ποῖ ποθ' ἡλάμεσθα δεμνίων ἄπο;
Ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ.
Ξύγγονε, τί κλάεις κρᾶτα θεῖσ' ἔσω πέπλων;
Αἰσχύνομαί σοι μεταδιδοὺς πόνων ἐμῶν,
Ὄχλον τε παρέχων παρθένῳ νόσοις ἐμαῖς.
Μὴ τῶν ἐμῶν ἕκατι συντήκου κακῶν·
Σὺ μὲν γὰρ ἐπένευσας τάδ', εἴργασται δ' ἐμοὶ
Μητρῷον αἷμα. Λοξίᾳ δὲ μέμφομαι,
Ὅστις μ' ἐπάρας ἔργον ἀνοσιώτατον,
Τοῖς μὲν λόγοις εὔφρανε, τοῖς δ' ἔργοισιν οὔ.
Οἶμαι δὲ πατέρα τὸν ἐμὸν, εἰ κατ' ὄμματα
Ἐξιστόρουν νιν, μητέρ' εἰ κτεῖναί με χρὴ,

---

πιέζεις, καὶ ἐκβιάζεις βούλεται λέγειν. 259. Τόξα κερουλκὰ] τὰ ἐκ κεράτων κατασκευασμένα· ἢ ἀληθῶς εἰλήφει ταῦτα παρ' Ἀπόλλωνος, ἵν' ἔχῃ χρήσασθαι ἐπὶ τὰς Ἐριννύας· ἢ ὡς παρὰ τοξότου αἰτεῖ τοῦ θεοῦ· ἢ τρίτον ἡ μανία αὐτῷ τὴν ἰδέαν παρίστησι ταύτην. 263. Εἰ μὴ ἐξαμείβει] εἰ μὴ μεταστaίη μακράν· τὸ δὲ, οὐκ εἰσακούετε, πρὸς τὰς Ἐριννύας συντακτέον· δοκεῖ γὰρ τοξεύειν, ἢ αὐτὰς, ἢ τὸν Ἀπόλλωνα, ὅθεν ἐκεῖνον κελεύει αἰτιᾶσθαι· τόδε, ἐξακρίζετε, εἰς ἄκρον τὸν αἰθέρα ἐκπτῆναι σημαίνει. 168. Ἀλύω] ἐν ἀθυ-

ΟΡ· Δός μοι τὰ τόξα, δός, ἃ παρὰ τοῦ Λοξίου δεδώρηταί μοι· οἷς ἐκεῖνος ἐκέλευσεν ἀμύνασθαί με τὰς Ἐριννύας, εἰ ἐπιχειροῖεν ἐκφοβεῖν με τῷ μανιώδει οἴστρῳ.

ΗΛ. Ἀλλ' ὦ πρὸς θεῶν, ἔσθ' ὅπως βληθήσεται θεὸς ὑπ' ἀνθρώπου;

ΟΡ. Εἰ γὰρ μὴ διαφύγοι τοὺς ἐμοὺς ὀφθαλμούς· ἀλλ' οὐκ ἀκούεθ' ὑμεῖς; οὐχ ὁρᾶτε τὰς τῶν τοξευμάτων γλυφίδας, οἷαι, καὶ ὅσαι ἐπιπηδῶσιν ἤδη ἀπὸ τῶν τόξων; ἆ, ἆ· τί ποτε μέλλετε; καταδύεσθε τοῖς ἑαυτῶν πτεροῖς εἰς τὸν μέγαν αἰθέρα, μηδὲν ἄλλον, ἢ τοὺς τοῦ Φοίβου χρησμοὺς αἰτιώμεναι· Ἔα, τί τοῦτο; τί ποτ' ἀλύω; πῶς οὕτω παραλέλυμαι ὅλως, ὅλον τὸ πνεῦμ' ἀνεὶς ἐκ τοῦ πνεύμονος; ποῖ δήποτ' ἐξήχθημεν οὕτως ἀπὸ τῆς εὐνῆς; γαλήνην γὰρ αὖθις ἐκ χειμῶνος ὁρῶ. Σὺ δ', ὦ ἀδελφὴ, τί ποθ' οὕτω κλάεις ὑπὸ τῷ πέπλῳ· αἰσχύνομαι γὰρ πράγματά σοι παρέχων, καὶ τῶν ἐμαυτοῦ μεταδιδοὺς κακῶν παρθένῳ γε οὔσῃ· μὴ οὖν ἐπὶ τοῖς ἐμοῖς κατατήκου δεινοῖς· σὺ μὲν γὰρ οὐκ ἐνέχῃ τοῖς πεπραγμένοις, εἰ μὴ ψήφῳ μόνῃ· ἐγὼ δ' εἴργασμαι τοὖργον, αἷμ' ἐκχέας τὸ τῆς μητρός· τὸ δὲ πᾶν τῆς μέμψεως ἐς Ἀπόλλωνα ἥκει· ὃς ἐπ' ἔργον ἀνοσιώτατον ἐξορμήσας, ηὔφρανε μὲν τότε λόγῳ· νῦν δ' ἀπέχεται ἐν τῷ ἔργῳ· εἰ γὰρ ἐξῆν μοι ἰδεῖν πατέρα τὸν ἐμαυτοῦ, ἔπειτ' ἠρόμην αὐτὸν, εἴ με χρὴ ἐπεξελθεῖν τῇ μητρὶ, τιμωρὸν αὐτῷ τοῦ θανάτου γιγνόμενον, πολλὰ

---

μίᾳ πολλῇ καὶ ἀδυναμίᾳ εἰμί· ἀπαλλαγεὶς γὰρ τῆς νόσου, αἰσθάνεται ἤδη ἑαυτὸν παραλελυμένον. 270. Γαλήν' ὁρῶ] οὐ γαλήνην, ἀλλὰ γαληνά· ἀρθείσης γὰρ τῆς λιγούσης, ἀνεβιβάσθη ὁ τόνος. 277. Ἐπάρας ἔργον] ἄρας με ἐπ' ἔργον.

Πολλὰς γενείου τοῦδ' ἂν ἐκτεῖναι λιτὰς,
Μὴ τῆς τεκούσης ἐς σφαγὰς ὦσαι ξίφος,
Εἰ μήτ' ἐκεῖνος ἀναλαβεῖν ἤμελλε φῶς,
Ἐγὼ δ' ὁ τλήμων τοιάδ' ἐκπλήσειν κακά.
Καὶ νῦν ἀνακάλυπτ', ὦ κασίγνητον κάρα,
Ἐκ δακρύων τ' ἄπελθε, κεἰ μάλ' ἀθλίως
Ἔχομεν· ὅταν δὲ τἄμ' ἀθυμήσαντ' ἴδῃς,
Σύ μου τὸ δεινὸν καὶ διαφθαρὲν φρενῶν
Ἴσχναινε, παραμυθοῦ θ'· ὅταν δὲ σὺ στένῃς,
Ἡμᾶς παρόντας χρή σε νουθετεῖν φίλα.
Ἐπικουρίαι γὰρ αἵδε τοῖς φίλοις καλαί.
Ἀλλ', ὦ τάλαινα, βᾶσα δωμάτων ἔσω,
Ὕπνῳ τ' ἄϋπνον βλέφαρον ἐκταθεῖσα δὸς,
Σῖτόν τ' ὄρεξαι, λουτρά τ' ἐπὶ χροὸς βάλε.
Εἰ γὰρ προλείψεις μ', ἢ προσεδρίᾳ νόσον
Κτήσῃ τιν', οἰχόμεσθα· σὲ γὰρ ἔχω μόνην
Ἐπίκουρον, ἄλλων, ὡς ὁρᾷς, ἔρημος ὤν.

ΗΛ. Οὐκ ἔστι· σὺν σοὶ καὶ θανεῖν αἱρήσομαι
Καὶ ζῆν· ἔχει γὰρ ταὐτόν· ἢν σὺ κατθάνῃς;
Γυνὴ τί δράσω; πῶς μόνη σωθήσομαι,
Ἀνάδελφος, ἀπάτωρ, ἄφιλος; εἰ δὲ σοὶ δοκεῖ,
Δρᾶν χρὴ τάδ'· ἀλλὰ κλῖνον εἰς εὐνὴν δέμας,
Καὶ μὴ τὸ ταρβοῦν κἀκφοβοῦν σ' ἐκ δεμνίων
Ἄγαν ἀποδέχου, μένε δ' ἐπὶ στρωτοῦ λέχους.
Κἂν μὴ νοσῇς γὰρ, ἀλλὰ δοξάζῃς νοσεῖν,
Κάματος βροτοῖσιν ἀπορία τε γίγνεται.

---

285. Ἀνακάλυπτε] σεαυτὴν δηλονότι· τὸ δὲ κάρα συντακτέον πρὸς τὸ κασίγνητον. 294. Προλείψεις] πότερον, προαποθανῇ, ἢ καταλείψεις; τὸ πρῶτον δοκεῖ ἐννοεῖν, εὐφημότερον εἰπὼν οὕτω· οὕτως καὶ ἐν Ἑκάβῃ. στίχ. 436.

» Οἴ 'γὼ, προλείπω· λύεται δέ μου μέλη.

εἰ μή τι κἀνταῦθα ἀντὶ λειποθυμίας ἐξείληπται. 304. Κἂν μὴ νοσῇς] τὸ μὲν

ἂν ἐκεῖνος τοῦ γενείου τούτου ἁπτόμενος, ἐλιπάρησε, μηδὲν τοιοῦτον ἀποτολμῆσαι πρὸς τὴν μητέρα· εἰκότως· οὔτε γὰρ ἐκεῖνος ἐκ τούτου ἀναβιώσεσθαι ἤμελλεν· οὔτ' ἐγὼ, ἐκείνου μὴ τολμηθέντος, τοσούτων ἂν κακῶν ἐν πείρα γενέσθαι. Ἀλλ' ἀνακάλυψόν μοι νῦν γε τὴν σαυτῆς κεφαλὴν, ἀφειμένη δακρύων, κἂν ἐν ἐσχάτῃ ἀθλιότητι τυγχάνωμεν ὄντες· δεῖ γὰρ δὴ ἐπικουρίαν ὑπ' ἀλλήλων τοὺς φίλους ἔχειν ἐν συμφοραῖς· ὁπότε μὲν αὐτὴ ὁρᾷς με ἐν ἀπορίᾳ καὶ ἀθυμίᾳ γεγενημένον, ἀναλάμβανε ταῖς παραμυθίαις· ἡνίκα δ' αὐτὴ λυπῇ, ἐμὲ χρὴ παρόντα τὰ δέοντα νουθετεῖν· τοῦτο γὰρ καλόν· Ἀλλ' ὦ τάλαινα, εἴσιθι εἰς τὸ δῶμα, καὶ κατακλιθεῖσα, δὸς νῦν γε ὕπνου τοῖς σοῖς ὀφθαλμοῖς, ἐκ πολλοῦ μὴ τυχοῦσα τούτου, προσφέρου σῖτον, ἅπτου λουτρῶν, πάντα ποίει, μηδενὸς τῶν πρὸς θεραπείαν τοῦ σώματος φειδομένη· εἰ γὰρ προλήψεις, ἢ γοῦν ἐκ συνεχοῦς παρ' ἐμοὶ προσεδρίας νοσήσεις, ἀπολοῦμαι κἀγώ. παρὰ τίνος γὰρ ἂν, πλήν σου, ἔχοιμ' ἂν τυχεῖν βοηθείας, πάντων, ὡς ὁρᾷς, γενόμενος ἔρημος;

ΗΛ. Οὐκ ἂν ἀποσταίην· ἀλλὰ μετὰ σοῦ καὶ ζῆν καὶ θανεῖν με ἄμεινον ἔσται· ἄμφω γὰρ εἰς ταὐτὸν ἥκει· σοῦ γὰρ θανόντος, τί ποτ' ἐγὼ, γυνὴ οὖσα δράσω; πῶς βιώσομαι μόνη, ἀδελφοῦ, πατρὸς, καὶ φίλων ἅμα ἔρημος γενομένη; εἰ δέ σοι ἐκεῖνο δοκεῖ ἄμεινον εἶναι, χαρίσομαί σοι καὶ τοῦτο· ἀλλὰ σὺ πρῶτον κατευνάζου ἐνταῦθα ἀναπαυσόμενος, μηκέτι μηδὲν ἐξαλλόμενος πρὸς τὰς πτοίας, μηδὲ τὰ κωφὰ καὶ κενὰ ταῦτ' ἀποδεχόμενος δείματα· τὸ γὰρ δοκεῖν, κἂν κενὸν ᾖ, πόνον μέγαν καὶ ἀπορίαν τοῖς τοῦτο πάσχουσι φέρει.

ΧΟ. Αἶ, αἶ, αἶ, (Στρ.)
Δρομάδες ὦ πτεροφόροι
Ποτνιάδες θεαὶ,
Ἀβάκχευτον αἳ θίασον ἐλάχετ' ἐν
Δάκρυσι καὶ γόοις,
Μελαγχρῶτες Εὐμενίδες, αἵτε τὸν
Ταναὸν αἰθέρ' ἀμπάλλεσθ', αἵματος
Τινύμεναι δίκαν, τινύμεναι φόνον,
Καθικετεύομαι, καθικετεύομαι,
Τὸν Ἀγαμέμνονος γόνον ἐάσατ' ἐκ-
Λαθέσθαι λύσσας μανιάδος φοιτα-
Λέου· φεῦ μόχθων,
Οἵων, ὦ τάλας, ὀρεχθεὶς ἔῤῥεις
Τρίποδος ἄπο φάτιν, ἂν ὁ Φοῖβος
Ἔλακεν, ἔλακε, δεξάμενος ἀνὰ δάπεδον,
Ἵνα μεσόμφαλοι λέγονται μυχοί.
Ἰὼ Ζεῦ, (Ἀντ.)
Τίς ἔλεος; τίς ὅδ' ἀγὼν
Φόνιος ἔρχεται,
Θοάζων σε τὸν μέλεον, ᾧ δάκρυα
Δάκρυσι συμβάλλει
Πορεύων τις εἰς δόμον ἀλαστόρων
Ματέρος αἷμα σᾶς, ὅ σ' ἀναβακχεύει;
Κατολοφύρομαι, κατολοφύρομαι.
Ὁ μέγας ὄλβος οὐ μόνιμος ἐν βροτοῖς.
Ἀνὰ δὲ λαῖφός ὥςτις ἀκάτου θοὰς
Τινάξας δαίμων κατέκλυσεν δεινῶν
Πόνων, ὡς πόντου

ΧΟ. Αἶ, αἶ, αἶ· ὦ Ποτνιάδες Θεαὶ Εὐμενίδες, πτεροτρόφοι, αἳ θίασον ἐλάχετε σκυθρωπὸν καὶ δυσθέατον, καὶ ὅλως θρήνοις καὶ δάκρυσι μεμιγμένον χορεύειν, μελανείμονες, καὶ τὸν λεπτὸν περιπολοῦσαι αἰθέρα, τίουσαι δίκας, τίουσαι φόνους, ἱκετεύω, καθικετεύω ὑμᾶς, ἐᾶτε ἤδη τὸν ἀγαμέμνονος παῖδα ἀτρεμεῖν κατὰ χώραν, παύσατε αὐτὸν τῆς φρικώδους μανίας· φεῦ τῶν κακῶν· οἵων ἐπιθυμήσας, ὦ τάλας, ἀπηλλαγῆς τοῦ μαντείου, δεξάμενος ἐκεῖθεν χρησμὸν παρὰ τοῦ Φοίβου, ἔνθα τὸν ὀμφαλὸν τῆς γῆς εἶναι λέγεται.

Ὦ Ζεῦ, τίς ἂν ἐλεήσειε τοῦτον; τίς ἀγὼν ᾧδε ἥκεν, ἐξορμῶν σε τὸν δύςηνον, ᾧ τῶν ἀλαςόρων τις, τὸ τῆς μητρὸς αἷμα κινῶν ἐν τῇ οἰκίᾳ, δάκρυα προςίθησι δάκρυσιν, ἐξ οὗ εἰς μανίαν αὐτὸς εὐθὺς περιτρέπῃ; ὀλοφύρομαι, ὀλοφύρομαι σφόδρα· ὁ γὰρ μέγας ὄλβος οὐ στάσιμος ἀνθρώποις ἐςὶν, ἀλλὰ δαίμων τις διέλυσεν εἰς μεγάλας συμφορὰς, ὥσπερ πλοῖον, οὗ τῷ ἱςίῳ ῥαγδαῖος

---

πρῶτον κῶλον ἀναφέρεται εἰς Ὀρέστην· ἡ δὲ ἀπόδοσις, γενικῶς ἐπενήνεγκται εἰς πάντας ἀνθρώπους· κακόζηλον δή. 309. Ἀβάκχευτον θίασον] Χορὸν ἄχαριν λυπηρὸν ἐναντίον τῷ βακχικῷ θιάσῳ· Ἐριννύων γὰρ καὶ Βάκχων τὰ ἔργα πάντῃ ἐναντία. τὸ δὲ Ποτνιάδες, μανικόν τί δηλοῖ. Πότνιαι γὰρ χωρίον ἐστι Βοιωτίας· ἔνθα αἱ τοῦ Γλαύκου ἵπποι, βοτάνην φαγοῦσαι, καὶ μανεῖσαι, τὸν ἑαυτῶν δεσπότην διεσπάσαντο· ἄλλως Πότνιαι δὲ πόλις Βοιωτίας· ἔνθα Γλαῦκος μανεὶς, ἥλατο εἰς τὴν θάλασσαν. 313. Φόνον] διορθοῦσι τοῦτο εἰς τὸ φόνων πληθυντικὸν, καὶ ἀποδιδόασιν εἰς τὸ δίκην κατ' ἐπανάληψιν, ἵνα ᾖ σύμφωνον τῇ ἀντιστροφῇ κατωτέρω τῷ, Ἐν βροτοῖς. 323. Τίς ἔλεος] ἥξει τούτῳ; οὐδείς· τοῦτο δὲ πρὸς τὸν Δία· τὸ δ' ἑξῆς ἀποτείνεται πρὸς Ὀρέστην. 331. Ἀνὰ λαῖφος] ἡ συνθήκη οὕτω· δαίμων δέ τις ἀνατινάξας (αὐτὸν τὸν ὄλβον) ὥσπερ λαῖφος θοᾶς ἀκάτου, κατέκλυσεν ἐν κύμασι τῶν δεινῶν πόνων, ὡς ἐν κύ-

Λάβροις ὀλεθρίοισιν ἐν κύμασιν.
Τίνα γὰρ ἔτι πάρος οἶκον ἄλλον,
Ἕτερον, ἢ τὸν ἀπὸ θεογόνων γάμων
Τὸν ἀπὸ Ταντάλου, σέβεσθαί με χρή;
Καὶ μὴν βασιλεὺς ὅδε δὴ στείχει,
Μενέλαος ἄναξ, πολὺ δ' ἁβροσύνῃ
Δῆλος ὁρᾶσθαι
Τῶν Τανταλιδῶν ἐξ αἵματος ὤν.
Ὦ χιλιόναυν στρατὸν ὁρμήσας
Εἰς γῆν Ἀσίαν,
Χαῖρ', εὐτυχίᾳ δ' αὐτὸς ὁμιλεῖς,
Θεόθεν πράξας, ἅπερ εὔχου.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

ΜΕΝΕΛΑΟΣ, ΟΡΕΣΤΗΣ, ΤΥΝΔΑΡΕΩΣ, ΠΥΛΑΔΗΣ
ΧΟΡΟΣ.

ΜΕ. Ὦ δῶμα, τῇ μὲν σ' ἡδέως προσδέρκομαι,
Τροίαθεν ἐλθὼν, τῇ δ' ἰδὼν καταστένω·
Κύκλῳ γὰρ εἱλιχθεῖσαν ἀθλίοις κακοῖς
Οὐ πώποτ' ἄλλην μᾶλλον εἶδον ἑστίαν.
Ἀγαμέμνονος μὲν γὰρ τύχας ἠπιστάμην
Καὶ θάνατον, οἵῳ πρὸς δάμαρτος ὤλετο,
Μαλέᾳ προσίσχων πρῷραν· ἐκ δὲ κυμάτων
Ὁ Ναυτίλοισι μάντις ἐξήγγειλέ μοι,
Νηρέως προφήτης Γλαῦκος, ἀψευδὴς θεὸς,

τυφῶν ἐμπεσὼν, ἀνέτρεψεν αὐτὸ ἐν τοῖς κύμασι· τίνα γὰρ τῶν πάλαι οἴκων σέβοιτ' ἄν τις μᾶλλον, ἢ τὸν τῶν Ταντολιδῶν, τῶν ἀπὸ Θεῶν τὸ γένος ἑλκόντων; Ἀλλὰ μεταξὺ λόγων ὁρῶ Μενέλαον ἐκεῖνον τὸν βασιλέα ἥκοντα δεῦρο· ἐκ γὰρ τῆς ἀβρότητος δῆλός ἐςιν ἐξ αἵματος ὢν τῶν Ταντολιδῶν· ὦ βασιλεῦ, ὁ χιλίας ναυσὶν ἐπὶ τὴν Ἀσίαν ςρατεύσας, χαῖρε σύγε, ὡς λίαν εἶ εὐτυχὴς, πᾶν τὸ βουλόμενον ἐς δεῦρο θεόθεν καταπραξάμενος.

# ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

## ΜΕΝΕΛΑΟΣ, ΟΡΕΣΤΗΣ, ΤΥΝΔΑΡΕΩΣ, ΠΥΛΑΔΗΣ ΧΟΡΟΣ.

ΜΕ. Ὦ δῶμα, ἔστι μὲν ὡς ἡδέως ὁρῶσε, ἀπὸ Τροίας διὰ χρόνου ἀπονοστήσας· ἔστι δ' ὡς καταχέω τῇ θέᾳ δάκρυ· οὔπω γὰρ εἶδον ἑτέραν ἑστίαν τοσούτοις περιβεβλημένην κακοῖς· ἃ γὰρ συνέβη παθεῖν Ἀγαμέμνονα, ὡς ἀπώλετο πρὸς τῆς γυναικὸς, ἅμα προσχὼν Μαλέᾳ, ταῦτ' ἠπιςάμην. Γλαῦκος γὰρ ὁ Νηρέως προφήτης, ὃς ἐξιὼν τῶν

μασι πόντου λάβροις καὶ ὀλεθρίοις, 336. Θεογόνων γάμων] Ζεὺς γὰρ ἀρχὴ τοῦ γένους ἐστίν· ὃς Πλουτοῖ ὁμιλήσας, ἐφύτευσε Τάνταλον, ὡς εἴρηται ἐν τῷ προοιμίῳ. 354. Νηρέως προφήτης] οὗτος Ἀνθηδόνιος ἦν ἁλιεύς· ἑωρακὼς γὰρ ἰχθὺν παρὰ τὴν ψάμμον βοτάνης γευσάμενον καὶ ἀναζήσαντα, φαγὼν καὶ αὐτός γέγονεν ἀθάνατος, ἀλλ' οὐκ ἀγήρατος· ἐφ' ᾧ κατεπόντισεν ἑαυτόν· μαντεύεται δὲ, ὡς Πρωτεὺς παρ' Ὁμήρῳ, καὶ Τρίτων τοῖς Ἀργοναύταις πα-

Ὅς μοι τάδ', εἶπεν ἐμφανῶς παρασταθείς·
Μενέλαε, κεῖται σὸς κασίγνητος θανὼν,
Λουτροῖσιν ἀλόχου περιπεσὼν πανυστάτοις·
Δακρύων δ' ἔπλησεν ἐμέ τε καὶ ναύτας ἐμοὺς
Πολλῶν· ἐπεὶ δὲ Ναυπλίας ψαύω χθονὸς,
Ἤδη δάμαρτος ἐνθάδ' ἐξορμωμένης,
Δοκῶν Ὀρέστην, παῖδα τὸν Ἀγαμέμνονος,
Φίλαισι χερσὶ περιβαλεῖν καὶ μητέρα,
Ὡς εὐτυχοῦντας, ἔκλυον ἁλιτύπων τινὸς
Τῆς Τυνδαρείας παιδὸς ἀνόσιον φόνον.
Καὶ νῦν ὅπου 'στιν, εἴπατ', ὦ νεάνιδες,
Ἀγαμέμνονος παῖς, ὃς τὰ δείν' ἔτλη κακά.
Βρέφος γὰρ ἦν τότ' ἐν Κλυταιμνήστρας χεροῖν,
Ὅτ' ἐξέλειπον μέλαθρον ἐς Τροίαν ἰὼν,
Ὥστ' οὐκ ἂν αὐτὸν γνωρίσαιμ' ἂν εἰσιδών.
ΟΡ. Ὅδ' εἰμ' Ὀρέστης, Μενέλεως, ὃν ἱστορεῖς.
Ἑκὼν ἐγώ σοι τἀμὰ μηνύσω κακά.
Τῶν σῶν δὲ γονάτων πρωτόλεια θιγγάνω
Ἱκέτης, ἀφύλλου στόματος ἐξάπτων λιτάς·
Σῶσόν μ'· ἀφῖξαι δ' αὐτὸς ἐς καιρὸν κακῶν.
ΜΕ. Ὦ θεοὶ, τί λεύσσω; τίνα δέδορκα νερτέρων;
ΟΡ. Εὖ γ' εἶπας· οὐ γὰρ ζῶ κακοῖς, φάος δ' ὁρῶ.
ΜΕ. Ὡς ἠγρίωσαι πλόκαμον αὐχμηρὸν, τάλας!
ΟΡ. Οὐχ ἡ πρόσοψίς μ', ἀλλὰ τἄργ' αἰκίζεται.
ΜΕ. Δεινὸν δὲ λεύσσεις ὀμμάτων ξηραῖς κόραις.
ΟΡ. Τὸ σῶμα φροῦδον· τὸ δ' ὄνομ' οὐ λέλοιπέ με.

---

Πινδάρῳ. 363. Ἀλιτύπων] ἐν ἄλλοις ἀλικτύπων· ἁλιέων. 372. Πρωτόλεια] πρῶτος· εἰσὶ δὲ πρωτόλεια ἀπὸ τῆς λείας ἀπαρχή· νῦν δὲ τῆς ἱκεσίας ἀπαρ-

κυμάτων μαντεύει ναυτιλλομένοις, θεὸς ἀψευδὴς, παρελθών μοι, φανερῶς εἶπε τοῦτο· Μενέλαε, ὁ σὸς ἀδελφὸς τέθνηκεν ὑπὸ τῆς ἑαυτοῦ γυναικὸς ἐν λουτροῖς· ταῦτα δ' εἰπὼν, πολλῶν δακρύων ἐμέ τε καὶ τοὺς ἐμοὺς ἐνέπλησε ναύτας· ἐπεὶ δ' ἀποβαίην εἰς τὴν Ναυπλίαν, προπέμψας τὴν ἐμαυτοῦ γυναῖκα ἐνταῦθα, ἐδόκουν κἀυτὸς ἐλθὼν περιπτύσεσθαι Ὀρέστην τὸν Ἀγαμέμνονος, καὶ τὴν αὐτοῦ μητέρ' ὁμοίως, εὐτυχοῦντας εὑρών· ἀλλ' αἴφνης μανθάνω παρά τινος τῶν ἁλιέων τὸν τῆς Τυνδαρίδος ἀνόσιον φόνον. Ἀλλ' εἴπατέ μοι ὑμεῖς, ὦ νεάνιδες, ποῦ ποτ' ἐστιν Ὀρέστης ὁ Ἀγαμέμνονος, ὃς ἔτλη τὸ δεινὸν τοῦτο πρᾶξας; ὅτε γὰρ ἐξέπλευσα ἐπὶ Τροίαν, βρέφος ὢν ἔτ' ἐκεῖνος, κἀν ὠλέναις τῆς Κλυταιμνήστρας, οὐκ ἂν νῦν ἰδόντι μοι εἴη γνωστός.

ΟΡ. Ἐγὼ ὅδ' αὐτὸς εἰμὶ, ὃν ζητεῖς Ὀρέστην, Μενέλαε· ἐγώ σοι ἑκὼν ἐρῶ τὰς ἐμαυτοῦ δυστυχίας· καί σου τῶν γονάτων ἁπτόμενος, προσπίπτω ἱκέτης, ἐξ ἀφύλλου δεόμενος στόματος, σῶσόν με τῶν περιστειχόντων με νῦν κακῶν, ἐλθὼν ἐν καιρῷ.

ΜΕ. Ὦ θεοί! τίς ἔσθ' οὗτος; τίν' ὧδε ὁρῶ τῶν νεκρῶν;

ΟΡ. Εὖ λέγεις νεκρῶν· ὁρῶν γὰρ τὸ φῶς, οὐ ζῶ, ἐφ' οἷς πάσχω.

ΜΕ. Ὡς ἀγρίαν καὶ αὐχμηρὰν κόμην φέρεις ταύτην.

ΟΡ. Ἡ μὲν θέα οὐδὲν, τὰ δ' ἔργα μαστίζουσί με.

ΜΕ. Καὶ τὸ βλέμμα ὡς ἐκ ξηρῶν ὀμμάτων λίαν δεινόν.

ΟΡ. Ὥστε σχεδὸν ἐκλείπω, τοὔνομα μόνον ἔχων.

---

γη· τὸ δὲ ἐξ ἀφύλλου στόματος τὸ ἄνευ ἱκετηρίας λόγον μόνον προφέρειν δηλοίη· ἢ ἁπλῶς ἀντὶ τοῦ ἀπὸ ξηροῦ στόματος ἀπὸ μεταφορᾶς τῶν ἀφύλλων.

ΜΕ. Ὦ παράλογόν μοι σὴ φανεῖσ' ἀμορφία!
ΟΡ. Ὅδ' εἰμὶ μητρὸς τῆς ταλαιπώρου φονεύς.
ΜΕ. Ἤκουσα· φείδου δ' ὀλιγάκις λέγειν κακά.
ΟΡ. Φειδόμεθ'· ὁ δαίμων δ' ἐς ἐμὲ πλούσιος κακῶν.
ΜΕ. Τί χρῆμα πάσχεις; τίς σ' ἀπόλλυσιν νόσος;
ΟΡ. Ἡ ξύνεσις, ὅτι σύνοιδα δείν' εἰργασμένος.
ΜΕ. Πῶς φής; σοφόν τοι τὸ σαφὲς, οὐ τὸ μὴ σαφές.
ΟΡ. Λύπη μάλιστά γ' ἡ διαφθείρουσά με·
ΜΕ. Δεινὴ γὰρ ἡ θεὸς, ἀλλ' ὅμως ἰάσιμος.
ΟΡ. Μανίαι τε μητρὸς αἵματος τιμωρίαι.
ΜΕ. Ἤρξω δὲ λύσσης πότε; τίς ἡμέρα τότ' ἦν;
ΟΡ. Ἐν ᾗ τάλαινα μητέρ' ἐξώγκουν τάφῳ.
ΜΕ· Πότερα κατ' οἴκους, ἢ προσεδρεύων πυρᾷ;
ΟΡ. Νυκτὸς φυλάσσων ὀστέων ἀναίρεσιν.
ΜΕ. Παρῆν τις ἄλλος, ὃς σὸν ὤρθευεν δέμας;
ΟΡ. Πυλάδης, ὁ συνδρῶν αἷμα καὶ μητρὸς φόνον.
ΜΕ Φαντασμάτων δὲ τάδε νοσεῖς ποίων ὕπο;
ΟΡ. Ἔδοξ' ἰδεῖν τρεῖς νυκτὶ προσφερεῖς κόρας.
ΜΕ. Οἶδ', ἃς ἔλεξας, ὀνομάσαι δ' οὐ βούλομαι.
ΟΡ. Σεμναὶ γάρ· εὐπαίδευτα δ' ἀποτρέπῃ λέγειν.
ΜΕ. Αὗταί σε βακχεύουσι συγγενεῖ φόνῳ;
ΟΡ. Οἴμοι διωγμῶν, οἷς ἐλαύνομαι τάλας!
ΜΕ. Οὐ δεινὰ, πάσχειν δεινὰ τοὺς εἰργασμένους.
ΟΡ. Ἀλλ' ἔστιν ἡμῖν ἀναφορὰ τῆς ξυμφορᾶς —

φυτῶν ξηρῶν δοκούντων εἶναι. 387. Πῶς φὴς; πρὸς τὸ Σύνεσις ἡ ἀπορία, ἀντὶ τοῦ συνείδησις ἐκληφθέν. 392. Ἐξώγκουν τάφῳ] ἀντὶ τοῦ, τῇ μητρὶ ἔχουν τάφον. 394. Ἀναίρεσιν] φυλάττων, μήτις ἀφέλῃ τὰ ὀστᾶ. Προσφερεῖς] πότερον, ὁμοίας τῇ νυκτὶ, ὅ ἐστι μελαίνας, ἢ εἶδεν αὐτὰς ἐν νυκτὶ ὁμοίας ἀλλήλαις; τὸ πρῶτον ἔμοιγ' ἄμεινον· 400. Εὐπαίδευτα] τοῦτο

ΜΕ. Ὦ θέα παράδοξος τῆς σῆς ἀμορφίας.

ΟΡ. Βλέπεις, παρόντα ἔχων τὸν μητραλοίαν.

ΜΕ. Μανθάνω, ἀλλὰ σύγ᾽ ὡς ἐλάχιστα τούτων μιμνήσκου.

ΟΡ. Προσποιοῦμαίγε, ἀλλ᾽ ὁ δαίμων ἄλλ᾽ ἐπιφέρει ἄλλοις.

ΜΕ. Τί δήποτε πάσχεις, ὑφ᾽ ὅτου οὕτω φθειρόμενος;

ΟΡ. Τοῦτ᾽ αὐτὸ, ὅτι σύνοιδα δεινὰ πεπραχώς.

ΜΕ. Πῶς φής; τὸ γὰρ σαφὲς, οὐτάσαφὲς σοφόν.

ΟΡ. Λύπη ἐνδόμυχός ἐστιν ἡ φθείρουσά με.

ΜΕ. Δεινήγ᾽ ἡ Θεὸς, ἀλλ᾽ οὐκ ἀνήκεστος ὅλως.

ΟΡ. Καὶ μανίαι, τὸ μητρῷον τιόμεναι αἷμα.

ΜΕ. Πότε δέ σοι πρῶτον τὸ πάθος ἐνέσκηψεν;

ΟΡ. Ἡνίχ᾽ ἡ δύστηνος μήτηρ παρεδίδετο τάφῳ.

ΜΕ. Πότερα, οἴκοι, ἢ πρὸς αὐτῷ τῷ τάφῳ;

ΟΡ. Νύκτωρ, ἔνθ᾽ ἐφύλασσον τὰ ἐκείνης ὀστᾶ.

ΜΕ. Μόνος, ἢ συμπαρῆν σοί τις ἀνακουφίζων τὸ σῶμα;

ΟΡ. Παρῆν Πυλάδης, ὁ συμπράκτωρ τοῦ φόνου.

ΜΕ. Τὰ δὲ φάσματα τίνα, ὑφ᾽ ὧν οὕτω πάσχεις;

ΟΡ. Ἔδοξα ἰδεῖν τρεῖς κόρας δυσειδεῖς παρεστώσας.

ΜΕ. Μανθάνω· οὐ μέντοιγε βούλομαι ὀνομάσαι.

ΟΡ. Εὖγε διὰ τὸ σεμνὸν ἀποτρέπῃ τοῦ λόγου.

ΜΕ. Αὗται δὴ οἰστρηλατοῦσί σε ὡς μητραλοίαν.

ΟΡ. Οἴμοι μοι, ἐφ᾽ οἷς τοιαῦτ᾽ ἐλαυνόμενος πάσχω!

ΜΕ. Οὐδὲν δεινὸν τοῦτο τοῖς δεινὰ πεπραχόσι.

ΟΡ. Καὶ μὴν ἔσθ᾽ ἡμῖν ἄλλη τὴν συμφορὰν ἀποδοῦναι.

---

κὲν ἀντὶ τοῦ εὐπαιδεύτως· τὸ δὲ Λέγειν ἀντὶ τοῦ προφέρειν ἐκείνας ὀνομαστί. 404. Ἀναφορὰ] ἔστιν ἡμῖν ἀναφέρειν τὴν αἰτίαν εἰς ἄλλον· εἰς τίνας ... ὦν εἰς τὸν θάνατον τοῦ πατρὸς; τοῦτο οὐδὲν ἰσχυρὸν ἔχει. τὸ δὲ Φοῖβος ἐπο-

ΜΕ. Μὴ θάνατον εἴπῃς· τοῦτο μὲν γὰρ οὐ σοφόν.
ΟΡ. Φοῖβος, κελεύσας μητρὸς ἐκπρᾶξαι φόνον.
ΜΕ. Ἀμαθέστερός γ' ὢν τοῦ καλοῦ καὶ τῆς δίκης.
ΟΡ. Δουλεύομεν θεοῖς, ὅ,τι ποτ' εἰσὶν οἱ θεοί.
ΜΕ. Κᾆτ' οὐκ ἀμύνει Λοξίας τοῖς σοῖς κακοῖς;
ΟΡ. Μέλλει· τὸ θεῖον δ' ἐστὶ τοιοῦτον φύσει.
ΜΕ. Πόσον χρόνον δὲ μητρὸς οἴχονται πνοαί;
ΟΡ. Ἕκτον τόδ' ἦμαρ· ἔτι πυρὰ θερμὴ τάφου.
ΜΕ. Ὡς ταχὺ μετῆλθόν σ' αἷμα μητέρος θεαί!
ΟΡ. Οὐ σοφὸς, ἀληθὴς δ' ἐς φίλους ἔφυν φίλος.
ΜΕ. Πατρὸς δὲ δὴ τί σ' ὠφελεῖ τιμωρία;
ΟΡ. Οὔπω· τὸ μέλλον δ' ἴσον ἀπραξίᾳ λέγω.
ΜΕ. Τὰ πρὸς πόλιν δὲ πῶς ἔχεις, δράσας τάδε;
ΟΡ. Μισούμεθ' οὕτως, ὥστε μὴ προσεννέπειν.
ΜΕ. Οὐδ' ἥγνισαι σὸν αἷμα κατὰ νόμους χεροῖν;
ΟΡ. Ἐκκλείομαι γὰρ δωμάτων, ὅπῃ μόλω.
ΜΕ. Τίνες πολιτῶν ἐξαμιλλῶνταί σε γῆς;
ΟΡ. Οἴαξ, τὸ Τροίας μῖσος ἀναφέρων πατρί.
ΜΕ. Ξυνῆκα· Παλαμήδους σε τιμωρεῖ φόνος.
ΟΡ. Οὗ γ' οὐ μετῆν μοι· διὰ τριῶν δ' ἀπόλλυμαι.

---

μένως συντακτέον πρὸς τὸ, Ἔστιν ἀναφορὰ, ἀνωτέρω. 407. Ἀμαθέστερος] οὐκ οἶδε καλῶς τὴν δίκην. τὸ γὰρ συγκριτικὸν ἐνταῦθα καὶ τοῦ θετικοῦ μετριώτερον βούλεται εἶναι. 410. Μέλλει.] ἀναβάλλει· φύσις γὰρ θεοῖς μακροθύμοις ἐφ' ἑκάτερα εἶναι. 413. Μετῆλθον] ἐτιμωρήσαντο· ὅρα δὲ τὸ κακόηθες Μενελάου ὅπως τῇ ἀναμνήσει τῶν κακῶν ἐθέλει ἐπηρεάζειν αὐτὸν πανταχοῦ. 414. ἀληθὴς κακὸς] οὕτως ἐν ἄλλοις. ἔφυς ἀληθὴς μὲν, ὡς ἀληθῆ μου κατηγορῶν φονεύσαντος τὴν μητέρα· κακὸς δὲ εἶ, ὡς σκαιῶς καὶ ἀκαίρως μοι νῦν ἐξονειδίζων ταῦτα. ἐν ἄλλοις δ' αὖ, Οὐ σοφὸς, ἀληθὴς δ' ἐς φίλους ἔφυν φίλος, ἄμεινον. 416. Οὔπω] οὐδεμία πώ μοι ὠφέλεια· ἐν δὲ τῷ μέλλοντι οὐκ οἶδα· τοῦτο γὰρ ἴσον ἐστὶ τῷ μὴ εἶναι, ὅτι οὐκ ἔστιν. 419. Σὸν αἷμα] τὸ συγγενικὸν αἷμα· ἢ τὸ αἷμα, ὃ αἱ σαὶ χεῖρες ἐξέχεαν· νόμος δὲ ἦν τοὺς ἐμφύλιον φόνον ἐργαζομέ-

ΜΕ. Τὸν θάνατον φὴς τοῦ πατρός; οὐδὲν πρὸς ἔπος τοῦτο·
ΟΡ. Τὸν Φοῖβόν μοι νόει, ὃς τὸν τῆς μητρὸς ἔχρησε φόνον.
ΜΕ. Οὐκοῦν ἀγνοεῖν ἐκεῖνος δοκεῖ τὸ καλὸν καὶ τὴν δίκην.
ΟΡ. Δουλευτέον Θεοῖς ὅ,τι ποτ' ἂν ὦσιν ἐκεῖνοι.
ΜΕ. Τί οὖν οὐκ ἀμύνει νῦν ὁ Φοῖβος πάσχοντί σοι;
ΟΡ. Μέλλει, οἶμαι· ἡ γὰρ φύσις θεῶν τοιαύτη.
ΜΕ. Ποσαία δὲ τέθνηκεν ἡ μήτηρ.
ΟΡ. Ἑκταία· ἡ γὰρ πυρὰ ἔτι θερμὴ τοῦ τάφου·
ΜΕ. Οὕτως οὖν ταχέως σε αἱ Θεαὶ τιμωροῦνται;
ΟΡ. Ἄξιος φίλοις γεγονὼς, οὐ σοφὸν οἶδα πράξας.
ΜΕ. Τί γάρ σοι τῆς τοῦ πατρὸς τιμωρίας πρόσεστιν ὄφελος;
ΟΡ. Οὐδέν πω· τὸ δὲ μέλλον ἴσον τῷ μὴ πεπρᾶχθαι.
ΜΕ. Πρὸς δὲ τὴν πόλιν πῶς ἔχεις, τοιαῦτα πράξας;
ΟΡ. Μισοῦμαι παρὰ πάντων, ὥστε μηδὲ προσρήσεως τυγχάνειν.
ΜΕ. Τοῦ δ' αἵματος τὰς χεῖρας οὐκ ἐκάθηρας νόμῳ;
ΟΡ. Οὐκ ἔγωγε· ὅπου γὰρ ἂν ἔλθω, ἐξελαύνομαι πάντῃ.
ΜΕ. Τίνες δὲ τῶν ἀστῶν φυγάδα διώκουσί σε;
ΟΡ. Οἴαξ ὁ πρῶτος διὰ τὴν τοῦ πατρὸς ἐκστρατείαν.
ΜΕ. Μανθάνω· τὸν τοῦ Παλαμήδους ἐπέξεισι φόνον.
ΟΡ. Οὐ μέτεστί μοι τούτου· τρεῖς δὲ μάλιστα φθείρουσί με.

---

νους καθαίρεσθαι. 420. Ἐξαμιλῶνται] ἁμιλλῶνται ἐκβαλεῖν σε τῆς γῆς. 421. Οἴαξ] ἀδελφὸς ἦν Παλαμήδου· ὃς καὶ εἰς Τροίαν μετὰ τῶν Ἑλλήνων ἐστράτευσι· καὶ θαυμασθεὶς ἐπὶ σοφίᾳ ὡς οὐδεὶς τῶν πώποτε, φθονηθεὶς ἐντεῦθεν ὑπὸ Ὀδυσσέως, Διομήδους, καὶ Ἀγαμέμνονος, ἀνῃρέθη λευσίμῳ θανάτῳ· ἀνθ' ὧν ὁ ἀδελφὸς αὐτοῦ Οἴαξ, ἀμυνόμενος Ἀγαμέμνονα· (τοῦτο γάρ ἐστι τὸ τῆς Τροίας μίσος ἀναφέρων πατρὶ) συναγωνίζεται τὸν κατὰ τοῦ Ὀρέστου θάνατον· 424. Οὔ γ' οὐ μετῆν μοι] ἐν ἄλλοις δὲ, οὔκουν μετῆν μοι, κεῖται· τὸ δὲ διὰ τριῶν τί βούλεται λέγειν; ἦν μὲν εἷς, τὸ πλῆθος· δεύτερος δὲ, ὁ Οἴαξ· τρίτος δὲ ἀπορούμενος, ζητεῖται παρὰ Μενελάου, μήτις τῶν Αἰγίσθου φίλων ἐστίν;

ΜΕ. Τίς δ' ἄλλος; ἤπου τῶν ἀπ' Αἰγίσθου φίλων;
ΟΡ. Οὗτοί μ' ὑβρίζουσ', ὧν πόλις τανῦν κλύει.
ΜΕ. Ἀγαμέμνονος δὲ σκῆπτρ' ἐᾷ σ' ἔχειν πόλις;
ΟΡ. Πῶς; οἵτινες ζῆν οὐκ ἐῶσ' ἡμᾶς ἔτι;
ΜΕ. Τί δρῶντες, ὅτι καὶ σαφὲς ἔχεις εἰπεῖν ἐμοί;
ΟΡ. Ψῆφος καθ' ἡμῶν οἴσεται τῇδ' ἡμέρᾳ.
ΜΕ. Φεύγειν πόλιν τήνδ', ἢ θανεῖν, ἢ μὴ θανεῖν;
ΟΡ. Θανεῖν ὑπ' ἀστῶν λευσίμῳ πετρώματι·
ΜΕ. Κᾆτ' οὐχὶ φεύγεις, γῆς ὑπερβαλὼν ὅρους;
ΟΡ. Κύκλῳ γὰρ εἱλισσόμεθα παγχάλκοις ὅπλοις.
ΜΕ. Ἰδίᾳ πρὸς ἐχθρῶν, ἢ πρὸς Ἀργείας χερός;
ΟΡ. Πάντων πρὸς ἀστῶν, ὡς θάνω, βραχὺς λόγος.
ΜΕ. Ὦ μέλεος, ἥκεις ξυμφορᾶς πρὸς τοὔσχατον.
ΟΡ. Ἐς σ' ἐλπὶς ἡ 'μὴ καταφυγὰς ἔχει κακῶν.
Ἀλλ' ἀθλίως πράσσουσιν εὐτυχὴς μολὼν,
Μετάδος φίλοισι σοῖσι σῆς εὐπραξίας,
Καὶ μὴ μόνος τὸ χρηστὸν ἀπολαβὼν ἔχε,
Ἀλλ' ἀντιλάζου καὶ πόνων ἐν τῷ μέρει,
Χάριτας πατρῴας ἐκτείνων ἐς οὕς σε δεῖ.
Ὄνομα γὰρ, ἔργον δ' οὐκ ἔχουσιν οἱ φίλοι,
Οἱ μὴ 'πὶ ταῖσι συμφοραῖς ὄντες φίλοι.
ΧΟ. Καὶ μὴν γέροντι δεῦρ' ἁμιλλᾶται ποδὶ
Ὁ Σπαρτιάτης Τυνδάρεως μελάμπεπλος,
Κουρᾷ τε θυγατρὸς πενθίμῳ κεκαρμένος.

---

ἢ ἐννοητέον τὰς τρεῖς προσφερεῖς κόρας, ἃς αὐτὸς Ὀρέστης ἔφη ἀνωτέρω. 436 Βραχὺς ὁ λόγος] ἐν συντόμῳ τὸ πᾶν εἰπεῖν· τὸ δὲ, ἐς τοὔσχατον, ἑπομένως τὴν ἀπελπισίαν αὐτῷ τοῦ Μενελάου δηλοῖ. 446. Γέροντι ἁμιλλᾶται ποδὶ] οἷον ἀκροβατῶν ἥκει, βραχέα μὲν, πυκνὰ δὲ ποιούμενος τὰ βήματα δέει τοῦ

ΜΕ Τίς δὲ ἄλλος; μῶν τῶν Αἰγίσθου φίλων;
ΟΡ. Ἔγνως· μέγα γὰρ αὐτῶν τὸ κράτος ἐν πολίταις.
ΜΕ. Τὸ δὲ πατρῷον σκῆπτρον ἐᾷ σε ἡ πόλις ἔχειν;
ΟΡ. Πῶς γάρ; οἳ οὐδὲ ζῆν ἡμᾶς ἐῶσιν ἔτι;
ΜΕ. Τί ποτε δρῶντες; δεῖ γάρ με πάντ' εἰδέναι.
ΟΡ. Τήμερον γὰρ ἡμῶν καταψηφιοῦνται.
ΜΕ. Πότερον, φυγεῖν, ἢ θανεῖν, ἢ ἄλλως ἀθώους εἶναι;
ΟΡ. Θανεῖν ἡμᾶς, δημοσίᾳ καταλευσθέντας.
ΜΕ. Τί οὖν παραμένεις, κοὐχ ὑπερπηδᾷς τοὺς ὅρους;
ΟΡ. Πῶς γὰρ ἂν ἐξείη, ὅπλοις φρουρουμένους;
ΜΕ. Ἰδίᾳ πρὸς ἐχθρῶν, ἢ ὑπὸ πάντων τῶν Ἀργείων;
ΟΡ. Ἑνὶ δὲ λόγῳ κοινὴ ἡ ψῆφος τοῦ θανάτου.
ΜΕ. Ὦ δύστηνος, ἐν ἐσχάτοις ἐστί σοι τὰ πράγματα.
ΟΡ. Ἀλλ' εἰς σὲ, ὦ Μενέλαε, ὕπεστιν ἔμοιγε πρὸς ἀπαλλαγὴν τῶν κακῶν ἐλπὶς οὐ σμικρά· ἐπεὶ γὰρ ἥκες ὡς ἡμᾶς κακῶς ἤδη πράσσοντας εὐτυχὴς, μεταδοτέον σοι τῆς ὑπαρχούσης εὐπραγίας τοῖς φίλοις· δεῖ γὰρ φίλους πρὸς φίλους συμμερίζεσθαι τὰ ἡδέα, καὶ τῶν ἀνιαρῶν αὖ ἐν μέρει συμμετέχειν, εἴποτε τύχοι· σοὶ δὲ καὶ χάριτες πρὸς τοῦ ἐμοῦ πατρὸς προαπόκεινται· ἃς ἐν καιρῷ νῦν ἀποδοτέον σοι τῷ ἐκείνου παιδί· ἄλλως γὰρ οἱ μὴ ἐν συμφοραῖς τὴν φιλίαν ἐπιδεικνύμενοι, ὀνόματι μὲν, τῷ δ' ἔργῳ οὐκ εἰσὶ φίλοι.
ΧΟ. Καὶ μὴν μεταξὺ λόγων Τυνδάρεως ἐκεῖνος ὁ Σπαρτιάτης ἀβληχρῷ ποδὶ σπεύδει δεῦρο, μελανείμων ὅλως, καὶ τὴν κόμην πένθει θυγατρὸς ἀποκεκαρμένον.

---

μὴ σφαλῆναι τῇ τῶν ποδῶν ἀσθενείᾳ. 448. Πενθίμῳ] κεκαρμένος τὴν κόμην

ΟΡ. Ἀπωλόμην, Μενέλαε· Τυνδάρεως ὅδε
Στείχει πρὸς ἡμᾶς, οὗ μάλιστ᾽ αἰδὼς μ᾽ ἔχει
Ἐς ὄμματ᾽ ἐλθεῖν τοῖσιν ἐξειργασμένοις.
Καὶ γάρ μ᾽ ἔθρεψε μικρὸν ὄντα, πολλὰ δὲ
Φιλήματ᾽ ἐξέπλησε, τὸν Ἀγαμέμνονος
Παῖδ᾽ ἀγκάλαισι περιφέρων, Λήδα θ᾽ ἅμα,
Τιμῶντέ μ᾽ οὐδὲν ἧσσον, ἢ Διοσκόρω·
Οἷς, ὦ τάλαινα καρδία, ψυχή τ᾽ ἐμὴ,
Ἀπέδωκ᾽ ἀμοιβὰς οὐ καλάς· τίνα σκότον
Λάβω προσώπῳ; ποῖον ἐπίπροσθεν νέφος
Θῶμαι, γέροντος ὀμμάτων φεύγων κόρας.
ΤΥ. Ποῦ, ποῦ θυγατρὸς τῆς ἐμῆς ἴδω πόσιν,
Μενέλαον; ἐπὶ γὰρ τῷ Κλυταιμνήστρας τάφῳ
Χοὰς χεόμενος ἔκλυον, ὡς ἐς Ναυπλίαν
Ἥκοι ξὺν ἀλόχῳ πολυετὴς σεσωσμένος·
Ἄγετέ με· πρὸς γὰρ δεξιὰν αὐτοῦ θέλω
Στὰς ἀσπάσασθαι, χρόνιον εἰσιδὼν φίλον.
ΜΕ. Ὦ πρέσβυ, χαῖρε, Ζηνὸς ὁμόλεκτρον κάρα.
ΤΥ. Ὦ χαῖρε καὶ σὺ, Μενέλεως, κήδευμ᾽ ἐμόν. —
Ἔα· τὸ μέλλον ὡς κακὸν τὸ μὴ εἰδέναι.
Ὁ μητροφόντης ὅδε πρὸ δωμάτων δράκων
Στίλβει νοσώδεις ἀστραπὰς, στύγημ᾽ ἐμόν.
Μενέλαε, προσφθέγγει νιν, ἀνόσιον κάρα;
ΜΕ. Τί γάρ; φίλου μοι πατρός ἐστιν ἔκγονος.
ΤΥ. Κείνου γὰρ ὅδε πέφυκε, τοιοῦτος γεγώς;
ΜΕ. Πέφυκεν· εἰ δὲ δυστυχεῖ, τιμητέος.

ἐπὶ πένθει τῆς θυγατρός. 468. Ὡς κακὸν τὸ μέλλον μὴ εἰδέναι] τὴν συνάντησιν ἐννοεῖ τοῦ Ὀρέστου· οὐ γὰρ ᾤετο ὄψεσθαι αὐτὸν ἐκ μίσους· διὸ καὶ δράκοντα

ΟΡ. Φεῦ, ἀπόλωλα, ὦ Μενέλαε, ὁ δυστυχὴς καὶ ταλαίπωρος· Τυνδάρεως ἐκεῖνος ἥκει πρὸς ἡμᾶς, ᾧ αἰσχύνη μ' ἔχει εἰς ὄψιν ἐλθεῖν, ἐφ' οἷς εἴργασμαι τάλας· καὶ γὰρ ἀνέθρεψέ με νήπιον ἔτι ὄντα, πολλάκις καταφιλήσας, καὶ ἐν ἀγκάλαις ὡς παῖδα περιφέρων τοῦ Ἀγαμέμνονος· ὥς δ' αὔτως καὶ ἡ Λήδα, τιμῶντές με ἄμφω οὐχ ἧττον ἢ αὐτὼ Διοσκούρω· ἀλλ' ἔγωγ', ὢ τῆς τόλμης! ὢ ψυχῆς τῆς ἐμῆς! ἀγνώμονα γνώμην ἔσχον, κακὰ ἀντὶ ἀγαθῶν αὐτοῖς ἀποδούς· τίς οὖν ἀχλὺς νῦν τοῖς ἐμοῖς ὀφθαλμοῖς ἐπιπροσθήσει ὡς μὴ ὁρᾶσθαι; ποῖον νέφος προθῶμαι, ὡς τὴν τοῦ γέροντος φύγοιμι πρόσοψιν;

ΤΥ. Ποῦ ἐστι Μενέλαος ὁ τῆς ἐμῆς θυγατρὸς ἀνήρ; χοὰς γὰρ τῷ τῆς Κλυταιμνήστρας προσφέρων τάφῳ, ἀκήκοα ἐλθεῖν αὐτὸν εἰς Ναυπλίαν μετὰ τῆς γυναικὸς, οὕτω διὰ χρόνου πολλοῦ σεσωσμένον; ἄγετέ με ὑμεῖς πρὸς αὐτόν· βούλομαι γὰρ προσιὼν, ἀσπάσασθαι τὰ εἰκότα, ὡς διὰ χρόνου ἰδών·

ΜΕ. Χαῖρ', ὦ γέρον, Διὸς ὁμόκοιτε ἄνερ.

ΤΥ. Νὴ καὶ σύγ', ὦ Μενέλαε, ἡμέτερε κηδεστά. Ἔα· ὅσον κακὸν τὸ μὴ εἰδέναι ἡμᾶς τὸ μέλλον! ὁ γὰρ μητραλοίας δράκων οὑτοσὶν, ὁ στυγητότατος ἔμοιγε, μανιῶδές τι ὧδ' ἀποστίλβει· σὺ δ', ὦ Μενέλαε, τολμᾷς προσφέγγεσθαι τοῦτον, μιαρὸν καὶ ἀνόσιον ὄντα;

ΜΕ. Τί δ' οὐχί; μὴ οὐ παῖς τοῦ ἐμοῦ ἐστιν ἀδελφοῦ;

ΤΥ. Ἐκείνου; πως γὰρ, τοιοῦτος γεγεννημένος;

ΜΕ. Ἐκείνου πάντως· διὸ νῦν καὶ δυστυχῶν τιμητέος.

---

αὐτὸν καλεῖ, αἰνιττόμενος ἴσως τὸν μητραλοίαν ἔχιν, διαῤῥηγνύντα ἐν τῷ τίκτεσθαι τὴν τῆς μητρὸς γαστέρα κατὰ τὸ, Νικάνδρειον.

„ Γαστέρ' ἀναβρώσαντες, ἀμήτορες ἐξεγένοντο.

ΤΥ. Βεβαρβάρωσαι, χρόνιος ὢν ἐν βαρβάροις.
ΜΕ. Ἑλληνικόν τοι τὸν ὁμόθεν τιμᾷν ἀεί.
ΤΥ. Καὶ τῶν νόμων γε μὴ πρότερον εἶναι θέλειν.
ΜΕ. Πᾶν τοὐξ ἀνάγκης δοῦλόν ἐστ' ἐν τοῖς σοφοῖς.
ΤΥ. Κέκτησό νυν σὺ τοῦτ', ἐγὼ δ' οὐ κτήσομαι.
ΜΕ. Ὀργὴ γὰρ ἅμα σου καὶ τὸ γῆρας οὐ σοφόν.
ΤΥ. Πρὸς τόνδε σοφίας τις ἂν ἀγὼν ἥκοι πέρι;
Εἰ τὰ καλὰ πᾶσι φανερὰ καὶ τὰ μὴ καλὰ,
Τούτου τὶς ἀνδρῶν ἐγένετ' ἀσυνετώτερος,
Ὅστις τὸ μὲν δίκαιον οὐκ ἐσκέψατο,
Οὐδ' ἦλθεν ἐπὶ τὸν κοινὸν Ἑλλήνων νόμον;
Ἐπεὶ γὰρ ἐξέπνευσεν Ἀγαμέμνων βίον,
Πληγεὶς θυγατρὸς τῆς ἐμῆς ὑπὲρ κάρα,
(Αἴσχιστον ἔργον! οὐ γὰρ αἰνέσω ποτέ·)
Χρῆν αὐτὸν ἐπιθεῖναι μὲν αἵματος δίκην
Ὁσίαν διώκοντ', ἐκβαλεῖν τε δωμάτων
Μητέρα· τὸ σῶφρόν τ' ἔλαβεν ἂν τῆς ξυμφορᾶς,
Καὶ τοῦ νόμου τ' ἂν εἴχετ', εὐσεβής τ' ἂν ἦν.
Νῦν δ' ἐς τὸν αὐτὸν δαίμον' ἦλθε μητέρι.
Κακὴν γὰρ αὐτὴν ἐνδίκως ἡγούμενος,
Αὐτὸς κακίων μητέρ' ἐγένετο κτανών.
Ἐρήσομαι δὲ, Μενέλεως, τοσόνδε σε·
Εἰ τόνδ' ἀποκτείνειεν ὁμόλεκτρος γυνὴ,
Χῶ τοῦδε παῖς αὖ μητέρ' ἀνταποκτενεῖ,
Κἄπειθ' ὁ κείνου γενόμενος φόνῳ φόνον

---

478. Δοῦλον] ποιητική περίνοιά ἐστι τὸ λεγόμενον· βούλεται γὰρ εἰπεῖν, ὅτι τὸ ἐξ ἀνάγκης γιγνόμενον κρεῖττόν ἐστι καὶ τοῦ νόμου κατα γνώμην πολλῶν σοφῶν· ἢ τῇ ἀνάγκῃ πᾶς δοῦλος γίγνεται, ὥς φασιν οἱ σοφοί· το δὲ τὸ συγ·

ΤΥ. βεβαρβάρωσαι, διὰ πολλοῦ βαρβάροις παραβεβλημένος.

ΜΕ. Μὰ Δί, ἀλλ' Ἑλληνικὸν τιμᾷν τοὺς προσήκοντας.

ΤΥ. Ἀλλὰ καὶ τῶν νόμων μὴ ἐπίτροσθεν βαίνειν.

ΜΕ. Τῇ γὰρ ἀνάγκῃ, ὡς οἱ σοφοὶ φασὶ, δουλευτέον.

ΤΥ. Σοίγε μὲν οὖν, ἐμοὶ δ' οὐκ ἂν ἀρέσκοι τάδε.

ΜΕ. Πέποιθα· ὀργὴ γὰρ καὶ γῆρας ἄφρονά ἐςιν ἄμφω.

ΤΥ. Τίς δὲ νῦν λόγος ἂν εἴη φρονήσεως πρὸςγε τοῦτον; εἰ γὰρ πᾶσι γνωςὰ τάτε καλὰ καὶ αἰσχρὰ, τίς τούτου ἀλογώτερος ἐγένετο πώποτε, ὃς τό,τε δίκαιον παρέβη, καὶ τὸν Ἕλληνα νόμον εἰς οὐδὲν ἐλογίσατο; Ἀγαμέμνονος γὰρ ὑπὸ τῆς ἐμῆς καταςρέψαντος θυγατρὸς (αἴσχιςον δήπου τόλμημα τοῦτο, καὶ οὐκ ἂν ἐπαινέσαιμι), ἐχρῆν αὐτὸν, δίκην φόνου δικασάμενον πρὸς αὐτὴν, ἐκβαλεῖν τῆς οἰκίας· οὕτω γὰρ, τόντε νόμον φυλάξας, καὶ τὸ ὅσιον σώσας, δίκην ἂν ἔλαβε σώφρονα· νῦν δὲ εἰς ταὐτὸν τῇ μητρὶ ἀτόπημα ἐξωλίσθησεν, ἀνοσιουργήματι τἀνοσιούργημα μετελθών· κακὴν γὰρ ἐκείνην δικαίως ἡγούμενος, κακίᾳ μείζονι ὑπερήλασε, μητραλοίας γεγενημένος· βούλομαι δὲ ἐρέσθαι σε, ὦ Μενέλαε, τοῦτο μόνον· εἰ γὰρ τοῦτον ἡ σύζυγος αὐτοῦ ποτὲ ἀποκτείνειεν· εἶθ' οὕτως ὁ τούτου αὖ παῖς τὴν μητέρα, φόνῳ φόνον οὕτως ἀεὶ τῶν ἀπο-

---

γενὲς τιμᾷν ὡς ἀναγκαῖον ὑπακούεται· οὐχ ἧττον δὲ καὶ διὰ τὸν Ἀπόλλωνα· πᾶν γὰρ τὸ ἐκ θεοῦ ἀναγκαῖόν ἐστι. 487. Θυγατρὸς] ὑπὸ τῆς ἐμῆς θυγατρός· ἀλλ' ἡ τοιαύτη ἔλλειψις πάνυ μοι τολμηρὰ δοκεῖ εἶναι ἐν παθητικῇ συντάξει· εἰ δὲ μεταβάλοιμεν τὴν Ὑπὲρ εἰς τὴν Ὑπὸ, ἀναπληρῶτ' ἂν ὁ λόγος ὀρθῶς. 488. Αἴσχιστον ἔργον] τοῦτο τὸ τῆς θυγατρός. 490. Διώκοντα] ἐνάγοντα εἰς δικαστήριον· οὕτω γὰρ τὴν συμφορὰν ἐπ' ἀμφότερα ἐμετρίασεν ἂν τῷ τε πατρὶ τιμωρήσας, καὶ πρὸς τὴν μητέρα μὴ ἀνοσιουργήσας· ἔπειτ' ὀφείλει αὐτὸς μᾶλλόν τι τῇ μητρὶ, ἢ ἐκείνη τῷ ἀνδρί· ὁ μὲν γὰρ υἱός· ἐκεί-

Λύσει, πέρας δὴ ποῖ κακῶν προβήσεται;
Καλῶς ἔθεντο ταῦτα πατέρες οἱ πάλαι·
Ἐς ὀμμάτων μὲν ὄψιν οὐκ εἴων περᾷν,
Οὐδ' εἰς ἀπάντημ', ὅστις αἷμ' ἔχων κυροῖ·
Φυγαῖσι δ' ὁσιοῦν, ἀνταποκτείνειν δὲ μή·
Ἀεὶ γὰρ εἷς ἔμελλ' ἐνέξεσθαι φόνῳ,
Τὸ λοίσθιον μίασμα λαμβάνων χεροῖν.
Ἐγὼ δὲ μισῶ μὲν γυναῖκας ἀνοσίους,
Πρώτην δὲ θυγατέρ', ἣ πόσιν κατέκτανεν·
Ἑλένην τε τὴν σὴν ἄλοχον οὔποτ' αἰνέσω,
Οὐδ' ἂν προσείποιμ'. εὖ δὲ σὲ ζηλῶ, κακῆς
Γυναικὸς ἐλθόνθ' οὕνεκ' ἐς Τροίας πέδον·
Ἀμυνῶ δ', ὅσονπερ δυνατός εἰμι, τῷ νόμῳ,
Τὸ θηριῶδες τοῦτο καὶ μαιοφόνον
Παύων, ὃ καὶ γῆν καὶ πόλεις ὄλλυσ' ἀεί.
Ἐπεὶ τίν' εἶχες, ὦ τάλας, ψυχὴν τότε,
Ὅτ' ἐξέβαλλε μαςὸν ἱκετεύουσά σε
Μήτηρ; ἐγὼ μὲν οὐκ ἰδὼν τἀκεῖ κακὰ,
Δακρύοις γέροντ' ὀφθαλμὸν ἐκτήκω τάλας.
Ἓν οὖν λόγοισι τοῖς ἐμοῖς ὁμοῤῥοθεῖ·
Μισεῖ γε πρὸς θεῶν καὶ τίνεις μητρὸς δίκας,
Μανίαις ἀλαίνων καὶ φόβοις. τί μαρτύρων
Ἄλλων ἀκούειν δεῖ μ', ἅ γ' εἰσορᾷν πάρα;
Ὡς οὖν ἂν εἰδῇς, Μενέλεως, τοῖσιν θεοῖς
Μὴ πρᾶσσ' ἐναντί', ὠφελεῖν τοῦτον θέλων·
Ἔα δ' ὑπ' ἀςῶν καταφονευθῆναι πέτροις,
Ἢ μὴ 'πίβαινε Σπαρτιάτιδος χθονός.

γὴ δ' ἐξ ἀγχιστίας συγγενής. 511. Ἀμυνῶ τῷ νόμῳ] ἄλλως δέ, τίνα αἰτίαν

γόνων μετερχομένων, τίς παῦσις τῶν κακῶν γένοιτ' ἄν; καλῶς οὖν τοῖς πάλαι πατράσιν ἡμῶν εἴθισται ταῦτα, μηδένα μὲν τῶν φονέων ἁπλῶς εἰς ὄψιν ἡμῶν ἐᾷν παραλλάττειν, μήδ' ἀπαντᾷν μηδενί· καθαίρειν δὲ τὴν πόλιν φυγῇ, οὐ μὴν δὲ φόνῳ· εἰκότως· ἀεὶ γὰρ ὁ ἔσχατος ἠνείχετ' ἂν τῷ μιάσματι· ἔμοιγε γὰρ πολὺ καὶ πρὸς πάσας μὲν τὰς ἀνοσίους γυναῖκας ἔνεςι μῖσος· μάλιςα δὲ πρὸς τὴν ἐμαυτοῦ θυγατέρα, ἀνοσίως τὸν ἑαυτῆς ἀποκτείνασαν ἄνδρα· ὡσαύτως δὲ καὶ Ἑλένην τὴν σὴν γυναῖκα, οὔποτ' ἂν ἐπαινέσαιμι, οὐδ' ἂν προσφεγξαίμην· οὐδὲ σὲ αὐτὸν ἐπήνεσα διὰ ταύτην στρατεύσαντα ἐπὶ Τροίαν· ἀλλ' ὡς ἂν οἷόςτε ὦ, βούλομαι ἀμύνειν τῷ νόμῳ· ὡς ἂν τὸ θηριῶδες τοῦτο καὶ μιαιφόνον παύσαιμι ἔθος, ὃ καὶ πόλει καὶ ἔθνη ὅλα πέφυκε διαφθείρειν· ἐπεὶ εἰπέ μοι, ὦ δύςηνε σύγε, τίνα ψυχὴν ἔσχες τόθ', ὁπόθ' ἡ μήτηρ προφήνασα τὸν τροφοδότην μαςὸν, ἱκέτευέ σε ἐκλιπαροῦσα; ἔγωγε μέντοι, μήτ' ἰδὼν τἀκεῖ πεπραγμένα, ἀλλ' ὅμως καὶ γέρων ὢν, τήκομαι ὁ τάλας τοῖς δάκρυσιν· ἓν δ' οὖν ἐκεῖνο μάλιςα μαρτυρεῖ μοι τῷ λόγῳ, πρός τε γὰρ θεῶν μισῇ, καὶ μητρῴου φόνου φανερῶς δίκην τίεις, μανίαις καὶ δείμασιν ἐκβακχεύων· τί οὖν με δεῖ μαρτύρων πρὸς ταῦτα, ἃ πάρεςιν εἰσορᾷν αὐτοῖς ὀφθαλμοῖς; Σὺ δ', ὦ Μενέλαε, ἴσθι, ὡς εἰ τούτῳ ἐθελήσειας βοηθεῖν, πράξεις τοῖς θεοῖς ἐναντία· Ἔα τοίνυν αὐτὸν τὸν λᾶϊον περιβαλέσθαι χιτῶνα, ἢ μὴ ἐπίβαινε Σπάρτης· ἡ μὲν γὰρ θυ-

---

ἔχων αἰτιᾶσθαι; 516. Ὁμοῤῥοθεῖ] συμβαίνει, ὁμολογεῖ μεταφορὰ ἀπὸ τῶν ὁμοῦ ἐρεσσόντων. 525. Εἰ μὴ 'πίβαινε Σπαρτιάτιδος χθονὸς] τοῦτον καὶ τὸν προηγούμενον ςίχον ἀφαιροῦσί τινες, ὡς κειμένους καταλληλότερον τοὺς αὐ-

Θυγάτηρ δ' ἐμὴ θανοῦσ' ἔπραξεν ἔνδικα·
Ἀλλ' οὐχὶ πρὸς τοῦδ' εἰκὸς ἦν αὐτὴν θανεῖν.
Ἐγὼ δὲ τἄλλα μακάριος πέφυκ' ἀνὴρ,
Πλὴν ἐς θυγατέρας· τοῦτο δ' οὐκ εὐδαιμονῶ.

ΧΟ. Ζηλωτὸς, ὅςις εὐτύχησεν ἐς τέκνα,
Καὶ μὴ 'πισήμους ξυμφορὰς ἐκτήσατο.

ΟΡ. Ὦ γέρον, ἐγώ τοι πρὸς σὲ δειμαίνω λέγειν,
Ὅπου σὲ μέλλω σήν τε λυπήσειν φρένα.
Ἐγὼ δ' ἀνόσιός εἰμι, μητέρα κτανὼν,
Ὅσιος δὲ γ' ἕτερον ὄνομα, τιμωρῶν πατρί.
Ἀπελθέτω δὴ τοῖς λόγοισιν ἐκποδὼν
Τὸ γῆρας ἡμῖν τὸ σὸν, ὅ μ' ἐκπλήσσει λέγειν,
Καὶ καθ' ὁδὸν εἶμι· νῦν δὲ σὴν ταρβῶ τρίχα.
Τί χρῆν με δρᾶσαι; δύο γὰρ ἀντίθες δυεῖν·
πατὴρ μὲν ἐφύτευσέν με, σὴ δ' ἔτικτε παῖς,
Τὸ σπέρμ' ἄρουρα παραλαβοῦσ' ἄλλου πάρα·
Ἄνευ δὲ πατρὸς τέκνον οὐκ εἴη ποτ' ἄν.
Ἐλογισάμην οὖν τῷ γένους ἀρχηγέτῃ
Μᾶλλόν μ' ἀμύναι τῆς ὑποστάσης τροφάς·
Ἡ σὴ δὲ θυγάτηρ, (μητέρ' αἰδοῦμαι λέγειν,)
Ἰδίοισιν ὑμεναίοισι κοὐχὶ σώφροσιν
Ἐς ἀνδρὸς ᾔει λέκτρ'· ἐμαυτὸν, ἢν λέγω
Κακῶς ἐκείνην, ἐξερῶ· λέξω δ' ὅμως.
Αἴγισθος ἦν ὁ κρυπτὸς ἐν δόμοις πόσις.
Τοῦτον κατέκτειν', ἐπὶ δ' ἔθυσα μητέρα,

---

τοὺς κατωτέρω 624. 537. Ὅ με ἐκπλήσσει λέγειν] ἐν ἄλλοις, Λόγου· ἔξω με βάλλει τοῦ λόγου· ὅ ἐστι κωλύει με λέγειν· ἄφελέ μοι τοίνυν τὸ γῆρας, καὶ

γάτηρ ἡ ἐμὴ ἄξια, ὧν ἔπραξεν, ἔπαθεν· ἀλλ᾽ οὐκ εἰκὸς ἦν πρὸς τούτου ἀποθανεῖν· ἔγωγε μέντοι τὰ μὲν ἄλλα εὐδαίμων διαγαγὼν, ἐν θυγατράσιν εἰμὶ δυςυχής.

ΧΟ. Εὐδαίμων ἀληθῶς, ᾧ χρηςοὶ ἐγένοντο παῖδες· ἐξ ὧν οὐδεμιᾶς συμφορᾶς αὐτῷ συνέβη ποτὲ πειραθῆναι.

ΟΡ. Ὦ γέρον, παῤῥησίαν μὲν οὐχ ὁρῶ νῦν ἐνοῦσάν μοι πρὸς σὲ διαλέγεσθαι· ἀνάγκη γὰρ ἔςαι καὶ δηκτικόν τι εἰπόντα μεταξὺ, τῆς σῆς καρδίας καθάψασθαι· πλὴν ὅμως ὁμολογῶ ἀνόσιον μὲν ἔργον εἰργάσασθαι, τὴν μητέρα ἀποκτανών· ὅσιον δὲ μάλις᾽ ἄλλως, τιμωρῶν τῷ πατρῴῳ θανάτῳ· ἄφελε δὲ τὸ γῆρας τὸ σὸν ἀπὸ μέσων τῶν λόγων, δι᾽ ὃ ἐκπίπτω τοῦ λόγου μάλιςα, ἐλαττούμενος, καὶ τότε ὄψει με ἐκ τοῦ ἴσου ποιησόμενον τὴν ἀπολογίαν· νῦν δὲ δυσωπείᾳ τῆς σῆς πολιᾶς, πολλῷ γέ σου ἀπολείπομαι. Τί γὰρ ἔδει με δρᾶσαι, ὦ πρὸς θεοῦ, ἐν ἀντιθέτοις οὕτω γενόμενον πράγμασιν; ὁ μὲν γὰρ πατὴρ ἔσπειρέ με, ἡ δὲ σὴ παῖς ἔτεκεν, οἷον ἄρουρα ἔξωθεν δεξαμένη τὸ σπέρμα· ἄνευ δὴ τοῦ σπείροντος παῖς οὐκ ἂν εἴη· ἄμεινον οὖν ᾠήθην τῷ γενάρχῃ ἀμύναι, ἢ τῇ θρεψάσῃ· ἡ δὲ σὴ θυγάτηρ (μητέρα γὰρ λέγειν ἐκείνην ἀφοσιοῦμαι) εἰς ἄνομον καὶ ἀνόσιον ἦλθε γάμον· καίτοι γὰρ κακῶς ἐκείνην λέγω, ἐμαυτῷ δοκῶ τὸ ὄνειδος προφέρειν, ὅμως ἐρῶ. Αἴγισθον ἐκείνη ἄνδρα εἶχεν ἐν τῷ κρυπτῷ· τοῦτον οὖν κτείνας, ἐπέθυσα αὐτῷ τὴν μητέρα, ἀνόσια μὲν

τότε βαδίσω τὴν εὐθεῖαν πρὸς ἀπολογίαν. 539. Δύο ἀντίθες δυοῖν.] τῷ μὲν πατρὶ τὴν σπορὰν, τῇ δὲ μητρὶ τὸν τόκον. 542. Ἄνευ δὲ πατρὸς] ταῦτ᾽ εἰπόντος Εὐριπίδου, εἴρηκε, φασί, τις τῶν ἀκουόντων, Ἄνευ δὲ μητρὸς, ὦ κά-

Ἀνόσια μὲν δρῶν, ἀλλὰ τιμωρῶν πατρί.
Ἐφ' οἷς δ' ἀπειλεῖς, ὡς πετρωθῆναί με δεῖ,
Ἄκουσον, ὡς ἅπασαν Ἑλλάδ' ὠφελῶ.
Εἰ γὰρ γυναῖκες ἐς τόδ' ἥξουσιν θράσους,
Ἄνδρας φονεύειν, καταφυγὰς ποιούμεναι
Ἐς τέκνα, μαστοῖς τὸν ἔλεον θηρώμεναι,
Παρ' οὐδὲν αὐταῖς ἦν ἂν ὀλλύναι πόσεις,
Ἐπίκλημ' ἐχούσαις ὅ,τι τύχοι· δράσας δ' ἐγὼ
Δείν', ὡς σὺ κομπεῖς, τόνδ' ἔπαυσα τὸν νόμον.
Μισῶν δὲ μητέρ', ἐνδίκως ἀπώλεσα,
τις μεθ' ὅπλων ἄνδρ' ἀπόντ' ἐκ δωμάτων,
Πάσης ὑπὲρ γῆς Ἑλλάδος στρατηλάτην,
Προὔδωκε, κοὐκ ἔσωσ' ἀκήρατον λέχος.
Ἐπεὶ δ' ἁμαρτοῦσ' ᾔσθετ', οὐχ αὑτῇ δίκην
Ἐπέθηκεν, ἀλλ', ὡς μὴ δίκην δοίη πόσει,
Ἐζημίωσε πατέρα κἀπέκτειν' ἐμόν.
Πρὸς θεῶν (ἐν οὐ καλῷ μὲν ἐμνήσθην θεῶν,
Φόνον δικάζων·) εἰ δὲ δὴ τὰ μητέρος
Σιγῶν ἐπῄνουν, τί μ' ἂν ἔδρασ' ὁ κατθανών;
Οὐκ ἄν με μισῶν ἀνεχόρευ' Ἐριννύσιν;
Ἢ μητρὶ μὲν πάρεισι σύμμαχοι θεαὶ,
Τῷ δ' οὐ πάρεισι, μᾶλλον ἠδικημένῳ;
Σύ τοι φυτεύσας θυγατέρ', ὦ γέρον, κακὴν,
Ἀπώλεσάς με· διὰ τὸ γὰρ κείνης θράσος,
Πατρὸς στερηθεὶς, ἐγενόμην μητροκτόνος·
Ὁρᾷς; Ὀδυσσέως ἄλοχον οὐ κατέκτανεν
Τηλέμαχος· οὐ γὰρ ἐπεγάμει πόσει πόσιν,

θαρμ' Εὐριπίδη; 567. Ἐν οὐ καλῷ ἐμνήσθην θεῶν] ἐναγὴς καὶ ἀκάθαρτος ὤν, ὤφειλον μὴ προϊέναι διὰ στόματος τοὔνομα τῶν θεῶν, πρὶν ὅλως δικασθῆναι

δράσας, τιμωρῶν δ' ὁσίως αὐτῷ τῷ πατρί· ταῦτα μὲν περὶ τούτων. Πρὸς δὲ τὰς σὰς ἀπειλὰς, ὡς δεῖ με καταλευσθῆναι, ἐκεῖνο ἀντάκουσον, ὅσον τῶν ἐμῶν ἔργων τοῖς Ἕλλησιν ἐγένετο ὄφελος: εἰ γὰρ γυναιξὶ τοσοῦτον γένοιτο θράσος, ὥς' ἄνδρας φονεύειν, εἶθ' οὕτω καταφευγούσας εἰς τοὺς παῖδας, καὶ τοὺς μαςοὺς προβαλλούσας, τούτοις θηρᾶσθαι τὸν ἔλεον, τί κωλύει ἀπὸ τῆς τυχούσης ἀφορμῆς πάντας αὐτὰς ἀπολέσαι τοὺς ἄνδρας; νῦν δ' ὁ αὐτὸς ὡς δεινὸν ἐπισύρεις, ὅτι μάλιστα λαρυγγίζων, τοῦτο δράσας ἐγὼ, ἔπαυσα ἔθος πονηρὸν εἰσαγόμενον εἰς τὰς πόλεις· μισῶν γὰρ τὴν μητέρα, δικαίως ἀπέκτεινα· ἡ προδοῦσα ἄνδρα ςρατηγὸν μεθ' ἁπάσης τῆς Ἑλλάδος ςρατεύσαντα, ἐμίανεν ἀπόντι αὐτῷ τὴν εὐνήν· εἶτ' ἐπειδὴ σύνοιδεν ἑαυτῇ ἁμαρτούσῃ, οὐκ ἠρκέσθη αὐτὴ ἑαυτῇ δίκην ἥντινοῦν ἐπιθεῖναι, ἀλλ' ὅπως μὴ δῷ δίκην τῷ ἀνδρὶ, ἀνθ' ὧν ἠσέλγησε, τὸν ἐμὸν ἀπέκτεινε πατέρα· Ἀλλὰ πρὸς θεῶν (καί τοι οὐ πάνυ καλὸν ἔμοιγ' ἐν φόνου δίκαις θεῶν μεμνῆσθαι), εἰ τὸ τῆς μητρὸς ἔργον ἐπῄνουν σιγῇ, τίποτ' ἄρ' ἐποίησεν ἔπειτα ἐμὲ ὁ πατὴρ, ἀποθανὼν ὑπ' αὐτῆς; οὐκ ἂν ἐκ μίσους πολλοῦ ἀνεβάκχευσέ με μανίαις; ἢ τῇ μὲν μητρὶ συμμαχοῦσιν αἱ Εὐμενίδες, ἐκείνῳ δ' οὐχὶ, ἀνοσίως ἀποθανόντι; Σὺ τοίνυν, ὦ γέρον, ὁ τοιαύτην θυγατέρα γεννήσας, ἀπώλεσάς με· θρασυναμένης γὰρ ἐκείνης, καὶ τὸν πατέρα τὸν ἐμὸν ἀνελούσης, ἐγενόμην ἐγὼ μητροκτόνος, μὴ φέρων τὴν ὀρφανίαν· ὁρᾷς δ', ὅπως τὴν τοῦ Ὀδυσσέως γυναῖκα, τὴν σώφρονά φημι Πηνελόπην, Τηλέμαχος ὁ παῖς οὐδὲν ἄχαρι ἔπραξεν; οὐ γὰρ ἐκείνη γε τὴν τοῦ πατρὸς αὐτοῦ ἐμία-

Μένει δ' ἐν οἴκοις ὑγιὲς εὐναστήριον.
Ὁρᾷς Ἀπόλλων', ὃς μεσομφάλους ἕδρας
Ναίων, βροτοῖσι στόμα νέμει σαφέστατον,
Ὧ πειθόμεσθα πάνθ', ὅσ' ἂν κεῖνος λέγῃ;
Τούτῳ πιθόμενος, τὴν τεκοῦσαν ἔκτανον.
Ἐκεῖνον ἡγεῖσθ' ἀνόσιον, καὶ κτείνετε·
Ἐκεῖνος ἥμαρτ', οὐκ ἐγώ· τί χρῆν με δρᾷν;
Ἢ οὐκ ἀξιόχρεως ὁ θεὸς ἀναφέροντί μοι
Μιασμα λῦσαι; ποῖ τις οὖν ἔτ' ἂν φύγοι,
Εἰ μὴ κελεύσας, ῥύσεταί με μὴ θανεῖν;
Ἀλλ' ὡς μὲν οὐκ εὖ, μὴ λέγ', εἴργασται τάδε,
Ἡμῖν δὲ τοῖς δράσασιν οὐκ εὐδαιμόνως.
Γάμοι δ' ὅσοις μὲν εὖ καθεστᾶσιν βροτῶν;
Μακάριος αἰών· οἷς δὲ μὴ πίπτουσιν εὖ,
Τά τ' ἔνδον εἰσὶ τά τε θύραζε δυστυχεῖς·
ΧΟ. Ἀεὶ γυναῖκες ἐμποδὼν ταῖς ξυμφοραῖς
Ἔφυσαν ἀνδρῶν πρὸς τὸ δυστυχέστερον.
ΤΥ. Ἐπεὶ θρασύνῃ κοὐχ ὑποστέλλῃ λόγῳ,
Οὕτω δ' ἀμείβῃ μ', ὥστε μ' ἀλγῆσαι φρένας,
Μᾶλλον μ' ἀνάψεις ἐπὶ σὸν ἐξελθεῖν φόνον·
Καλὸν πάρεργον δ' αὐτὸ θήσομαι πόνων.

---

569. Ἀνεχόρευε] ταὐτὸν τῷ ἀνεβάκχευε. 580. Στόμα νέμει] λόγον πᾶσι σαφῆ παρέχει. Τὸ δὲ Ἀπόλλων, γραπτέον, Ἀπόλλων', καὶ συντακτέον πρὸς τὸ ὁρᾷς. 584 Ἀναφέροντί μοι] τὴν αἰτίαν ἐπ' ἐκεῖνον· πῶς οὐχ ἁγνίσει με, καὶ καθαρὸν ἀποδείξει με, αὐτὸς διδάξας φονεύειν; ὑποθάλπει δὲ Ὀρέστης ἑαυτῷ ἐκ τούτου τοῦ λόγου καί τινα σωτηρίας ἐλπίδα. 592. Ἀεὶ αἱ γυναῖκες] αἱ γυναῖκες, φησὶν, ἀνδράσι δυστυχοῦσιν οὐ πρὸς εὐτυχίαν ἀρωγαὶ γίνονται, ἀλλὰ κωλύουσαι τοῦτο, συνωθοῦσιν αὐτοὺς ἔτι ταῖς κακουργίαις καὶ πρὸς μείζονα δυστυχίαν. σκοτεινὸν ἀλλ' οὖν τὸ χωρίον τοῦτ' ἐστι. 597. Καλὸν πάρεργον] προὔργον μὲν τὸ πρὸ τοῦ κυρίου ἔργου τι προλεάναι· πάρεργον δὲ, τὸ ἐν τῷ

με κοίτην, γάμον ἐπὶ γάμῳ νομίμῳ μετελθοῦσα παράνομον, ἀλλ' ἔτι μένει ἡ εὐνὴ οἴκοι σώφρων· ὁρᾷς δὲ καὶ τὸν Φοῖβον αὐτὸν, ὃς ἐν αὐτῷ τῷ τῆς γῆς ὀμφαλῷ κατοικῶν, σαφῶς χρησμῳδοτεῖ τοῖς ἀνθρώποις τὰ δίκαια, καὶ ᾧ πειθόμεθα πάντες, ὅ,τι ποτ' ἂν ᾖ παρ' αὐτοῦ ἡμῖν χρησμῳδούμενον; εἰ οὖν κἀγὼ πειθόμενος τούτῳ, τὸν φόνον ἀποτετόλμηκα, ἐκεῖνον ὑπολαβόντες ἀνόσιον, κτείνατε, μηδὲ φείδεσθε· ἐκείνου γὰρ κελεύσαντος τοὔγκλημα γίγνεται, οὐκ ἐμοῦ· τί γὰρ ἐχρῆν με δρᾶν, θεοῦ μοι τοῦτο προςάξαντος; ἢ οὐκ ἀξιόχρεως ὁ θεὸς λῦσαι με τοῦ μιάσματος τούτου, καὶ ταῦτ' εἰς τοῦτον αὐτὸν ἀναφέροντι τὴν αἰτίαν; ποῖ τις οὖν τόγε λοιπὸν καταφεύξεται, εἰ μὴ νῦν ὁ κελεύσας ἀπαλλάξει με τοῦ ἐπικειμένου κινδύνου; Μὴ τοίνυν λέγε, ὡς οὐ καλῶς εἴργασται ταῦτα, ἀλλ' ὡς δυςυχῶς ἡμῖν τοῖς πεπραχόσιν· οἷς μὲν γὰρ ἂν οἱ γάμοι τὸ τίμιον σώζωσιν, εὐδαίμονες οὗτοι διαβιοῦσιν· οἷς δ' αὖ τἀναντία συμβῇ, οἱ τοιοῦτοι τάτ' ἔσω τάτ' ἔξω κακοδαίμονες γίγνονται.

ΧΟ. Ἀεὶ αἱ γυναῖκες ταῖς ἑαυτῶν ἁμαρτίαις, ἐμποδὼν ἱςάμεναι ταῖς τῶν ἀνδρῶν εὐτυχίαις, προάγουσιν πρὸς τὸ δυςυχέςερον.

ΤΥ. Ἐπειδὴ θρασυνάμενος, οὕτω ῥαγδαίως τῷ λόγῳ ὥρμησας ἐπ' ἐμὲ, ὥστε καὶ τὴν καρδίαν μου τολμῆσαι δακεῖν, ἐπαίρεις με μᾶλλον ἐπεξελθεῖν σοι τοῦ φόνου· νομιῶ δὲ τοῦθ' ὡς καλὸν πάρεργον τῶν πόνων, οὓς ἀνεδεξάμην,

---

ποιεῖν ἔργον, οὐ ςαχάζεταί τις, καὶ ἕτερον ἐν παρόδῳ ποιεῖν· ὁ οὖν Τυνδάρεως ἐνταῦθα ἔργον σπουδαῖον ἔχων τὸν τῆς θυγατρὸς τάφον κοσμῆσαι, βούλεται καὶ ἕτερόν τι πάρεργον τούτου ποιῆσαι, ἐπεξελθεῖν τῷ Ὀρέστῃ φόνου

Ὧν οὕνεκ' ἦλθον, θυγατρὶ κοσμήσων τάφον.
Μολὼν γὰρ εἰς ἔκκλητον Ἀργείων ὄχλον,
Ἑκοῦσαν, οὐκ ἄκουσαν, ἐπισείσω πόλιν,
Σοὶ, σῇ τ' ἀδελφῇ λεύσιμον δοῦναι δίκην.
Μᾶλλον δ' ἐκείνη σοῦ θανεῖν ἐς' ἀξία,
Ἢ τῇ τεκούσῃ σ' ἠγρίωσ', ἐς οὖς ἀεὶ
Πέμπουσα μύθους ἐπὶ τὸ δυσμενέςερον,
Ὀνείρατ' ἀγγέλλουσα τἀγαμέμνονος,
Καὶ τοῦθ', ὃ μισήσειαν Αἰγίσθου λέχος
Οἱ νέρτεροι θεοί· (καὶ γὰρ ἐνθάδ' ἦν πικρόν·)
Ἕως ὑφῆψε δῶμ' ἀνηφαίστῳ πυρί.
Μενέλαε, σοὶ δὲ τάδε λέγω, δράσω τε πρός·
Εἰ τοὐμὸν ἔχθος ἐναριθμῇ κῆδός τ' ἐμὸν,
Μὴ τῷδ' ἀμύνειν φόνον ἐναντίον θεοῖς·
Ἔα δ' ὑπ' ἀστῶν καταφονευθῆναι πέτροις,
Ἢ μὴ 'πίβαινε Σπαρτιάτιδος χθονός·
Τοσαῦτ' ἀκούσας ἴσθι, μηδὲ δυσσεβεῖς
Ἕλῃ, παρώσας εὐσεβεστέρους φίλους·
Ἡμᾶς δ' ἀπ' οἴκων ἄγετε τῶνδε, πρόσπολοι.

ΟΡ. Στεῖχ', ὡς ἀθορύβως οὑπιὼν ἡμῖν λόγος
Πρὸς τόνδ' ἵκηται, γῆρας ἀποφυγὼν τὸ σόν.
Μενέλαε, ποῖ σὸν πόδ' ἐπὶ συννοίᾳ κυκλοῖς;
Διπλῆς μερίμνης διπτύχους ἰὼν ὁδούς;

ΜΕ. Ἔασον· ἐν ἐμαυτῷ τι συννοούμενος,
Ὅπῃ τράπωμαι τῆς τύχης, ἀμηχανῶ.

---

πρὸς τοὺς Ἀργείους, καὶ τοῦτο καλῶς, ὅ ἐστιν εὐπροσώπως διὰ τὴν τοῦ Ὀρέςου ἰσχυρογνωμίαν· 602. Δοῦναι] ἀντὶ τοῦ ἐπιθεῖναι. 607. Καὶ τοῦθ' ὃ] Συντακτέον δὲ καὶ ἀναπληρωτέον ταῦτα κατ' ἐμὲ ὧδί· καὶ τὸ λέχος (τὴν μοι-

ἐφ' ᾧ τῷ τῆς θυγατρὸς τάφῳ ποιῆσαι τὰ νομιζόμενα· ἐλθὼν γὰρ αὐτίκ' ἐπὶ τὴν τῶν Ἀργείων ἐκκλησίαν, ἐξορμήσω πάντας ἑκόντας κἀκείνους ἐπὶ σὲ αὐτὸν, καὶ τὴν σὴν ἀδελφὴν, ὡς καταλεῦσαι ἄμφω· μᾶλλον δ' ἐκείνη, ἢ σὺ, ἐςὶν ἀξία θανεῖν· ἣ καί σε αὐτὸν κατὰ τῆς μητρὸς ἐξηγρίωσε, μύθους τε πρὸς τὸ οὖς ψιθυρίζουσα πρὸς δυσμένειαν, καὶ ὀνείρατα Ἀγαμέμνονος ἐπιπέμπουσα, καὶ εἰσηγουμένη, καὶ τὴν τοῦ Αἰγίσθου μοιχίαν (ἣν μισήσειαν οἱ κάτω θεοί· καὶ γὰρ ἐνταῦθ' ἦν τὸ πλεῖστον τῆς καταμέμψεως), ἕως οὗ πυρὶ ἀπύρῳ ὑφῆψε πάντα τὸν οἶκον. Σὺ δ', ὦ Μενέλαε, εἰ τοὐμὸν μῖσος καὶ τὸ συγγενὲς ἐν λόγῳ ποιῇ, ἀπέχου τούτῳ ἐναντία θεοῖς ἀμύνειν· ἀλλ' ἔα καταλευσθῆναι, ἢ μὴ ἐπίβαινε Σπάρτης· ταῦτα δὲ τίθου κατὰ νοῦν· οὐ γὰρ καλὸν τοὺς τῶν εὐσεβῶν παρωσάμενον λόγους, τοὺς ἀσεβεῖς ἀνθελέσθαι· Ὑμεῖς δ', ὦ οἰκέται, ἡγεῖσθέ μοι ἐπὶ τάδε.

ΟΡ. Ἄπελθε· τῆς γὰρ πρὸς τὴν σήν μοι πολιὰν δυςωπείας ἀρθείσης, ἡσυχαίτερός μοι τοὔγε λοιποῦ ὁ λόγος πρὸς τοῦτον ἔσται. Σὺ δ', ὦ Μενέλαε, τί ποθ' οὕτω σύννους ἀνακυκλεῖς κατὰ νοῦν, διττὰς ὁδοὺς τῷ λογισμῷ μεταλλεύων;

ΜΕ. Ἔα· συνευνοούμενος γάρ τι κατ' ἐμαυτὸν, ἀπορῶ, ὅποι τράπωμαι.

---

χίαν ἀγγέλλουσα) τοῦ Αἰγίσθου (ὃ εἴθε μισήσειαν οἱ κάτω θεοί). καὶ γὰρ ἐνταῦθα ἦν τὸ πικρόν· ὅ ἐστιν ἐν τούτῳ ἦν ἡ τῆς μέμψεως δριμύτης ἡ κινοῦσα μᾶλλον πρὸς ἀγανάκτησιν. 609. Ἀνηφαίςῳ πυρὶ] οὐχὶ πυρὶ φυσιτῷ, ἀλλ' ἠθικῷ. 611. Ἐναριθμῇ] εἰ φροντίδα τινὰ ποιῇ τοῦ ἐμοῦ πρός σε μίσους, καὶ τῆς φιλίας διὰ τὴν συγγένειαν, ἄπεχε· ἐκφοβεῖ δ' αὐτὸν ἐκπεσεῖσθαι τῆς Σπάρτας 620. Ἐπὶ συννοίᾳ σὸν πόδα κυκλεῖς.] ἔοικεν ὑποκινεῖν τὸν πόδα συλλογιζόμενος ὅ,τι δράσῃ Μενέλαος, ἢ ὅτι περιέχει σύνους· ἢ ἁπλῶς καὶ κατὰ

ΟΡ. Μὴ νῦν πέραινε τὴν δόκησιν, ἀλλ' ἐμοὺς
Λόγους ἀκούσας πρόσθε, βουλεύου τότε·
ΜΕ. Λέγ'. εὖ γὰρ εἶπας· ἔστι δ' οὗ σιγὴ λόγου
Κρείσσων γένοιτ' ἂν, ἔστι δ' οὗ σιγῆς λόγος.
ΟΡ. Λέγοιμ' ἂν ἤδη· τὰ μακρὰ τῶν σμικρῶν λόγων
Ἐπίπροσθέν ἐστι καὶ σαφῆ μᾶλλον κλύειν.
Ἐμοὶ σὺ τῶν σῶν, Μενέλεως, μηδὲν δίδου,
Ἃ δ' ἔλαβες ἀπόδος, πατρὸς ἐμοῦ λαβὼν πάρα.
Οὐ χρήματ' εἶπον· χρήματ', ἢν ψυχὴν ἐμὴν
Σώσῃς, ἅπερ μοι φίλτατ' ἐστὶ τῶν ἐμῶν.
Ἀδικῶ; λαβεῖν χρὴ μ' ἀντὶ τοῦδε τοῦ κακοῦ
Ἄδικόν τι παρὰ σοῦ· καὶ γὰρ Ἀγαμέμνων πατὴρ
Ἀδίκως ἀθροίσας Ἑλλάδ' ἦλθεν ἐς Ἴλιον,
Οὐκ ἐξαμαρτὼν αὐτὸς, ἀλλ' ἁμαρτίαν
Τῆς σῆς γυναικὸς ἀδικίαν τ' ἰώμενος.
Ἓν μὲν τόδ' ἡμῖν ἀνθ' ἑνὸς δοῦναί σε χρή.
Ἀπέδοτο δ', ὡς χρὴ τοῖς φίλοισι τοὺς φίλους,
Τὸ σῶμ' ἀληθῶς σοι, παρ' ἀσπίδ' ἐκπονῶν,
Ὅπως σὺ τὴν σὴν ἀπολάβοις ξυνάορον.
Ἀπότισον οὖν μοι ταὐτὸ τοῦτ' ἐκεῖ λαβὼν,
Μίαν πονήσας ἡμέραν ἡμῶν ὕπερ,
Σωτήριος στὰς, μὴ δέκ' ἐκπλήσας ἔτη.
Ἃ δ' Αὐλὶς ἔλαβε σφάγι' ἐμῆς ὁμοσπόρου,

---

μεταφορὰν τοῦτο εἶπε ποῖ βαδίζεις ὁδοὺς διττάς; 623. Μὴ πέραινε] μὴ ἐπινεύσῃς μηδετέρωσε μέχρις ἂν ἀκούσῃς κἀμοῦ. 627. Τὰ μακρὰ] δυνατὸν Λάκωνα ὄντα Μενέλαον ἐθέλειν συντόμους λόγους· ἀλλ' Ορέστης τοὺς μακροὺς φησὶ σαφεστέρους ὄντας αἱρετωτέρους εἶναι. 631. Χρήματα] χρήματα ἔμοιγ' ἐστὶν, ἅπερ φίλτατά ἐστι τῶν ἐμῶν, τοῦτο δέ ἐστιν τὸ σωθῆναί με. 633 Ἀδικῶ;] ἀδικῶ αἰτούμενος βοήθειαν παρὰ σοῦ; οὐκοῦν ἠδίκησας καὶ αὐτὸς, τὴν αὐτὴν αἰτήσας παρὰ τοῦ ἐμοῦ πατρὸς ἐπὶ Τρῴαν· ἐφ' οὓς ἐκεῖνος στὴν

ΟΡ. Μὴ κρίνῃς τοίνυν πρὶν ἂν καὶ τῶν ἐμῶν ἀκούσῃς λόγων· ἔπειτα βουλεύου ἡσύχως περὶ τῶν πρακτέων.

ΜΕ. Εὖ εἰπὼν, λέγε· ἔςι γὰρ ἐν οἷς μὲν σιγὴ λόγου κρείττων· ἔςι δ᾽ οἷς τοὐναντίον, λόγος σιγῆς.

ΟΡ. Οὐκοῦν σύντεινόν μοι τὸ οὖς· δεῖ δὲ μακροτέρῳ χρήσασθαι λόγῳ, εἴγε μέλλοιμεν σαφέστερον φράζειν. Σὺ τοίνυν, ὦ Μενέλαε, μηδὲν ἐμοὶ τῶν σαυτοῦ μεταδίδου· ἃ δὲ τυγχάνεις πρὸς τοῦ ἐμοῦ πατρὸς εἰληφὼς, ταῦτ᾽ ἀπόδος. ἔςι δὲ ταῦτ᾽ οὐ χρήματα, ἀλλ᾽ ἅ μοι φίλτατά ἐστι τῶν ἐμῶν, τοῦτό δ᾽ ἐςι σωθῆναι παρὰ σοῦ· Ἀλλ᾽ ἀδικεῖν δοκῶ; οὐκοῦν ἄδικον ἀντὶ ἀδίκου παρὰ σοῦ λαβεῖν ἀξιῶ· οἶσθα γὰρ Ἀγαμέμνονα τὸν ἐμὸν πατέρα, καὶ σαυτοῦ ἀδελφὸν, ὅπως ἀδίκως διεγείρας πᾶσαν τὴν Ἑλλάδα, ἔπλευσεν ἐπὶ Τροίαν, οὐχ ἑαυτοῦ, ἀλλὰ τῆς σῆς γυναικὸς ἀδικίαν ἰώμενος· ἓν οὖν τοῦτ᾽ ἀνθ᾽ ἑνὸς ὀφείλεις ἡμῖν ἀποδοῦναι· δεύτερον δὲ, ἐκεῖνος παρ᾽ ἀσπίδα στὰς, ἀφειδῶς πρὸς πάντας τοὺς αγῶνας παρεβάλλετο ἐν ταῖς μάχαις, ἵνα σὺ τὴν σεαυτοῦ ἀπολάβῃς γυναῖκα· Ἀπότισόν μοι τοίνυν νῦν ἐν καιρῷ, ὃ ἐκεῖ παρ᾽ ἐκείνου τυγχάνεις λαβὼν, μίαν μόνην ἡμέραν, οὐ δέκα ἔτη, ἡμῖν γενόμενος βοηθός· ἀντὶ δὲ τῆς ἐμῆς ἀδελφῆς, ἣ ἐν Αὐλίδι γέγονε θῦμα,

---

χάριν ἀδίκως ἐκίνησε πᾶσαν τὴν Ἑλλάδα· Ἀπόδος μοι τοίνυν ἀντὶ ἀδίκου ἐκείνου ἄδικον τοῦτο. Ἄλλως· τὸ δὲ Ἀδικῶ ἐννοηθείη καὶ πρὸς τὴν μητέρα· οἷον, ἀδικῶ τὴν μητέρα, καὶ διὰ τοῦτ᾽ ἀπέχῃ μου; ἀλλὰ καὶ πατὴρ οὑμὸς οὐκ ἀπέσχετό σου ἄδικον πρᾶξιν αἰτοῦντος. 647. Αὐλὶς] πόλις αὕτη τῆς Βοιωτίας, ἐξ ἧς ἀνήχθησαν οἱ Ἕλληνες, πλέοντες ἐπὶ Τροίαν· πρὶν δ᾽ ἀναχθῆναι τοξεύσας αὐτόθι ἔλαφον Ἀγαμέμνων, ἐκαυχήσατο, ὡς μηδ᾽ αὐτὴν τὴν Ἀρτέμιδα δύνασθαι βαλεῖν οὕτω· χαλεπήνασα δὲ ἡ θεὸς αὐτῷ εἴργει τοὺς ἀνέμους· καὶ χρησαμένῳ Ἀγαμέμνων ἐπὶ τούτῳ ἀνεῖλεν ὁ θεὸς Ἰφιγένειαν τὴν

Ἐῶ σ' ἔχειν ταῦθ'. Ἑρμιόνην μὴ κτεῖνε σύ·
Δεῖ γάρ σ', ἐμοῦ πράσσοντος, ὡς πράσσω τανῦν,
Πλέον φέρεσθαι, κἀμὲ συγγνώμην ἔχειν.
Ψυχὴν δ' ἐμὴν δὸς τῷ ταλαιπώρῳ πατρὶ
Κἀμῆς ἀδελφῆς, παρθένου μακρὸν χρόνον·
Θανὼν γὰρ οἶκον ὀρφανὸν λείψω πατρός·
Ἐρεῖς, ἀδύνατον; αὐτὸ τοῦτο τοὺς φίλους
Ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοισιν ὠφελεῖν·
Ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων;
Ἀρκεῖ γὰρ αὐτὸς ὁ θεὸς, ὠφελεῖν θέλων.
Φιλεῖν δάμαρτα πᾶσιν Ἕλλησιν δοκεῖς.
Κοὐχ' ὑποτρέχων σε τοῦτο θωπείᾳ λέγω·
Ταύτης ἱκνοῦμαί σ'· ὦ μέλεως ἐμῶν κακῶν!
Ἐς οἷον ἥκω; τί δὲ ταλαιπωρεῖν με δεῖ;
Ὑπὲρ γὰρ οἴκου παντὸς ἱκετεύω τάδε.
Ὦ πατρὸς ὅμαιμε, θεῖε, τὸν κατὰ χθονὸς
Θανόντ' ἀκούειν τάδε δόκει, ποτωμένην
Ψυχὴν ὑπὲρ σοῦ, καὶ λέγειν ἃ 'γὼ λέγω.
Ταῦτ' ἔς τε δάκρυα καὶ γόους καὶ ξυμφορὰς
Εἴρηκα, κἀπῄτηκα τὴν σωτηρίαν
Θηρῶν, ἃ πάντες, κοὐκ ἐγὼ ζητῶ μόνος.
ΧΟ. Κἀγώ σ' ἱκνοῦμαι καὶ γυνή περ οὖσ' ὅμως
Τοῖς δεομένοισιν ὠφελεῖν· οἷός τε δ' εἶ.
ΜΕ. Ὀρέστ', ἐγώ τοι σὸν καταιδοῦμαι κάρα,

---

ἑαυτοῦ θυγατέρα σφάγιον προσενεγκεῖν τῇ θεῷ πρὸς λύσιν τῶν ἀνέμων· οὐκοῦν καὶ ταύτην χάριν Ὀρέστης ἀναμετρεῖ Μενελάῳ, ἣν οὐκ ἀπαιτεῖ. 659. Ταύτης ἱκνοῦμαί σε] πρὸς ταύτης σε ἱκετεύω· εἶτ' ἐπιφέρει, ὦ μέλεος ἐγὼ εἰς

οὐδὲν ἀνταιτῶ· μὴ κτεῖνε τὴν φίλην σοι Ἑρμιόνην· οὐ γὰρ δεῖ πάνθ' ἡμᾶς ἀπαιτεῖν, κακῶς ἤδη πράσσοντας, ἀλλ' ἐᾷν τι καὶ πλέον αὐτοὺς ὑμᾶς ἔχειν, καὶ ἡμᾶς συγνώμην παρέχειν· ἀλλά γε τὴν ἐμὴν ψυχὴν καὶ τῆς ἀδελφῆς τῆς ἀρχαίας ταύτης παρθένου, ἀπόδος τῷ ταλαιπώρῳ πατρὶ, ἵνα μὴ ἀπολωλὼς, τὸν πατρῷον οἶκον ὀρφανὸν καταλίπω. Ἀλλ' ἐρεῖς ἀδύνατον ἴσως· ἀλλ' ἐν τοιούτοις καιροῖς δεῖ τοὺς φίλους φίλοις εἶναι χρησίμους· ἐπειδὰν δ' αὐτοῖς ἐξ οὐρίας τὰ πράγματα φέρηται, τί δέοι φίλων; ἱκανὸν γὰρ τὸ θεῖον, ἐθέλον σώζειν. Τέως δ' οὖν λόγος ἐκεῖνος διὰ πάντων ῥεῖ τῶν Ἑλλήνων, ὅτι μάλιστά σε τὴν σαυτοῦ γυναῖκα φιλεῖν, καὶ οὐ θωπεύων ταῦτά σοι λέγω· πρὸς γοῦν ἐκείνης δέομαί σου (ὢ δύστηνος ἐγὼ, οἷ ἐχώρησα τῶν κακῶν, ἐς τοὔσχατον ταπεινωθείς· τί με δεῖ ταλαιπωρεῖν; ἀλλ' ὑπὲρ παντὸς ταῦθ' ἱκετεύω τοῦ οἴκου·). ὦ θεῖε, τοῦ ἐμοῦ πατρὸς ἀδελφὲ, νόμιζε ἐκεῖνον αὐτὸν ἀπὸ τοῦ Ἅδου ἀκούειν ταῦτα· νόμιζε δὲ μᾶλλον τὴν ἐκείνου ψυχὴν ὑπὲρ τῆς σῆς κεφαλῆς μετέωρον φερομένην, προφέρειν ταῦθ', ἃ παρ' ἐμοῦ νῦν ἀκούεις· Ταῦτ' ν δάκρυσι καὶ θρήνοις καὶ συμφοραῖς εἴρηταί μοι, σωτηρίαν παρὰ σοῦ ἀπαιτοῦντι, ἧς πάντες ἐφίενται ἄνθρωποι, καὶ οὐκ ἐγὼ μόνος.

ΧΟ. Κἀγὼ, ὦ Μενέλαε, καίπερ οὖσα γυνὴ, δέομαί σου βοηθεῖν τουτοισὶ δεομένοις· δύνασαι γὰρ τοῦτο.

ΜΕ. Ὀρέστα, ἐγὼ μὲν περὶ πλείστου ποιοῦμαί σε καὶ βουλο-

---

οἷον ἥκω, οἷον καταμεμφόμενος ἑαυτὸν ἠθικῶς, ὅτι ταπεινοῦται τοσοῦτον, ὥστε δι' Ἑλένην τὴν δημοκατάρατον βοηθείας ἐθέλειν τυχεῖν· ἀλλ' ἐπειδὴ τοῦτο

Καὶ ξυμπονῆσαι σοῖς κακοῖσι βούλομαι,
Καὶ χρὴ γὰρ οὕτω τῶν ὁμαιμόνων κακὰ
Ξυνεκκομίζειν, δύναμιν ἢν διδῷ θεὸς,
Θνήσκοντα καὶ κτείνοντα τοὺς ἐναντίους.
Τοῦδ' αὖ δύνασθαι πρὸς θεῶν χρήζω τυχεῖν.
Ἥκω γὰρ ἀνδρῶν ξυμμάχων κενὸν δόρυ
Ἔχων, πόνοισι μυρίοις ἀλώμενος,
Σμικρᾷ ξὺν ἀλκῇ τῶν λελειμμένων φίλων.
Μάχῃ μὲν οὖν ἂν οὐχ ὑπερβαλοίμεθα
Πελασγὸν Ἄργος· εἰ δὲ μαλθακοῖς λόγοις
Δυναίμεθ', ἐνταῦθ' ἐλπίδος προσήκομεν.
Σμικροῖσι μὲν γὰρ μεγάλα πῶς ἕλοι τις ἂν
Πόνοισιν; ἀμαθὲς καὶ τὸ βούλεσθαι τάδε.
Ὅταν γὰρ ἡβᾷ δῆμος, εἰς ὀργὴν πεσὼν,
Ὅμοιον, ὥστε πῦρ κατασβέσαι λάβρον·
Εἰ δ' ἡσύχως αὐτῷ τις ἐντείνοντι μὲν
Χαλῶν ὑπείκοι, καιρὸν εὐλαβούμενος,
Ἴσως ἂν ἐκπνεύσει'· ὅταν δ' ἀνῇ πνοὰς,
Τύχοις ἂν αὐτοῦ ῥαδίως, ὅσον θέλεις.
Ἔνεστι δ' οἶκτος, ἔνι δὲ καὶ θυμὸς μέγας,
Καραδοκοῦντι κτῆμα τιμιώτατον.
Ἐλθὼν δὲ Τυνδάρεών τέ σοι πειράσομαι
Πόλιν τε πεῖσαι τῷ λίαν χρῆσθαι καλῶς.
Καὶ ναῦς γὰρ ἐνταθεῖσα πρὸς βίαν ποδὶ

---

γίγνεται, ἵνα μὴ ἐκλίπῃ τὸ γένος, αὖθις τολμᾷ. 671. Τὸ δ' αὖ δύνασθαι] ὁ στίχος οὗτος τακτέος μικρὸν κατωτέρω μετὰ τὸν, θνήσκοντα καὶ κτείνοντα τοὺς ἐναντίους, ὡς καὶ ἐν ἄλλοις κεῖται κἀγὼ μετέθηκα. Το δὲ συνεκκομίζειν συνυποφέρειν δηλοῖ· ἢ συνθεραπεύειν καὶ ἀποσοβεῖν. 676. Κενὸν δόρυ] ὀλιγοχειρίαν. 680. Ἐνταῦθα τῆς ἐλπίδος προσηκομεν] ἡ γενικὴ ἀποδοτέα εἰς τὰ

μαίγε συναντίλαβέσθαι σοι τῶν κακῶν· δεῖ γὰρ δὴ τοὺς προσήκοντας τὰς ἀλλήλων συμμερίζεσθαι συμφορὰς, ἀποκινδυνεύοντας πρὸς τοὺς πολεμίους· ἀλλὰ τὸ δύνασθαι ταῦτα πρὸς θεῶν χρήζω ἔχειν· νῦν δὲ μετὰ μακρὰν πλάνην ἐν μυρίοις κακοῖς, ἧκον μικρὰν ἐπαγόμενος δύναμιν τῶν σεσωσμένων φίλων· μάχῃ τοίνυν οὐκ ἂν κρατοῖμεν Ἀργείων ἀθρόων· εἰ δέ γε λόγοις ἐπιεικεςέροις δυναίμεθα, ἐν τούτῳ ἐλπίζοιμεν ἄν τι χρηςὸν καταπράξειν σοι παρ᾽ ἐκείνων· ἄλλως δ᾽ ἀπὸ σμικρῶν ἐπὶ μεγάλα τις ἀντεπεξιὼν, πῶς ἂν τύχοι τοῦ σκοπουμένου; δῆμος γὰρ ὀργῇ ἐξαχθεὶς, ἴσον καὶ πῦρ λάβρον ἐςὶ κατασβέσαι· εἰ δὲ ἡσύχως τὶς διατεινομένῳ μὲν αὐτῷ ἐνδιδοίη, εὐλαβούμενος τὸν καιρὸν, ἴσως ἂν ἐκεῖνος ἐκπνεύσειεν· οὕτω δὲ ἐκπνευματωθέντος ἠρέμα, καὶ ἀποκαταςάντος, τύχοι ἄν τις αὐτοῦ ῥᾷσθ᾽, ὅσον ἂν ἐθέλῃ· οἴκτῳ γὰρ καὶ θυμῷ φέρεται παραλλὰξ, ὅπλα γε ταῦτ᾽ ἄμφω ἄξια τῷ γ᾽ εἰδότι χρήσασθαι τούτοις πρὸς τοὺς καιρούς. Εἶμι τοίνυν σοὶ ὡς Τυνδάρεων καὶ τοὺς ἄλλους πολίτας πειρασόμενος λόγοις ἐπιεικέσι μετριωτέρους ποιῆσαι· καὶ γὰρ πλοῖον πρὸς βίαν ἐνταθὲν μὲν τῷ ποδὶ, ἀνετράπη· χαλασθέντος

---

Ἐνταῦθα μᾶλλον· ἄμεινον δὲ ἦν εἰς δοτικὴν εἶναι. 690. **Καραδοκοῦντι]** διδαχὴ ἂν εἴη τοῦτο πρὸς τοὺς ἡγεμόνας, πῶς δεῖ χρῆσθαι τοῖς ὑπηκόοις κατὰ τοὺς καιρούς; θυμουμένοις μὲν κατὰ τῶν ἐχθρῶν· μαλακοῖς δὲ, ἐν τοῖς ἔσω πράγμασι· διόφησι, θυμὸς καὶ ἔλεος τῷ προσεκτικῶς καὶ εὐκαίρως χρωμένῳ κτήματα τιμιώτατα· οὕτω δεῖ καὶ φίλον φίλῳ χρῆσθαι, παρατηροῦντα τὰ πάθη· ὥστε θυμουμένῳ μὲν ἐκείνῳ, ὑπείκειν· πρᾷον δὲ γενόμενον, κινεῖν ἐφ᾽ ὅτι δήποτ᾽ ἂν ᾖ ἡμῖν ἡ σπουδή. 693. **Ποδὶ]** σχοινίον ἐστὶν ὁ ποῦς τῶν ναυτικῶν, ὅθεν ἡ παροιμία, Ἀφεὶς τὴν ὑπέραν, τὸν πόδα διώκεις· ἐπὶ τῶν ἃ μὲν δεῖ ἔχειν ἀφιέντων· ἃ δὲ μὴ δεῖ, κρατούντων· εἰσὶ δὲ ταῦτ᾽ ἄμφω κάλοι, δι᾽ ὧν στρ

Ἔβαψεν· ἔστη δ' αὖθις, ἢν χαλᾷ πόδα.
Μισεῖ γὰρ ὁ θεὸς τὰς ἄγαν προθυμίας,
Μισοῦσι δ' ἀστοί· δεῖ δέ μ', οὐκ ἄλλως λέγω,
Σώζειν σε σοφίᾳ, μὴ βίᾳ τῶν κρεισσόνων.
Ἀλκῇ δέ σ' οὐκ ἂν, ᾗ σὺ δοξάζεις ἴσως,
Σῶσαιμ' ἄν· οὐ γὰρ ῥᾴδιον λόγχῃ μιᾷ
Στῆσαι τρόπαια τῶν κακῶν, ἅ σοι πάρα.
Οὐ γάρ ποτ' Ἄργους γαῖαν ἐς τὸ μαλθακὸν
Προσηγόμεσθα· νῦν δ' ἀναγκαίως ἔχει
Δούλοισιν εἶναι τοῖς σοφοῖσι τῆς τύχης.

ΟΡ. Ὦ πλὴν γυναικὸς οὕνεκα στρατηλατεῖν,
Τἄλλ' οὐδὲν, ὦ κάκιστε τιμωρεῖν φίλοις
Φεύγεις ἀποστραφείς με; τὰ δ' Ἀγαμέμνονος
Φροῦδ'· ἄφιλος ἦσθ' ἄρ', ὦ πάτερ, πράσσων κακῶς.
Οἴμοι, προδέδομαι, κοὐκέτ' εἰσὶν ἐλπίδες,
Ὅπη τραπόμενος θάνατον Ἀργείων φύγω·
Οὗτος γὰρ ἦν μοι καταφυγὴ σωτηρίας.
Ἀλλ' εἰσορῶ γὰρ τόνδε φίλτατον βροτῶν,
Πυλάδην, δρόμῳ στείχοντα Φωκέων ἄπο,
Ἡδεῖαν ὄψιν· πιστὸς ἐν κακοῖς ἀνὴρ
Κρείσσων γαλήνης ναυτίλοισιν εἰσορᾶν.

ΠΥ. Θᾶσσον, ἤ μ' ἐχρῆν, προβαίνων ἱκόμην δι' ἄστεος,
Ξύλλογον πόλεως ἀκούσας, τὸν δ' ἰδὼν αὐτὸς σαφῶς,
Ἐπὶ σὲ σύγγονόν τε τὴν σὴν, ὡς κτενοῦντας αὐτίκα.
Τί τάδε; πῶς ἔχεις; τί πράσσεις, φίλταθ' ἡλίκων ἐμοὶ
Καὶ φίλων καὶ ξυγγενείας; πάντα γὰρ τάδ' εἶ σύ μοι.

---

νάγεται καὶ κατάγεται ἡ κεραία. 702. Οὐκ ἂν ἐς τὸ μαλθακὸν] εἰ γὰρ παρῆν ἡμῖν, φησὶν, δύναμις, οὐκ ἂν ἐπιεικέσι λόγοις προσηγόμεθα αὐτοὺς εἰς τὸν ἔλεον· νῦν δὲ σοφοὺς ὄντας δουλευτέον ἐξ ἀνάγκης τῇ τύχῃ· δῆλον δε ἐκ

δὲ τοῦ ἴσου ἀνορθοῦται πάλιν εἰς τὸ αὐτό· τὸ γὰρ λίαν ἀντέχων μισητὸν παρά τε θεῷ καὶ ἀνθρώποις· συλλήβδην δ' εἰπεῖν οὐ βίᾳ τῶν κρειττόνων, ἀλλὰ φρονήσει τε καὶ σοφίᾳ πειρατέον σε σώζειν· οὐ γὰρ ἀλκῇ ἐκ μονομεροῦς βραχίονος, ὡς ἂν αὐτὸς οἰηθείης, δυναίμεθ' ἂν τρόπαιον στῆσαι τῶν κακῶν, ἐν οἷς νῦν τυγχάνεις ὤν· οὕτω γὰρ οὐκ ἂν εἶδες ἡμᾶς τοσαύτῃ χαμερπείᾳ πειρωμένους προσαγαγέσθαι Ἀργείους: νῦν δ' ἀναγκαίως ἔχει, σοφοὺς ὄντας, δούλους εἶναι τῆς τύχης.

ΟΡ. Ὦ μηδὲν ὢν, πλὴν ὑπὲρ γυναικὸς ἐκστρατεύειν, βοηθεῖν δὲ φίλοις ἀναξιώτατε πάντων, ἀπέρχῃ καταλιπών με; τὰ δὲ πρὸς Ἀγαμέμνονα οὐδὲν παρά σοι; ὦ πάτερ, ὡς ἔρημος ἄρ' ἦσθα φίλων ἐν συμφοραῖς τοιαύταις. Οἴμοι τῷ δυστήνῳ, προδέδομαι, καὶ οὐκ ἔχω, ὅποι καταφυγὼν, διαφύγω τὸν θάνατον παρὰ τῶν Ἀργείων· πλὴν γὰρ τούτου οὐδεμία μοι ἦν καταφυγὴ σωτηρίας. Ἀλλ' ὁρῶ ἐκεῖνον δρόμῳ σπεύδονθ' ὡς ἡμᾶς ἀπὸ τῶν Φωκέων. Πυλάδης δ' ἔσθ' οὗτος, τὸ γλυκερὸν ἔμοιγε φάος, ὁ πάντων φίλτατος, κἀν δυστυχίαις πιστότατος πάντων, καὶ ἡδίων εἰς θέαν ἐρχόμενος, ἢ γαλήνη ναυτιλλομένοις.

ΠΥ. Δρομαιότερον, ἢ ἐχρῆν, διὰ τῆς πόλεως πάρειμι, ξύλλογον ἀκούσας τε, καὶ ἰδὼν ἐπὶ σὲ καὶ τὴν ἀδελφὴν τὴν σὴν ξυνιστάμενον, ὡς ἀποκτενοῦντας· τί οὖν συνέβη; πῶς δ' ἔχεις; τί δὲ πράττεις, φίλτατ' ἔμοιγε πάντων καὶ φίλων καὶ συγγενῶν; πάντα γὰρ ταῦτ' ἐν σοὶ μόνῳ ὑπάρχοντά μοι ὁρῶ.

---

τούτων, ὅτι κακοτέχνως Μενέλαος πολιτεύεται. 715. Κρείσσων γαλήνης] πι-

ΟΡ. Οἰχόμεσθ', ὡς ἐν βραχεῖ σοι τἀμὰ δηλώσω κακά.
ΠΥ. Ξυγκατασκάπτοις ἂν ἡμᾶς. κοινὰ γὰρ τὰ τῶν φίλων.
ΟΡ. Μενέλεως κάκιστος ἐς ἐμὲ καὶ κασιγνήτην ἐμήν.
ΠΥ. Εἰκότως, κακῆς γυναικὸς ἄνδρα γίγνεσθαι κακόν.
ΟΡ. Ὥσπερ οὐκ ἐλθὼν, ἔμοιγε ταὐτὸν ἀπέδωκεν μολών.
ΠΥ. Ἦ γάρ ἐστιν ὡς ἀληθῶς τήνδ' ἀφιγμένος χθόνα;
ΟΡ. Χρόνιος· ἀλλ' ὅμως τάχιστα κακὸς ἐφωράθη φίλοις.
ΠΥ. Καὶ δάμαρτα τὴν κακίστην ναυστολῶν ἐλήλυθεν;
ΟΡ. Οὐκ ἐκεῖνος· ἀλλ' ἐκείνη κεῖνον ἐνθάδ' ἤγαγεν.
ΠΥ. Ποῦ 'στιν, ἡ πλείστους Ἀχαιῶν ὤλεσεν γυνὴ μία;
ΟΡ. Ἐν δόμοις ἐμοῖσιν, εἰ δὴ τούσδ' ἐμοὺς καλεῖν χρεών.
ΠΥ. Σὺ δὲ τίνας λόγους ἔλεξας σοῦ κασιγνήτῳ πατρός;
ΟΡ. Μή μ' ἰδεῖν θανόνθ' ὑπ' ἀστῶν καὶ κασιγνήτην ἐμήν.
ΠΥ. Πρὸς θεῶν, τί πρὸς τάδ' εἶπε; τοῦτό γ' εἰδέναι θέλω.
ΟΡ. Εὐλαβεῖθ', ὃ τοῖς φίλοισι δρῶσιν οἱ κακοὶ φίλοι.
ΠΥ. Σκῆψιν ἐς ποίαν προβαίνων; τοῦτο πάντ' ἔχω μαθών.
ΟΡ. Οὗτος ἦλθ' ὁ τὰς ἀρίστας θυγατέρας σπείρων πατήρ.
ΠΥ. Τυνδάρεων λέγεις· ἴσως σοι θυγατέρος θυμούμενος.
ΟΡ. Αἰσθάνῃ· τὸ τοῦδε κῆδος μᾶλλον εἵλετ', ἢ πατρός·
ΠΥ. Κοὐκ ἐτόλμησεν πόνων σῶν ἀντιλάζυσθαι παρών;
ΟΡ. Οὐ γὰρ αἰχμητὴς πέφυκεν, ἐν γυναιξὶ δ' ἄλκιμος.
ΠΥ. Ἐν κακοῖς ἄρ' εἶ μεγίστοις, καὶ σ' ἀναγκαῖον θανεῖν.
ΟΡ. Ψῆφον ἀμφ' ἡμῶν πολίτας ἐπὶ φόνῳ θέσθαι χρεών.
ΠΥ. Ἣ κρινεῖ τί χρῆμα; λέξον· διὰ φόβου γὰρ ἔρχομαι.
ΟΡ. Ἢ θανεῖν, ἢ ζῆν· ὁ μῦθος οὐ μακρὸς μακρῶν πέρι.

---

στὸς ἐν κακοῖς τοῖς φίλοις, καὶ ὁρώμενος ἡδίων, ἢ ἡ γαλήνη πλωϊζομένοις. 724 Εἰκότως γενέσθαι] ἐνδεὲς δοκεῖ τοῦτο· πληρωτέον δὲ ὧδε· εἰκότως ἔχει· ἢ οὕτως, εἰκότως· εἰκὸς γὰρ . . . γίνεσθαι. 727. Ἐκείνη ἤγαγε] τὸν χαρακτῆρα

ΟΡ. Ἀπωλόμεθ', ὦ λῷςε, εἰ βούλει τὸ πᾶν συλλήϐδην ἀκοῦσαι.

ΠΥ. Οὐκοῦν συνεπισπᾷ κἀμὲ πρὸς ταὐτό· τὰ γὰρ τῶν φίλων κοινά.

ΟΡ. Μενέλαος γὰρ κάκιςος πρὸς ἡμᾶς ἀνεφάνη.

ΠΥ. Εἰκὸς γὰρ κακῆς γυναικὸς κακὸν καὶ τὸν ἄνδρα γενέσθαι.

ΟΡ. Ἐλθὼν γὰρ, ὡς μὴ ἐλθὼν, οὐδὲν ἀπέδωκέ μοι.

ΠΥ. Ἔσθ' ὅπως ἀληθῶς οὗτος ἀφίκεθ' ὧδε;

ΟΡ. Διὰ χρόνου μὲν, ἀλλ' εὐθὺς κακὸς ἡμῖν ἐφάνη.

ΠΥ. Τί δέ; τὴν κακίςην τῶν γυναικῶν κᾀκείνην ἀγήοχε;

ΟΡ. Οὔκ, ἀλλ' αὐτὸς ὑπ' ἐκείνης ἀχθεὶς τυγχάνει μᾶλλον.

ΠΥ. Ποῦ ἐςιν, ἣ πλείςους τῶν Ἑλλήνων ἀπώλεσεν;

ΟΡ. Ἔνδον ἐν τοῖς ἐμοῖς, εἰ δεῖ ἐμὰ ταῦτα λέγειν.

ΠΥ. Σὺ δ' οὖν τίνας λόγους ἔλεξας πρὸς τὸν θεῖον;

ΟΡ. Μὴ ἀνασχέσθαι ἰδεῖν ἡμᾶς ἀποθανόντας.

ΠΥ. Ὁ δὲ τί πρὸς ταῦτα; ἀνάγκη γὰρ εἰδέναι.

ΟΡ. Ὑπεδίδρασκεν ἠρέμα, ὡς κακὸς φίλος φίλοις.

ΠΥ. Τῷ σκηπτόμενος; ἐν τούτῳ γὰρ τὸ πᾶν ἐςι μαθεῖν.

ΟΡ. Ἦλθεν ὁ τὰς ἀρίςας ἐκείνας θυγατέρας.

ΠΥ. Μανθάνω. Τυνδάρεων φής· δοκεῖ δέ σοι τῆς θυγατρὸς ἕνεκα χαλεπῆναι.

ΟΡ. Δῆλον· ὁ δὲ τὴν τούτου μᾶλλον συγγένειαν εἵλετο, ἢ τὴν τοῦ ἐμοῦ πατρός.

ΠΥ. Οὐδ' ἐτόλμησεν ὅλως συναντιλαϐέσθαι τῶν πόνων;

ΟΡ. Οὐ γὰρ αἰχμητής ἐστιν, ἐν δὲ γυναιξὶν γενναῖος.

ΠΥ. Οὐκοῦν ἀνάγκη σε ἀποθανεῖν, γενόμενον ἐν τούτοις.

ΟΡ. Νῦν εἰς τοῦτο φέρουσιν ἡμῖν τὴν ψῆφον οἱ πολῖται.

ΠΥ. Τίδε κρινεῖ ἡ ψῆφος; δέδοικα γὰρ τοῦτο.

ΟΡ. Ἢ ζῆν, ἢ θανεῖν, ὡς ἐν ὀλίγοις περὶ μεγίςων λέγειν,

ΠΥ. Φεῦγέ νυν λιπὼν μέλαθρα σὺν κασιγνήτῃ σέθεν.
ΟΡ. Οὐχ ὁρᾷς; φυλασσόμεσθα φρουρίοισι πανταχῇ.
ΠΥ. Εἶδον ἄστεως ἀγυιὰς τεύχεσιν πεφραγμένας.
ΟΡ. Ὡσπερεὶ πόλις πρὸς ἐχθρῶν, σῶμα πυργηρούμεθα.
ΠΥ. Κἀμὲ νῦν ἔρου τί πάσχω· καὶ γὰρ αὐτὸς οἴχομαι.
ΟΡ. Πρὸς τίνος; τοῦτ' ἂν προσείη τοῖς ἐμοῖς κακοῖς κακόν.
ΠΥ. Στρόφιος ἤλασέν μ' ἀπ' οἴκων φυγάδα θυμωθεὶς πατήρ.
ΟΝ. Ἴδιον, ἢ κοινὸν πολίταις ἐπιφέρων ἔγκλημά τι;
ΠΥ. Ὅτι συνηράμην φόνον σοι μητρὸς, ἀνόσιον λέγων.
ΟΚ. Ὦ τάλας, ἔοικε καὶ σὲ τἀμὰ λυπήσειν κακά.
ΜΥ· Οὐχὶ Μενέλεω τρόποισι χρώμεθ'· οἰστέον τάδε.
ΟΡ. Οὐ φοβεῖ, μή σ' Ἄργος, ὥσπερ κἄμ', ἀποκτεῖναι θέλῃ;
ΠΥ. Οὐ προσήκομεν κολάζειν τοῖσδε, Φωκίων δὲ γῆ.
ΟΡ. Δεινὸν οἱ πολλοὶ, κακούργους ὅταν ἔχωσι προστάτας.
ΠΥ. Ἀλλ' ὅταν χρηστοὺς λάβωσι, χρηστὰ βουλεύουσ' ἀεί.
ΟΡ. Εἶεν. ἐς κοινὸν λέγειν χρή.
ΠΥ. Τίνος ἀναγκαίου πέρι;
ΟΡ. Εἰ λέγοιμ' ἀστοῖσιν, ἐλθὼν —
ΠΥ. Ὡς ἔδρασας ἔνδικα;
ΟΡ. Πατρὶ τιμωρῶν ἐμαυτοῦ.
ΠΥ. Μὴ λάβωσί σ' ἄσμενοι.
ΟΡ. Ἀλλ' ὑποπτήξας σιωπῇ κατθάνω;
ΠΥ. Δειλὸν τόδε.
ΟΡ. Πῶς ἂν οὖν δρῴην;
ΠΥ. Ἔχεις τίν', ἣν μένῃς, σωτηρίαν;
ΟΡ. Οὐκ ἔχω.

---

αὐτοῦ ἐξηγεῖται, ὡς γυναικοκρατουμένου. 762. Εἰ λέγοιμ' ἀστοῖς ἐλθὼν] εἰ

ΠΥ. Οὐκοῦν φεύγειν σε χρὴ μετὰ τῆς ἀδελφῆς.
ΟΡ. Οὐχ ὁρᾷς, ὅπως φυλασσόμεθα ὅπλοις;
ΠΥ. Εἶδόνγε τὰς ἀγυιὰς πάντῃ γε πεφραγμένας.
ΟΡ. Ὥσπερ πόλις ὑπ᾽ ἐχθρῶν ἐσμὲν ἐγκεκλεισμένοι.
ΠΥ. Βούλει δὲ μαθεῖν ὅ,τι ποτε κᾀγὼ κινδυνεύω;
ΟΡ. Ὅ,τιδήποτε, καὶ πρὸς τίνος; πρὸς γὰρ τοῖς παροῦσιν ἄλλο μοι κακὸν τοῦτο.
ΠΥ. Στρόφιος ὁ πατὴρ ὀργισθεὶς, ἐξελαύνει.
ΟΡ. Ἐπὶ ἰδίῳ, ἢ κοινῷ τῳ ἐγκλήματι;
ΠΥ. Τῷ συμμετασχεῖν σοι τῆς μητροκτονίας.
ΟΡ. Ὦ τάλας· τὰ γὰρ ἐμὲ κακὰ καίσου καθικνεῖται.
ΠΥ. Οὐ γὰρ Μενελάῳ ἐοικότες ἐσμέν· ἀλλ᾽ οἰςέον τὴν τύχην
ΟΡ. Νῦν δ᾽ οὖν δέος, μὴ καὶ σοῦ καταψηφίσωνται οἱ Ἀργεῖοι.
ΠΥ. Οὐμενουν· Φωκεῦσι γὰρ ταῦτ᾽ ἀνήκει.
ΟΡ. Δεινόνγ᾽ ὄχλος, κακούργων ἀρχόντων εἰλημμένος.
ΠΥ. Ἀλλ᾽ ὅταν χρηστῶν, χρηςὰ καὶ βουλεύουσιν.
ΟΡ. Εἶεν ταῦτα· νῦν δὲ βουλευώμεθα ἄλλο.
ΠΥ. Τὸ ποῖον λέγεις;
ΟΡ. Εἰ δεῖ με παριόντα ἐς μέσον Ἀργείοις λέγειν.
ΠΥ. Τί δήποτε; ἢ ὡς ἔδρασας δίκαια;
ΟΡ. Ὡς τιμωρῶν τῷ τοῦ πατρὸς φόνῳ.
ΠΥ. Δέδοικ᾽ ἔγωγε μή σε λάβωσιν ἄσμενοι.
ΟΡ. Τί δε; σιγῶν ἀποθανοῦμαι;
ΠΥ. Οὐμενουν· ἀγενὲς γὰρ καὶ τοῦτο.
ΟΡ. Τί οὖν ποιητέον;
ΠΥ. Εἰ μενεῖς ὧδε, ἐλπίζεις σωτηρίαν;

---

δεῖ με παριόντα εἰς τὸ κοινὸν ἀπολογίσασθαι· τὸ δὲ, μὴ οὐ λάβωσί σ᾽ ἄσμενοι:

ΠΥ. Μολόντι δ' ἐλπίς ἐστι σωθῆναι κακῶν;
ΟΡ. Εἰ τύχοι, γένοιτ' ἄν.
ΠΥ. Οὐκοῦν τοῦτο κρεῖσσον, ἢ μένειν.
ΟΡ. Ἀλλὰ δῆτ' ἔλθω;
ΠΥ. Θανὼν γοῦν ὧδε, κάλλιον θανῇ.
ΟΡ. Καὶ τὸ πρᾶγμά γ' ἔνδικόν μοι.
ΠΥ. Τῷ δοκεῖν εὔχου μόνον.
ΟΡ. Εὖ λέγεις· φεύγω τὸ δειλὸν τῇδε.
ΠΥ. Μᾶλλον, ἢ μένων.
ΟΡ. Καί τις ἄν γέ μ' οἰκτίσειε —
ΠΥ. Μέγα γὰρ ηὑγένειά σου.
ΟΡ. Θάνατον ἀσχάλλων πατρῷον.
ΠΥ. Πάντα ταῦτ' ἐν ὄμμασιν·
ΟΡ. Ἰτέον, ὡς ἄνανδρον ἀκλεῶς κατθανεῖν·
ΠΠ Αἰνῶ τάδε.
ΟΡ. Ἦ λέγωμεν οὖν ἀδελφῇ ταῦτ' ἐμῇ;
ΠΥ. Μὴ πρὸς θεῶν.
ΟΡ. Δάκρυα γοῦν γένοιτ' ἄν.
ΠΥ· Οὐκοῦν οὗτος οἰωνὸς μέγας.
ΟΡ. Δηλαδὴ σιγᾶν ἄμεινον.
ΠΥ· Τῷ χρόνῳ δὲ κερδανεῖς.
ΟΡ. Κεῖνό μοι μόνον πρόσαντες.
ΠΥ. Τί τόδε καινὸν αὖ λέγεις;
ΟΡ. Μὴ θεαί μ' οἴστρῳ κατάσχωσ'.
ΠΥ. Ἀλλὰ κηδεύσω σ' ἐγώ;

κατωτέρω, ἐν ἄλλοις οὐ κεῖται τὸ Οὐ. 769. Τῷ δοκεῖν] ἐν ἄλλοις, Τὸ δὲ δοκεῖν, κεῖται· καὶ ἴσως ἄμεινον· ὁ δὲ νοῦς, εὔχου μόνον, ἵνα δόξῃ οὕτω καὶ τοῖς ἄλλοις. 770. Εὖ λέγεις] τοῦτο ἀναφέρεται εἰς τὸ εἰρημένον παρὰ τοῦ Πυλάδου

ΟΡ. Οὐδεμίαν οὐδαμόθεν· πόθεν γάρ;
ΠΥ. Παριὼν δ' ἐν μέσοις, προσδοκᾷς τι τοιοῦτον;
ΟΡ. Γένοιτ' ἄν τι ἐκ τύχης.
ΠΥ. Αἱρετέον σοι ἄρα τοῦτο μᾶλλον, ἢ ὧδε μένειν·
ΟΡ. Ἰτέον οὖν μοι ἐῤῥωμένως.
ΠΥ. Εἴγε χρὴ ἀποθανεῖν, κάλλιον ἀποθανεῖν οὕτω.
ΟΡ. Καὶ ἡ αἰτία μοι δικαία, οἶμαι, ἔςαι.
ΠΥ. Εἴθε τοιαύτη δόξειε καὶ τοῖς ἄλλοις.
ΟΡ. Εὖ λέγεις· παριὼν γὰρ ἐς μέσους, φευξοῦμαι τὴν δειλίαν.
ΠΥ. Μᾶλλόν σοι τοῦτο, ἤπερ εἰ μενεῖς ὧδε·
ΟΡ. Ἔςαι δέ μοι ἴσως καὶ οἶκτός τις παρά του —
ΠΥ. Δεινὸν γὰρ ἡ εὐγένεια τοιαῦτα φέρειν.
ΟΡ. Τὸν τοῦ πατρὸς δακρύοντος θάνατον.
ΠΥ. Προφανῆ πάντα ταῦτα.
ΟΡ. Ἰτέον· ἀγενὲς γὰρ ἀκλεῶς ἀποθανεῖν.
ΠΥ. Κἀμοὶ ταῦτα ξυνδοκεῖ.
ΟΡ. Βούλει δὲ κοινώμεθα ταῦτα καὶ τῇ ἀδελφῇ;
ΠΥ. Μὴ πρὸς Θεῶν.
ΟΡ. Πλὴν γὰρ δακρύων οὐδὲν ἡμῖν ἐκ τούτου.
ΠΥ. Οὐκοῦν ταῦθ' ἡμῖν σιγῆς ἐςιν οἰωνός.
ΟΡ. Ἄμεινον ἄρ' ἡσυχῇ πράττειν ταῦτα.
ΠΥ. Πολὺ γὰρ ὧδ' ἡμῖν τὸ κέρδος κὰκ τοῦ χρόνου.
ΟΡ. Ἀλλ' ἔθ' ἓν ἡμῖν ἐμποδὼν δοκεῖ εἶναι.
ΠΥ. Τί αὖ καινὸν ἔχεις λέγειν;
ΟΡ. Μὴ αἱ Θεαί με ἐπεξέλθωσι μανίαις.
ΠΥ. Ἀλλ' ἐγώ σου ποιήσομαι φροντίδα.

---

ἀνωτέρω τὸ, θανὼν γοῦν ὧδε κάλλιον θανῇ· ἐπιφέρει γάρ, φεύγω τὸ δειλὸν

ΟΡ. Δυσχερὲς ψαύειν νοσοῦντος ἀνδρός.
ΠΥ. Οὐκ ἔμοιγέ σου.
ΟΡ. Εὐλαβοῦ λύσσης μετασχεῖν τῆς ἐμῆς.
ΠΥ. Τόδ' οὖν ἴτω.
ΟΡ. Οὐκ ἄρ' ὀκνήσεις;
ΠΥ. Ὄκνος γὰρ τοῖς φίλοις κακὸν μέγα.
ΟΡ. Ἕρπε νῦν οἴαξ ποδός μοι.
ΠΥ. Φίλα γ' ἔχων κηδεύματα.
ΟΡ. Καί με πρὸς τύμβον πόρευσον πατρός.
ΠΥ. Ὡς τί δὴ τόδε;
ΟΡ. Ὥς νιν ἱκετεύσω με σῶσαι.
ΠΥ. Τό γε δίκαιον ὧδ' ἔχει.
ΟΡ. Μητέρος δέ μηδ' ἴδοιμι μνῆμα.
ΠΥ. Πολεμία γὰρ ἦν.
Ἀλλ' ἔπειγ', ὡς μήσε πρόσθε ψῆφος Ἀργείων ἕλῃ,
Περιβαλὼν πλευροῖς ἐμοῖσι πλευρὰ νωχελῆ νόσῳ,
Ὡς ἐγὼ δι' ἄστεός σε, σμικρὰ φροντίζων ὄχλου,
Οὐδὲν αἰσχυνθεὶς ὀχήσω· ποῦ γὰρ ὢν δείξω φίλος,
Εἴ σε μὴ 'ν δειναῖσιν ὄντα συμφοραῖς ἐπαρκέσω;
ΟΡ. Τοῦτ' ἐκεῖνο κτᾶσθ' ἑταίρους μὴ τὸ συγγενὲς μόνον·
Ὡς ἀνὴρ, ὅστις τρόποισι συντακῇ, θυραῖος ὢν,
Μυρίων κρείσσων ὁμαίμων ἀνδρὶ κεκτῆσθαι φίλος.
ΧΟ. Ὁ μέγας ὄλβος ἅ τ' ἀρετὰ, (Στρ.)
Μέγα φρονοῦσ' ἀν' Ἑλλάδα καὶ
Παρὰ Σιμουντίοις ὀχετοῖς,
Πάλιν ἀνῆλθ' ἐξ εὐτυχίας Ἀτρείδαις

---

φῦτω. ὁ δὲ, φεύγεις γάρ οὕτω μᾶλλον, ἢ μένων. 797. Πάλιν ἀνῆλθε] ἐςπά

ΟΡ. Χαλεπόν σοι νοσοῦντί μοι προσπελάζειν.

ΠΥ. Εἰ μὲν ἄλλῳ τῳ, ἐμοὶ δὲ οὐδαμῶς.

ΟΡ· Φυλάττου σύγε τὴν ἐμὴν ταύτην νόσον.

ΠΥ. Πώμαλα· ἔςω τόδε, εἰ δέοι.

ΟΡ. Τί; σύγ' οὐκ ἀποκνεῖς πρὸς ταῦτα;

ΠΥ. Πῶς γάρ; ὄκνος γὰρ νόσος φίλοις·

ΟΡ. Οὐκοῦν ἡγοῦ μοι πρὸς τὴν πόλιν,

ΠΥ. Μάλιςάγε, τὰ σὰ διὰ φροντίδος ἔχων.

ΟΡ. Ἄγε με πρῶτον πρὸς τὸν πατρῷον τάφον.

ΠΥ: Πρὸς τὶ τοῦτο ἐπινενόηταί σοι;

ΟΡ. Δεῖ γὰρ ἐκεῖθεν εὑρέσθαι σωτηρίαν.

ΠΥ. Ἐπαινῶ ταῦτα· προσήκει γάρ σοι τοῦτο.

ΟΡ. Τὸν δὲ τῆς μητρὸς μήδ' ἀνέχομαι βλέπειν.

ΠΥ. Δικαίως καὶ ταῦτα τῷ πολεμίαν εἶναι· Ἀλλ' ἤδη ἐπιςηρίξας μοι τὸ σαυτοῦ σῶμα, νωθρὸν ὂν καὶ ἀϐληχρὸν ὑπὸ τῆς νόσου, συμϐάδιζε, ὡς φθάσῃς τὴν τῶν Ἀργείων ψῆφον· ἐγὼ γὰρ μικρὰ φροντίζων ὄχλου, μήδ' αἰσχυνόμενος, διάξω σε ἀνακουφίζων διὰ τοῦ ἄςεος· ποῦ γὰρ ἂν μᾶλλον δείξαιμι φίλος ὤν, εἰ μὴ ἐν ταῖς παρούσί σοι συμφοραῖς ἐπαρκέσω;

ΟΡ. Τοῦτ' οὖν ἐκεῖνο, ὃ φασὶ δεῖν κτᾶσθαι φίλους· καὶ μὴ μόνον εἰς τὸ συγγενὲς τὰς ἐλπίδας σαλεύειν· ἀνὴρ γάρ, κἂν ξένος ᾖ, ἐπειδὰν συμφυρθῇ τῳ τοῖς τρόποις, μυρίων συγγενῶν αἱρετώτερος οὗτος.

ΧΟ. Ἡ μεγάλη εὐδαιμονία καὶ ἀρετὴ τῶν Ἀτρειδῶν ἡ ποτὲ ἀπὸ τῆς Ἑλλάδος μέχρι τῶν ὀχθῶν τοῦ Σιμοῦντος ἀφικομένη, αὕτη δὴ ἐπανῆλθεν εἰς δυςυχίαν, ἐξ ἀρχαίας

Πάλαι παλαιᾶς ἀπὸ συμφορᾶς δόμων,
Ὁπότε χρυσέας ἔρις ἀρνὸς
Ἤλυθε Τανταλίδαις,
Οἰκτρότατα θοινάματα καὶ
Σφάγια γενναίων τεκέων·
Ὅθεν φόνῳ φόνος ἐξαμείβων
Δι' αἵματος οὐ προλείπει
δισσοῖσιν Ἀτρείδαις.
Τὸ καλὸν οὐ καλὸν, τοκέων (Ἀντ.)
Πυριγενεῖ τέμνειν παλάμᾳ
Χρόα, μελάνδετον δὲ φόνῳ
Ξίφος ἐς αὐγὰς ἀελίοιο δεῖξαι.
Τὸ δ' αὖ κακουργεῖν ἀσέβεια μεγάλη,
Κακοφρόνων τ' ἀνδρῶν παράνοια.
Θανάτου δ' ἀμφὶ φόβῳ
Τυνδαρὶς ἰάκχησε τάλαι-
Να· Τέκνον, οὐ τολμᾷς ὅσια
Κτείνων γε ματέρα· μὴ πατρῴαν,
Τιμῶν χάριν, ἐξανάψῃ
Δύσκλειαν ἐσαεί.
Τὶς νόσος, ἢ τίνα δάκρυ', ἢ τὶς ἔλεος (Ἐπῳδ.)
Μείζων κατὰ γᾶν,
Ἢ ματροκτόνον αἷμα χειρὶ θέσθαι;
Οἷον ἔργον τελέσας,
Βεβάκχευται μανίαις,
Εὐμενίσι θήραμα φόνῳ
Δρομάσι δινεύων βλεφάροις
Ἀγαμεμνόνειος παῖς.
Ὦ μέλεος, ματρὸς ὅτε
Μαστὸν ὑπερτέλλοντ' ἐσιδὼν
Χρυσεοπηνήτων φαρέων,
Σφάγιον ἔθετο ματέρα,
Πατρῴων παθέων ἀμοιβάν.

συμφορᾶς ὁρμηθεῖσα· ἐξ ὅτου γὰρ ἡ τῆς χρυσείας ἀρνὸς ἔρις Τανταλίδαις ἐπῆλθε, συνέβησαν οἰκτρότατα θύματα ἀπογόνων γενναίων, ὅθεν φόνος διαδεχόμενος φόνον, πολλαῖς συμφοραῖς ἀμφοτέρους περιβάλλει Ἀτρείδας.

Τὸ καλὸν οὐ καλὸν σκληρᾷ οὕτω καὶ θρασείᾳ χειρὶ εἰς τὸ τῆς μητρὸς ςῆθος διελάσαι τὸ ξίφος· καὶ τοῦτ' αὖ αὐτὸ δεῖξαι εἰς τὸ φῶς τοῦ ἡλίου, ἔτι περιῤῥεόμενον αἵματι· τὸ γὰρ κακούργημα τοῦτο ἀσέβεια μεγίστη ἐςὶ, καὶ ἀνδρῶν κακοφρόνων ἀπόνοια· ἔνθ' ἡ δύςηνος Τυνδαρὶς, ἀγωνιῶσα ἤδη πρὸς θάνατον, ἐξεφώνησε ταῦτα Τέκνον, πρὸς ἀνόσιον μαίνῃ ἔργον· τί δρᾷς, φονεύων μητέρα; ὅρα, ὅπως μὴ τῷ πατρὶ δοκῶν τιμωρεῖν, ἀΐδιον σεαυτῷ κτήσῃ αἶσχος.

Τίς ποτε μανία; τίνα δάκρυα δικαιότερα; ἢ τίς συμφορὰ εἴη ἂν ἐπὶ γῆς μείζων, ἢ μητρὸς αἷμα ἰδίᾳ χειρὶ ἐκχέαι; φεῦ, φεῦ· οἷον, οἷον ἀνόσιον πράξας ἔργον ὁ παῖς Ἀγαμέμνονος, οἰστρηλατεῖται μανίαις, θήραμα φόνου γενόμενος Εὐμενίσι ταχείαις, καὶ πανταχόσε τὸ βλέμμα περιδινεύων· ὦ δύςηνος, ὁπότ' ἰδὼν τὸν τῆς μητρὸς μαςὸν διὰ χρυσῆς ἐσθῆτος προκύπτοντα, ἐνέπηξας εἰς τὸ ςῆθος αὐτῆς ἀνόσιον ξίφος, τὸν τοῦ πατρὸς φόνον φρικωδεςάτῳ πάθει μετελθών.

---

φῃ ὀπίσω, ἀπὸ παλαιᾶς συμφορᾶς ἔχουσα τὴν αἰτίαν. 799. Ἀρνὸς] ἴδε ἐν ἀρχῇ στίχῳ. 5. τὸ δὲ, Οἰκτρότατα συντακτέον καὶ αὐτὸ πρὸς τὸ Ἤλυθε. ἀλλὰ τὸ πάθος συγχεῖ καὶ τὸν λόγον ἐν ταῖς στροφαῖς μάλιστα. 803. Φόνῳ φόνος ἀμείβων] ἀκολουθῶν διαδοχικῶς· τὸ δὲ δυσσοῖσιν Ἀτρείδαις συμπεριλαμβάνει καὶ Μενέλαον, μηδὲν παθόντα, εἰ μή τις εἴποι, ὡς συγγενικῆς τῆς συμφορᾶς οὔσης, τὸ πάθος ἐστὶ κοινόν. 806. Τὸ καλὸν οὐ καλὸν] τὸ καλῶς δόξαν Ὀρέςῃ οὐ καλῶς ἀπέβη αὐτῷ. 823. Εὐμενίσι δρομάσι] ταῖς εὐκινήτοις, ταχείαις· τὸ δὲ Δινεύων, περιφέρων ἑαυτὸν κατὰ τοὺς ὀφθαλμούς. 827. Μητρὸς] τὸν μαςὸν τῆς μητρός· τὸ δὲ Χρυσεοπηνήτων, χρυσοϋφάντων, παρὰ τὸ Πήνη. Ἡ

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

ΗΛΕΚΤΡΑ, ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ.

ΗΛ. Γυναῖκες, ἦπου τῶνδ' ἀφώρμηται δόμων
Τλήμων Ὀρέστης, θεομανεῖ λύσσῃ δαμείς;
ΧΟ. Ἥκιστα· πρὸς δ' Ἀργεῖον οἴχεται λεὼν,
Ψυχῆς ἀγῶνα τὸν προκείμενον πέρι [a]
Δώσων, ἐν ᾧ ζῆν ἢ θανεῖν ὑμᾶς χρεών.
ΗΛ. Οἴμοι· τί χρῆμ' ἔδρασε; τίς δ' ἔπεισέ νιν;
ΧΟ. Πυλάδης· ἔοικε δ' οὐ μακρὰν ὅδ' ἄγγελος
Λέξειν τἀκεῖθεν σοῦ κασιγνήτου πέρι.
ΑΓ. Ὦ τλῆμον, ὦ δύστηνε τοῦ στρατηλάτου
Ἀγαμέμνονος παῖ, πότνι' Ἠλέκτρα, λόγους
Ἄκουσον, οὕς σοι δυστυχεῖς ἥκω φέρων.
ΗΛ. Αἶ αἶ· διοιχόμεσθα· δῆλος εἶ λόγῳ.
Κακῶν γὰρ ἥκεις, ὡς ἔοικεν, ἄγγελος.
ΑΓ. Ψήφῳ Πελασγῶν σὸν κασίγνητον θανεῖν
Καί σ', ὦ τάλαιν', ἔδοξε τῇδ' ἐν ἡμέρᾳ.
ΗΛ. Οἴμοι· προσῆλθεν ἐλπὶς, ἣν φοβουμένη
Πάλαι τὸ μέλλον ἐξετηκόμην γόοις.
Ἀτὰρ τίς ἀγών; τίνες ἐν Ἀργείοις λόγοι
Καθεῖλον ἡμᾶς κἀπεκύρωσαν θανεῖν;
Λέγ', ὦ γεραιὲ, πότερα λευσίμῳ χερὶ,
Ἢ διὰ σιδήρου πνεῦμ' ἀποῤῥῆξαί με δεῖ·
Κοινὰς ἀδελφῷ ξυμφορὰς κεκτημένην.
ΑΓ. ἐτύγχανον μὲν ἀγρόθεν πυλῶν ἔσω

---

ἐστι νῆμα τι σηρικόν. 843. Κακῶν γὰρ ἥκεις] τὸν στίχον τοῦτον ἀπαδοκιμά-

# ΠΡΑΞΙΣ ΤΡΙΤΗ.

## ΗΛΕΚΤΡΑ, ΑΓΓΕΛΟΣ, ΧΟΡΟΣ.

ΗΛ. Γυναῖκες, ποῦ ἐςʼ Ὀρέςης; μῶν τῇ νόσῳ ληφθεὶς ὁ δείλαιος ἐξέπεσε τῆς οἰκείας, θεήλατος αὖθις γεγονὼς ταῖς μανίαις;

ΧΟ. Οὔμενουν· ἀλλ' οἴχεται ἀγωνισόμενος πρὸς τὴν τῶν Ἀργείων ψῆφον, ἐφ' ᾗ κεῖται ἢ ζῆν ὑμᾶς, ἢ ἀποθανεῖν.

ΗΛ· Οἴμοι, τί ποτ' ἔδρασε τοῦθ' ὁ τάλας, παρὰ τίνος διδαχθείς;

ΧΟ. Παρὰ τοῦ Πυλάδου· ἀλλ' ἴδ' ἄγγελον ἥκονθ' ἡμῖν πλησίον ἐκεῖνον ἐροῦντα τὰ κατὰ τὸν Ὀρέςην.

ΑΓ. Ὦ πανδύςηνε, παῖ Ἀγαμέμνονος τοῦ ςρατάρχου, Ἠλέκτρα ταλαίπωρε, ἄκουσον λόγους, οὓς ἥκω σοι ἐρῶν δυςυχεςάτους.

ΗΛ. Φεῦ, διωλόμεθα ἄρα, ἐκ προοιμίων δῆλον· κακὰ γὰρ ἔοικας ἥκειν ἡμῖν ἀγγελῶν.

ΑΓ. Πελασγοὶ γὰρ, ὦ ταλαίπωρε, σοῦτε καὶ τοῦ σοῦ ἀδελφοῦ θάνατον τήμερον κατεψηφίσαντο.

ΗΛ. Οἴμοι τῇ δυςήνῳ· ἐγγὺς ἄρα ἡ προσδοκία, δι' ἣν πάλαι ἔντρομος πρὸς τὸ ἀποϐησόμενον οὖσα, ἐτηκόμην τοῖς δάκρυσι· λέγε μέντοι, ὦ γέρον, τοὺς προαγῶνας, τίνες προηγήθησαν λόγοι, οἷς καθελόντες ἡμᾶς, ἐπήνεγκαν τὴν μέλαιναν ψῆφον; καὶ ποῖον ἡμῶν κατεψηφίσαντο θάνατον; πότερον καταλευσθῆναι, ἢ σφαγῆναι ἡμᾶς τῷ αὐτῷ τρόπῳ ἄμφω;

ΑΓ. Ἔτυχον ἀγρόθεν ἐξιὼν εἰς τὴν πόλιν, τὰ περὶ ὑμῶν

Βαίνων, πυθέσθαι δεόμενος τά τ' ἀμφὶ σοῦ
Τά τ' ἀμφ' Ὀρέστου· σῷ γὰρ εὔνοιαν πατρὶ
Ἀεί ποτ' εἶχον, καί μ' ἔφερβε σὸς δόμος
Πένητα μὲν, χρῆσθαι δὲ γενναῖον φίλοις.
Ὁρῶ δ' ὄχλον στείχοντα καὶ θάσσοντ' ἄκραν,
Οὗ φασι πρῶτον Δαναὸν Αἰγύπτῳ δίκας
Διδόντ', ἀθροῖσαι λαὸν ἐς κοινὰς ἕδρας.
Ἀστῶν δὲ δή τιν' ἠρόμην, ἄθροισμ' ἰδὼν,
Τί καινὸν Ἄργει; μῶν τι πολεμίων πάρα
Ἄγγελμ' ἀνεπτέρωκε Δαναϊδῶν πόλιν;
Ὁ δ' εἶπ'· Ὀρέστην κεῖνον οὐχ ὁρᾷς πέλας
Στείχοντ', ἀγῶνα θανάσιμον δραμούμενον;
Ὁρῶ δ' ἄελπον φάσμ', ὃ μήποτ' ὤφελον,
Πυλάδην τε καὶ σὸν ξύγγονον στείχονθ' ὁμοῦ,
Τὸν μὲν κατηφῆ καὶ παρειμένον νόσῳ,
Τὸν δ' ὥστ' ἀδελφὸν ἶσα φίλῳ λυπούμενον,
Νόσημα κηδεύοντα παιδαγωγίᾳ.
Ἐπεὶ δὲ πλήρης ἐγένετ' Ἀργείων ὄχλος·
Κήρυξ ἀναστὰς εἶπε· Τίς χρῄζει λέγειν,
Πότερον Ὀρέστην κατθανεῖν, ἢ μὴ, χρεὼν,
Μητροκτονοῦντα; κἀπὶ τῷδ' ἀνίσταται
Ταλθύβιος, ὃς σῷ πατρὶ συνεπόρθει Φρύγας.
Ἔλεξε δ', ὑπὸ τοῖς δυναμένοισιν ὢν ἀεὶ,
Διχόμυθα, πατέρα μὲν σὸν ἐκπαγλούμενος,
Σὸν δ' οὐκ ἐπαινῶν ξύγγονον, καλοῖς κακοὺς

---

ζουσιν οἱ κριτικοὶ ὡς περιττὸν καὶ ξένης χειρός. 859. Δαναὸν] Δαναὸς ἐγένετο Ἄργους βασιλεύς· οὗτος τὰς ἑαυτοῦ θυγατέρας πεντήκοντα οὔσας ἐκδίδωσιν εἰς γάμον τοῖς υἱοῖς Αἰγύπτου τοῦ ἀδελφοῦ, πεντήκοντα καὶ αὐτοῖς οὖσι

μαθεῖν ἐφιέμενος· ἦν γάρ μοι εὔνοια πάλαι ποτὲ πολλὴ πρὸς τὸν πατέρα τὸν σὸν, παρ᾽ ᾧ ἐτρεφόμην· πένης μὲν γὰρ εἰμὶ ἀνὴρ, γενναῖος δὲ φίλοις χρῆσθαι· ἐπεὶ δὲ εἰσῄειν, ὁρῶ ὄχλον ἀθρόως συνθέοντα πρὸς τὴν ἄκραν, ἔνθα φασὶ Δαναὸν τὰ πρῶτα, Αἰγύπτῳ διδόντα δίκην, συναθροῖσαι τὸ πλῆθος· τοῦτο δ᾽ ἰδὼν, ἠρόμην τινὰ τῶν πολιτῶν, τί καινὸν τοῦτ᾽ Ἀργείοις; μήτις πόλεμος ἔξωθεν οὕτως αὐτοὺς ἐπῆρεν; ὁ δὲ, οὐχ ὁρᾷς, ἔφη, Ὀρέστην ἐκεῖνον δεῦρ᾽ ἥκοντα δικασόμενον φόνου; ἐνταῦθα στρέψας, ὁρῶ ἀνέλπιστον θέαμα, ὡς μήποτ᾽ ὤφειλον, Πυλάδην καὶ τὸν σὸν ἀδελφὸν συμβαδίζοντας· τὸν μὲν, σκυθρωπὸν, καὶ ὅλως παρειμένον τῇ νόσῳ· τὸν δὲ, κατ᾽ ἀδελφὸν συμμεριζόμενον τὸ πάθος, καὶ τὸ νόσημα αὐτῷ σὺν σπουδῇ θεραπεύοντα. Πληρωθείσης τοίνυν τῆς ἐκκλησίας, ἀνεῖπεν ὁ κῆρυξ, Ἀναστὰς ὁ βουλόμενος, εἰπάτω γνώμην, πότερον δεῖ ἀποθανεῖν, ἢ μὴ, Ὀρέστην μητροκτονήσαντα; ἐκ δὴ τούτου ἀνίσταται πρῶτος Ταλθύβιος, ὃς Φρύγας τῷ σῷ πατρί ποτε συνεξῄρει· ὑποτρέχων δὲ τοὺς δυνατοὺς, ἐδόκει ἐφ᾽ ἑκάτερα ἀντιῤῥέπειν τῇ τῶν λόγων διπλόῃ· τὸν μὲν γὰρ πατέρα θαυμάζων τὸν σὸν, τὸ δὲ τοῦ ἀδελφοῦ μεμφόμενος ἔργον, λόγους λόγων εὐπρεπείᾳ κακοὺς καλοῖς πα-

---

οὗτος οὖν ἀπῆλθεν εἰς τὸ μαντεῖον χρησόμενος, εἰ ἄρα καλῶς ἐγήμαντο αἱ θυγατέρες· ὁ δὲ θεὸς ἔχρησεν αὐτῷ ἐκ τούτων κινδυνεύσειν. ὁ δὲ ἔπεισε τὰς θυγατέρας ἀνελεῖν τοὺς τοῦ Αἰγύπτου παῖδας· μόνη δὲ Ὑπερμνήστρα ἐφείσατο τοῦ Λυγκέως· ὃς ἐβασίλευσε χρόνῳ ὕστερον Ἄργους. 869. Ἴσα φίλῳ] τοῦτο εἰ ἐγράφετο, ἐπὶ φίλῳ, εὐοδεῖτ᾽ ἂν μᾶλλον· νῦν δὲ ἀναπληρωτέον ἂν εἴη ὧδε· ὁ δὲ ἐλυπεῖτο ἴσα τῷ φίλῳ Ὀρέστῃ, ὡς εἰ ἦν ἀδελφός· εἰ μὴ τὸ Ὥστε καὶ τὸ Ἴσα ὡς ἔν τις ἐκλάβοι· τὸ δὲ Παιδαγωγίᾳ, περιποιήσει, ἀνακουφίσει, θερ-

Λόγους ἑλίσσων, ὅτι καθισταίη νόμους
Ἐς τοὺς τεκόντας οὐ καλούς· τὸ δ' ὄμμ' ἀεὶ
Φαιδρωπὸν ἐδίδου τοῖσιν Αἰγίσθου φίλοις.
Τὸ γὰρ γένος τοιοῦτον, ἐπὶ τὸν εὐτυχῆ
Πηδῶσ' ἀεὶ κήρυκες· ὅδε δ' αὐτοῖς φίλος,
Ὃς ἂν δύνηται, πόλεος ἔν τ' ἀρχαῖσιν ᾖ.
Ἐπὶ τῷδε δ' ἠγόρευε Διομήδης ἄναξ.
Οὗτος κτανεῖν μὲν οὔτε σ', οὔτε σύγγονον
Εἴα, φυγῇ δὲ ζημιοῦντας εὐσεβεῖν.
Ἐπεῤῥόθησαν δ' οἱ μὲν, ὡς καλῶς λέγοι·
Οἱ δ' οὐκ ἐπῄνουν· κἀπὶ τῷδ' ἀνίσταται
Ἀνήρ τις ἀθυρόγλωσσος, ἰσχύων θράσει,
Ἀργεῖος οὐκ Ἀργεῖος, ἠναγκασμένος,
Θορύβῳ τε πίσυνος κἀμαθεῖ παῤῥησίᾳ,
Πιθανὸς ἔτ' αὐτοὺς περιβαλεῖν κακῷ τινι.
(Ὅταν γὰρ ἡδὺς τοῖς λόγοις, φρονῶν κακῶς,
Πείθῃ τὸ πλῆθος, τῇ πόλει κακὸν μέγα·
Ὅσοι δὲ σὺν νῷ χρηστὰ βουλεύουσ' ἀεὶ,
Κἂν μὴ παραυτίκ', αὖθις εἰσὶ χρήσιμοι
Πόλει. θεᾶσθαι δ' ὧδε χρὴ τὸν προστάτην
Ἰδόνθ'· ὅμοιον γὰρ τὸ χρῆμα γίγνεται
Τῷ τοὺς λόγους λέγοντι καὶ τιμωμένῳ.)
Ὃς εἶπ', Ὀρέστην καὶ σ' ἀποκτεῖναι πέτροις
Βάλλοντας· ὑπὸ δ' ἔτεινε Τυνδάρεως λόγους
Τῷ σφὼ κατακτείνοντι τοιούτους λέγειν.
Ἄλλος δ' ἀναστὰς ἔλεγε τῷδ' ἐναντία,
Μορφῇ μὲν οὐκ εὐωπὸς, ἀνδρεῖος δ' ἀνὴρ,
Ὀλιγάκις ἄστυ κἀγορᾶς χραίνων κύκλον,

ῥαμιγνύων ἀνεκύκα· ἔφη γὰρ μὴ καλὸν εἶναι νόμον τοῦτον καθεστάναι ἐπὶ τοὺς τεκόντας· καὶ ταῦτα λέγων φαιδρὸν παρεῖχε βλέμμα πρὸς τοὺς Αἰγίσθου φίλους· τοιοῦτοι γὰρ οἱ κήρυκες, πρὸς τοὺς εὖ πράσσοντας ἀεὶ μεθιστάμενοι, φίλον ποιοῦνται τὸν τῆς πόλεως ἀεὶ προϊςάμενον. Ἐκ δ' αὖ τούτου ἀναστὰς συνηγόρει ὑμῖν Διομήδης ὁ ἄναξ· ὃς ἀνελεῖν μὲν ὑμᾶς οὐκ εἴα· εὐσεβὲς δὲ εἶναι φυγῇ ζημιῶσαι. Πρὸς οὖν ταῦθ' οἱ μὲν ἐπήνεσαν θορυβήσαντες· οἱ δὲ οὐκ ἠρέσκοντο. κἀντεῦθεν ἀνέςη ἀθυρόγλωσσός τις καὶ θρασὺς ἐς τὰ μάλιςα Ἀργεῖος μὲν, οὐκ ἂν εἴποιμι, ἀνάγκῃ δὲ τοῦτο γεγενημένος· ἀνὴρ πιστὸς μὲν λαῷ θορυβοῦντι ἐξ ἀμαθοῦς παῤῥησίας· πιθανώτατος δ' ἐμβάλλειν αὐτοὺς εἰς κακὰ (πονηρία γὰρ, εὐγλωττίαν εὑροῦσα, μέγιστον κακὸν πλήθει· οἱ δὲ τὰ χρηστὰ συνέσει βουλεύοντες, κἂν μὴ ἐν τῷ παραυτίκα, ἀλλ' ἔπειτ' ὠφέλησαν τὰς πόλεις· διὸ δεῖ τούτοις προσέχειν τὸν νοῦν τοὺς προϊσταμένους. τοιαῦτα γὰρ αὐταῖς τὰ πράγματ' ἀποβήσεται, οἷος ἂν ᾖ ὁ συμβουλεύων καὶ τιμώμενος παρ' αὐτῶν) Οὗτος οὖν ἀναστὰς ἀπεφήνατο γνώμην σέ τε καὶ Ὀρέστην καταλευσθῆναι ἄμφω· ὑπεκίνει δ' αὐτὸν Τυνδάρεως τοιούτους ἐκφέρειν λόγους. Ἐκ δ' αὖ τούτου ἀναστὰς ἕτερος ἀντέλεγε πρὸς ταῦτα· ἦν δ' οὗτος τῶν αὐτουργῶν τις, οἳ μόνοι

πείᾳ, ἐκ μεταφορᾶς. 884. Πόλιος] συντακτέον τοῦτο πρὸς τὸ ἑξῆς ἐν ἀρχαίᾳ τῆς πόλεως. 891. Οὐκ Ἀργεῖος] ξένος τις δοκεῖ εἶναι οὗτος ἐκ μακρᾶς ἐπιδημίας Ἀργεῖος κληθείς· τὸ δὲ πιθανὸς, εὐάρεστος, ἐπαγωγός. 897. Τὸν προστάτην] δεῖ φησι τοὺς προϊσταμένους τῶν πόλεων αἱρεῖσθαι καλοὺς κἀγαθοὺς συμβόλους καὶ λειτουργοὺς τῶν κοινῶν· τοιαῦτα γὰρ αὐτοῖς ἔσονται τἀποτελέσματα, οἷοί εἰσιν οἱ ὑπ' αὐτῶν προστατευόμενοι καὶ τιμώμενοι. 902. Ὑπὸ

Αὐτουργὸς, οἵπερ καὶ μόνοι σώζουσι γῆν,
Ξυνετὸς δὲ χωρεῖν ὁμόσε τοῖς λόγοις θέλων,
Ἀκέραιος, ἀνεπίληπτον ἠσκηκὼς βίον·
Ὃς εἶπ', Ὀρέστην παῖδα τὸν Ἀγαμέμνονος
Στεφανοῦν, ὃς ἠθέλησε τιμωρεῖν πατρὶ,
Κακὴν γυναῖκα κἄθεον κατακτανὼν,
Ἣ κεῖν' ἀφῄρει, μήθ' ὁπλίζεσθαι χέρα,
Μήτε στρατεύειν ἐκλιπόντα δώματα,
Εἰ τἄνδον οἰκουρήμαθ' οἱ λελειμμένοι
Φθείρουσιν, ἀνδρῶν εὐνίδας λωβώμενοι.
Καὶ τοῖς γε χρηστοῖς εὖ λέγειν ἐφαίνετο,
Κοὐδεὶς ἔτ' εἶπε. σὸς δ' ἐπῆλθε σύγγονος,
Ἔλεξε δ', Ὦ γῆν Ἰνάχου κεκτημένοι,
[Πάλαι Πελασγοὶ, Δαναΐδαι δὲ δεύτερον]
Ὑμῖν ἀμύνων οὐδὲν ἧσσον ἢ πατρὶ.
Ἔκτεινα μητέρ'. εἰ γὰρ ἀρσένων φόνος
Ἔσται γυναιξὶν ὅσιος, οὐ φθάνοιτ' ἔτ' ἂν
Θνήσκοντες, ἢ γυναιξὶ δουλεύειν χρεών·
Τοὐναντίον δὲ δράσετ', ἢ δρᾶσαι χρεών.
Νῦν μὲν γὰρ ἡ προδοῦσα λέκτρ' ἐμοῦ πατρὸς
Τέθνηκεν· εἰ δὲ δὴ κατακτενεῖτ' ἐμὲ,
Ὁ νόμος ἀνεῖται - κοὐ φθάνοι θνήσκων τὶς ἂν,
Ὡς τῆς γε τόλμης οὐ σπάνις γενήσεται.
Ἀλλ' οὐκ ἔπειθ' ὅμιλον, εὖ δοκῶν λέγειν.
Νικᾷ δ' ἐκεῖνος ὁ κακὸς ἐν πλήθει λέγων,
Ὃς ἠγόρευε, σύγγονον σέ τε κτανεῖν.

---

δὲ ἔτεινε] ὑπέβαλεν, ὑπεκίνει. 913. Ἢ κεῖν' ἀφῄρει] τὰ ἑξῆς, τὴν ὅπλισιν, καὶ

δοκοῦσι σώζειν τὴν πατρίδα, ἀνὴρ τὸ μὲν εἶδος οὐκ εὖ πεφυκὼς, ἀνδρεῖος δ' ἄλλως· ἐλάχιστα μὲν τῇ πόλει προσιὼν καὶ συλλόγοις, συνετὸς δὲ λόγον τε παρασχεῖν εἰς τὸ πλῆθος, καὶ βίον καθαρὸν κἀνεπίληπτον ἔχων· οὗτος δὴ ἀναςὰς, ἐκέλευε ςεφανοῦν Ὀρέστην, ὃς τῷ τοῦ πατρὸς φόνῳ γιγνόμενος τιμωρὸς, ἀπέκτεινε τὴν μητέρα, κακὴν καὶ ἀνόσιον οὖσαν· δι' ἣν οὐκέτ' ἐςι μήθ' ὁπλίζεσθαι, μήτε ςρατεύειν ἀποδημοῦντα, εἴγ' οἱ λειπόμενοι, μοιχεύοντες τὰ θαλαμευόμενα γύναια, εἰς τὰς τῶν ἀνδρῶν ἐξυβρίζουσιν εὐνάς· ταῦτα δὲ εἰπὼν, ἔδοξε τοῖς γε χρηςοῖς ὀρθῶς λέγειν. Ἐκ δὴ τούτου παρελθὼν Ὀρέςης, Ἄνδρες, ἔφη, Ἀργεῖοι, οἱ τὴν Ἰνάχου γῆν κατοικοῦντες, ἴςε ὑμεῖς γε, ὡς ὃ πέπρακται παρ' ἐμοῦ, οὐ μᾶλλον ὑπὲρ τοῦ πατρὸς τοῦ ἐμοῦ ἐςι πεπραγμένον, ἢ καὶ ὑμῶν αὐτῶν· εἰ γὰρ γυναιξὶν ἐξέςαι ἀνδροκτονεῖν, ἀνάγκη δυοῖν θάτερον, ἢ πάντας ἐγγὺς εἶναι θανάτου ἀεὶ ὑμᾶς αὐτοὺς ἡγεῖσθαι, ἢ γυναιξὶ δουλεύειν· ὑμεῖς δὲ τοὐναντίον, ἢ χρὴ δρᾶτε· τῆς γὰρ ἐμῆς μητρὸς, ἐφ' οἷς ἐφωράθη τὴν τοῦ ἀνδρὸς αὐτῆς προδοῦσα κοίτην, ἀποθανούσης, εἰ ἀποκτενεῖτέ με τὸν τοῦθ' ὑπὲρ ὑμῶν τετολμηκότα, τοῦ νόμου λυθέντος οὕτως, οὐκ ἂν φθάνοιτε ὑπὸ τῶν ἰδίων ἀποθνήσκοντες γυναικῶν· οὐδεμία γὰρ παῦλα τοιούτων ἔςαι ἁμαρτημάτων. Ταῦτα μὲν εἰπὼν, καίπερ εὖ δοκῶν λέγειν, οὐκ ἔπειθε τὸ πλῆθος· ἐνίκα δ' ὁ κάκιςος ἐκεῖνος ὁ καθ' ὑμῶν τὴν ψῆφον ἐπενεγκών· μόλις δ' ἔπεισε τε-

---

τὴν ἐκστρατείαν. 927. Ὁ νόμος ἀνεῖται] ἐξασθενεῖ, οὐκέτ' ἰσχύσει. 943. Ὡς ξυνηρεφὲς] πάντῃ κεκαλυμμένον· καταβαλοῦσα γὰρ ἑαυτὴν ἐπὶ κεφαλὴν, ἑ-

Μόλις δ' ἔπεισε μὴ πετρουμένους θανεῖν
Τλήμων Ὀρέστης· αὐτόχειρι δὲ σφαγῇ
Ὑπέσχετ' ἐν τῇδ' ἡμέρᾳ λείψειν βίον
Ξύν σοι. πορεύει δ' αὐτὸν ἐκκλήτων ἄπο
Πυλάδης δακρύων· ξὺν δ' ὁμαρτοῦσιν φίλοι
Κλάοντες, οἰκτείροντες· ἔρχεται δέ σοι
Πικρὸν θέαμα καὶ πρόσοψις ἀθλία.
Ἀλλ' εὐτρέπιζε φάσγαν', ἢ βρόχον δέρῃ,
Ὡς δεῖ λιπεῖν σε φέγγος· ηὑγένεια δὲ
Οὐδέν σ' ἐπωφέλησεν, οὐδ' ὁ Πύθιος
Τρίποδα καθίζων Φοῖβος, ἀλλ' ἀπώλεσαν.
ΧΟ. Ὦ δυστάλαινα παρθέν', ὡς ξυνηρεφὲς
Πρόσωπον ἐς γῆν σὸν βαλοῦσ', ἄφθογγος εἶ,
Ὡς ἐς στεναγμοὺς καὶ γόους δραμουμένη!
ΗΛ. Κατάρχομαι στεναγμὸν, ὦ Πελασγία, (Στρ)
Τιθεῖσα λευκὸν ὄνυχα διὰ παρηΐδων,
Αἱματηρὸν ἄταν,
Κτύπον τε κρατὸς, ὃν ἔλαχ' ἁ κατὰ χθονὸς
Νερτέρων καλλίπαις θεά.
Ἰαχείτω δὲ γᾶ Κυκλωπία,
Σίδαρον ἐπὶ κάρᾳ τιθεῖσα κούριμον,
Πήματ' οἴκων.
Ἔλεος ἔλεος ὅδ' ἔρχεται
Τῶν θανουμένων ὕπερ
Στρατηλατῶν Ἑλλάδος ποτ' ὄντων.

---

κεῖτο ἄφωνος. 947. **Κατάρχομαι στεναγμὸν**] ἔδει δὲ μᾶλλον εἰς γενικὴν ἐπάγειν τὸ στεναγμόν· τὸ δὲ Αἱματηρὸν ἄταν κατ' ἐπεξήγησιν τοῦ Ὄνυχα· ἀποδοτέα δὲ ταῦτά τε καὶ τὸ Κτύπον κρατὸς ἀνωτέρω εἰς τὸ, τιθεῖσα· 950 Ὃν ἔλαχ'] πότερον, ἔλαχεν. ἢ ἔλακεν; τὸ δεύτερον οἶμαι· ἵν' ᾖ, ὃν κτύπον ἔρρηξεν εἴτ' οὖν ἤχησεν ἐν τῷ ᾅδῃ ἡ Κόρη· τὸ δὲ καλλίπαις, οὐχ ἡ εὔτεκνος, ἀλλ' ἁπλῶς

λευτῶν ὁ τλήμων Ὀρέστης μὴ καταλευσθῆναι, ὑποσχόμενος αὐτόχειρας ἀμφοτέρους ὑμᾶς γενήσεσθαι. Οὕτως οὖν ἐξήει τῆς ἐκκλησίας παραβοηθούμενος μὲν ὑπὸ τοῦ Πυλάδου δακρύοντος, παρακολουθούμενος δὲ καὶ ὑπὸ φίλων κλαιόντων καὶ οἰκτειρόντων· καὶ δὴ ὅσον οὔπω πάρεστι θέαν σοι παρέξων πικράν· σὲ δὲ χρὴ, δέον ἀποθανεῖν, πρὸς ξίφος ἢ βρόχον ἑτοίμως ἔχειν· εὐγενείας δέ σοι καὶ τοῦ Φοίβου ἀπὸ τρίποδος ὄφελος οὐδέν· βλάβη δὲ φανερά.

ΧΟ Ὦ δυστυχεστάτη παρθένε, ὅπως αἴφνης καταλαβοῦσα σεαυτὴν ἐπὶ πρόσωπον, κεῖσαι ἄφωνος· τελευτῶσα δὲ προήσεις σεαυτὴν κοπετοῖς τε καὶ θρήνοις.

ΗΛ. Αἶ, αἶ· κατάρχομαι στεναγμῶν, ὦ Πελασγία, τάς τε παρειὰς τοῖς ὄνυξι καθαιμάττουσα, βλάβην ταύτην αἱματώδη ἐμαυτῇ τιθεμένη, καὶ τὴν κεφαλὴν ἀμφοτέραις ἀράσσουσα κτύπῳ, ὃν ἡ καλὴ Κόρη ἀπέῤῥηξεν ἐν τοῖς κάτω· θρηνήτω ἡ τῶν Κυκλώπων γῆ, κειρομένη τὴν κόμην, τὴν τοῦ οἴκου τῶν Τανταλιδῶν κλαίουσα δυστυχίαν· ἐλεείτω ἀποθανουμένους τοὺς Ἀγαμεμνονίδας, ὃς ἦν ποτε στρατηγὸς τῆς Ἑλλάδος.

---

ἡ ἔχουσα κάλλος. 652. Κυκλωπία] τὴν τῆς Μυκήνης ἐννοεῖ· Κύκλωπες θρακικὸν γένος ἐξαναστάντες, ἄλλοι ἄλλῃ κατῴκηνται. οἱ πλεῖστοι δὲ αὐτῶν ἐν Κουρήτιδι. ἦσαν δὲ ἄριστοι τεχνῖται καὶ τὰς Μυκήνας ὕστερον ἔκτισαν· τούτους δὲ φασὶ χαλκεῦσαι καὶ τὸν κεραυνὸν τῷ Διΐ, ὡς οἱ μῦθοι. 953. Κούριμον] μετὰ τοῦτο πρόσκειται ἔτι ἐν ἄλλοις, τῶν Ἀτρειδῶν· ὥσπερ αὖ κἂν τῇ Ἀντιστροφῇ ἐν τῷ αὐτῷ ἑβδόμῳ στίχῳ ἔστι τις μεταβολή· οἷον,

» . . . . . . . . . . . . Ἔθνη
» Πολύστονά τε δὴ καὶ πολύπονα, λεύσσεσθ' ὡς παρ' ἐλπίδα.

ὁ δὲ νοῦς ὅμως ὁ αὐτός. 954. Πήματα] διὰ τὰ πήματα τῶν οἴκων τῶν Ἀτρειδῶν. 957. Τῶν στρατηλατῶν] συντακτέον οὕτω· ἔλεος οὗτος γεννᾶται

Βέβακε γὰρ, βέβακεν· οἴχεται τέκνων (Ἀντ.)
Πρόπασα γέννα Πέλοπος, ὅ,τ' ἐπὶ μακαρίοις
Ζῆλος ὤν ποτ' οἴκοις·
Φθόνος νιν εἷλε θεόθεν, ἅτε δυσμενὴς
Φοινία ψῆφος ἐν πόλει.
Ἰὼ; ἰὼ, πανδάκρυτ' ἐφαμέρων
Ἔθνη πολύπονα, λεύσσεθ', ὡς παρ' ἐλπίδας
Μοῖρα βαίνει.
Ἕτερα δ' ἑτέροις ἀμείβεται
Πήματ' ἐν χρόνῳ μακρῷ·
Βροτῶν δ' ὁ πᾶς ἀστάθμητος αἰών.
Μόλοιμι τὰν οὐρανοῦ
Μέσον χθονός τε τεταμέναν
Αἰωρήμασι πέτραν,
Ἁλύσεσι χρυσέαισι φερομέναν
Δίναισι βῶλον ἐξ Ὀλύμπου,
Ἵν' ἐν θρήνοισιν ἀναβοάσω
Πατρὶ γέροντι Ταντάλῳ,
Ὃς ἔτεκεν, ἔτεκε γενέτορας ἐμέθεν δόμων,
Οἳ κατεῖδον ἄτας,
Τὸ πτανὸν μὲν δίωγμα πώλων
Τεθριπποβάμονι στόλῳ
Πέλοψ ὁπότε πελάγεσι διεδίφρευσε,
Μυρτίλου φόνον
Δικὼν ἐς οἶδμα πόντου,
Λευκοκύμοσι πρὸς Γεραιστίαις ποντίων σάλων
Ἠόσιν ἁρματεύσας.
Ὅθεν δόμοισι τοῖς ἐμοῖς

Οὐκέτ', οὐκέτ' ἐςὶ τὸ τοῦ Πέλοπος γένος· πρόπαν ἀπώλετο τοῦτο, ὅ,τε ζῆλος τῶν εὐδαιμονούντων ποτὲ τούτων οἴκων ἠφάνιςαι ὅλως· νέμεσις ἄρα θεόθεν ἐξεῖλε τούτους καὶ ἡ φθονερὰ καὶ δυσμενὴς ψῆφος τῶν Ἀργείων· φεῦ, φεῦ, πολύμοχθα καὶ πολυπαθῆ ἔθνη τῶν βροτῶν, ἴδετ' ἴδετε, ὅπως ἡ τύχη ἐςὶν ἀςάτως πεπηγμένη, ἄλλο ἄλλου πάσχοντος ἐκ διαδοχῆς ἐν μακρῷ τῷ αἰῶνι· ὁ γὰρ βίος ἀνθρώποις ἀςάθμητος ὅλως.

Εἴθε μοι εἴη ἀναπτῆναι εἰς τὴν μεταξὺ οὐρανοῦ καὶ γῆς χρυσαῖς αἰωρημένην ἀλύσεσι, κἀν τῷ ἀχανεῖ τοῦ ἀέρος πολλαῖς συςροφαῖς περιφερομένην πέτραν, ὅπως ἐξήει μοι ἐκτραγῳδῆσαι ταῦτα Ταντάλῳ τῷ γενάρχῃ τῶν ἐμῶν προπατόρων, ὧν ὁ βίος πλήρης κακῶν· ἐξ ὅτου γὰρ Πέλοψ πτερωτοῖς ἵπποις διφρεύσας παρὰ τὴν θάλασσαν, ἐξέῤῥιψε Μυρτίλον τοῖς κατὰ τὸν Γεραιστὸν κύμασιν ὑποβρύχιον, ὅθεν πολύστονος τοῖς ἐμοῖς προγόνοις ἐνέσκηψεν ἀρὰ, ὁπότε τὸ φθοροποιὸν ἐκεῖνο τέρας τοῦ χρυ-

πᾶσιν ὑπὲρ τῶν θανουμένων ἡμῶν τῶν παίδων τοῦ ποτὲ στρατηγήσαντος τῆς Ἑλλάδος Ἀγαμέμνονος. 971. Πέτραν] ἴδε ἐν προοιμίοις στίχ· 5. τὸ δὲ βῶλον, ἐπεξηγεῖται τὴν πέτραν, ἀπηρτημένην τοῦ Ὀλύμπου, ἢ τοῦ οὐρανοῦ. 978. Πτανὸν] ἐν ἄλλοις δὲ ποτανὸν ἱπτάμενον. Πέλοψ γὰρ ἅρμα ἔχων παρὰ Ποσειδῶνος καὶ ἵππους πτερωτοὺς, παραβαλὼν ἐν αὐτῷ Μυρτίλον ἔῤῥιψεν εἰς τὴν θάλασσαν παρὰ τῷ Γεραιςῷ τῆς Εὐβοίας ἀκρωτηρίῳ τῷ ἐπωνύμως κληθέντι Μυρτῷον, ὡς ἔρωτι κατεχόμενον τῆς Ἱπποδαμείας, γυναικὸς οὔσης Πέλοπος. ἴδε Ἰφιγ. Ταυρ. στίχ. 2. τὸ δὲ, ἁρματεύσας, ἐλθὼν μετὰ τοῦ ἅρ-

Ἦλθ' ἀρὰ πολύστονος,
Λόχευμα ποιμνίοισι Μαιάδος τόκου,
Τὸ χρυσόμαλλον ἀρνὸς ὁπότ'
Ἐγένετο τέρας ὀλοὸν, ὀλοὸν
Ἀτρέως ἱπποβότα·
Ὅθεν Ἔρις τὸ,τε πτερωτὸν
Ἀελίου μετέβαλεν ἅρμα, τὰν πρὸς ἑσπέραν
Κέλευθον προσαρμόσασ' οὐρανοῦ
Μονόπωλον ἐς Ἀῶ,
Ἑπταπόρου τε δρόμημα Πελειάδος
Εἰς ὁδὸν ἄλλαν Ζεὺς Μεταβάλλει·
Τῶν δὲ τ' ἀμείβει θανάτους θανάτων,
Τά τ' ἐπώνυμα δεῖπνα Θυέστου,
Λέκτρα τε Κρήσσας
Ἀερόπας δολίας δολίοισι γάμοις.
Τὰ πανύστατα δ' εἰς ἐμὲ καὶ γενέταν
Ἐμὸν ἦλθε δόμων
Πολυπόνοις ἀνάγκαις.

ΧΟ. Καὶ μὴν ὅδε σὸς ξύγγονος ἕρπει
Ψήφῳ θανάτου κατακυρωθεὶς,
Ὅ,τε πιστότατος πάντων Πυλάδης
Ἰσάδελφος ἀνὴρ,
Ἰθύνων νοσερὸν κῶλον [Ὀρέστου]
Ποδὶ κηδοσύνῳ παράσειρος.

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

ΗΛΕΚΤΡΑ, ΟΡΕΣΤΗΣ, ΠΥΛΑΔΗΣ, ΕΡΜΙΟΝΗ, ΦΡΥΞ.

ΗΛ. Οἲ 'γώ! πρὸ τύμβου γάρ σ' ὁρῶσ' ἀναστένω,

σομάλλου ἀρνὸς παρὰ τοῦ τῆς Μαίας παιδὸς ἐπιπεμφθὲν, ἀνεφάνη ἐν τοῖς τοῦ Ἀτρέως ποιμνίοις, ἔκτοθ' ἡ ἔρις τὸ τοῦ ἡλίου πτερωτὸν μετέβαλεν ἅρμα, ὥς ἀφ' ἑσπέρας τὴν πρὸς τὴν μονόπωλον Ἕω τραπῆναι πορείαν ἀντιστρόφως, τήνθ' ἑπτάπορον τροχιὰν τῆς Πλειάδας εἰς ἑτέραν ὁ Ζεὺς περιφορὰν μετέβαλεν· κἀκ τούτων θανάτους θανάτων ἐπέπεμψε διαδόχους. τάτ' ἐπώνυμα τοῦ Θυέστου δεῖπνα, καὶ Ἀερόπης τῆς Κρήσσης δόλιον ὁμιλίαν· καὶ τέλος ἡ ἀρὰ πέρας ἔχει, ἐν ἐμοὶ καὶ τῷ ἐμαυτῆς πατρὶ πολυστόνοις πληρωθεῖσα ἀνάγκαις.

**ΧΟ.** Καὶ μὴν ἴδε σὸς ἐκεῖνος ἀδελφὸς ἥκει, θάνατον καταψηφισθεὶς ὑπ' Ἀργείων· ὅ,τε Πυλάδης ὁμοῦ, ὁ ἴσα καὶ ἀδελφὸς αὐτῷ γεγονὼς, παραπορευόμενος καὶ ἀνακουφίζων αὐτὸν ἀσθενοῦντα.

# ΠΡΑΞΙΣ ΤΕΤΑΡΤΗ.

**ΗΛΕΚΤΡΑ, ΟΡΕΣΤΗΣ, ΠΥΛΑΔΗΣ, ΕΡΜΙΟΝΗ, ΦΡΥΞ**

**ΗΛ.** Οἴμοι τῇ παναθλίᾳ, ὡς πρὸ τοῦ τάφου καὶ τῆς πυρᾶς

---

ματος, δηλοῖ. 987. Μαιάδος τόκου] τοῦ Ἑρμοῦ τοῦ υἱοῦ τῆς Μαίας· Ἑρμῆς γὰρ χαλεπήνας τῷ Πέλοπι ἀνελόντι Μυρτίλον τὸν παῖδα αὐτοῦ ἐκ Φαεθούσης τῆς τοῦ Δαναοῦ θυγατρὸς, ἔπεμψε τὸ χρυσόμαλλον ἐκεῖνο ἀρνίον (ἴδε στίχ. 5.) εἰς τὰ ποίμνια τοῦ υἱοῦ αὐτοῦ Ἀτρέως. ὅθεν ἡ ἔρις Ἀτρεῖ καὶ Θυέστῃ ἐξ ἧς ἐρρύησαν αὐτοῖς τὰ τέκνα· ἡ δὲ συνθήκη ἔχει ὧδε. Ὁπότε τὸ χρυσόμαλλον (δέρας τοῦ) τόκου (τῆς) Μαιάδος ἐγένετο τέρας λόχευμα (ὅ ἐστιν ἐγεννήθη) ὀλοὸν (φθοροποιὸν) ἐν τοῖς ποιμνίοις Ἀτρέως τοῦ Ἱπποβότα· Τὰ δ' ἄλλα ἴδε ἐν ἀρχῇ στίχ. 5. 993. Προσαρμόσασα] μεταστρέψασα πρὸς τὴν μονόπωλον Ἠῶ, τὴν ἐφ' ἑνὸς πώλου τοῦ Πηγάσου ἐποχουμένην. 998. Ἐπώνυμα] ὡς θύματα ἐπώνυμα Θυέσου· παρὰ γὰρ τὸ θύειν Θυέσης. 1009. Παράσειρος] συνοδοιπόρος, φροντίζων αὐτοῦ,

Ἀδελφὲ, καὶ πάροιθε νερτέρων πυρᾶς.
Οἴ' γὼ μάλ' αὖθις! ὥς σ' ἰδοῦσ' ἐν ὄμμασι
Πανυςάτην πρόσοψιν ἐξέςην φρενῶν.
ΟΡ. Οὐ σιγ', ἀφεῖσα τοὺς γυναικείους γόους,
Στέρξεις τὰ κρανθέντ'; οἰκτρὰ μὲν τάδ', ἀλλ' ὅμως
Φέρειν ἀνάγκη τὰς παρεςώσας τύχας.
ΗΛ. Καὶ πῶς σιωπῶ; φέγγος εἰσορᾷν θεοῦ
Τόδ' οὐκέθ' ἡμῖν τοῖς ταλαιπώροις μέτα.
ΟΡ. Σὺ μή μ' ἀπόκτειν'· ἅλις ὑπ' Ἀργείας χερὸς
Τέθνηχ' ὁ τλήμων· τὰ δὲ παρόντ' ἔα κακά.
ΗΛ. Ὦ μέλεος ἥβης σῆς, Ὀρέςα, καὶ πότμου
Θανάτου τ' ἀώρου! ζῆν ἐχρῆν σ', ὅτ' οὐκέτ' εἶ.
ΟΡ. Μὴ πρὸς θεῶν μοι περιβάλῃς ἀνανδρίαν,
Ἐς δάκρυα πορθμεύουσ' ὑπόμνησιν κακῶν.
ΗΛ. Θανούμεθ'· οὐχ οἷόν τε μὴ ςένειν κακά.
Πᾶσιν γὰρ οἰκτρὸν ἡ φίλη ψυχὴ βροτοῖς.
ΟΡ. Τόδ' ἦμαρ ἡμῖν κύριον· δεῖ δ' ἢ βρόχους
Ἅπτειν κρεμαςοὺς, ἢ ξίφος θήγειν χερί.
ΗΛ. Σύ νύν μ', ἀδελφὲ, μή τις Ἀργείων κτάνῃ,
Ὕβρισμα θέμενος τὸν Ἀγαμέμνονος γόνον.
ΟΡ. Ἅλις τὸ μητρὸς αἷμ'· ἐγὼ δὲ σ' οὐ κτενῶ.
Ἀλλ' αὐτόχειρι θνῆσχ', ὅτῳ βούλει, τρόπῳ.
ΗΛ. Ἔςαι τάδ'· οὐδὲν σοῦ ξίφους λελείψομαι·
Ἀλλ' ἀμφιθεῖναι σῇ δέρῃ θέλω χέρας.
ΟΡ. Τέρπου κενὴν ὄνησιν, εἰ τερπνὸν τόδε,
Θανάτου πέλας βεβῶσι περιβαλεῖν χέρας.
ΗΛ. Ὦ φίλτατ', ὦ ποθεινὸν ἥδιςόν τ' ἔχων
Τῆς σῆς ἀδελφῆς ὄνομα καὶ ψυχὴν μίαν,

τῶν νεκρῶν ὁρῶσά σε, ἀδελφὲ φίλτατε, ὀλοφύρομαι σφόδρα· οἴμοι αὖ τῇ δυστήνῳ, ὡς ἐξέστην τῶν φρενῶν, νῦν σε τὰ τελευταῖα ἰδοῦσα.

ΟΡ. Οὐκ ἀτρέμας ἔχουσα, στέρξεις τὰ παρόντα γενναίως, τῶν γυναικείων τούτων ὀλοφυρμῶν ἀφειμένη; οἰκτρὰ μὲν ταῦτα, ἀλλὰ φέρειν δεῖ ἀναγκαίως τὰς παρεστώσας τύχας.

ΗΛ. Πῶς γὰρ σιωπήσαιμι, μηκέτ' ἐξὸν ἡμῖν τὸ τοῦ ἡλίου φῶς προσιδεῖν;

ΟΡ. Μή με ἀπόκτεινε τῇ τούτων μνήμῃ· ἅλις γὰρ παρὰ τῶν Ἀργείων ἡμῖν ἔχει τούτων· νῦν δὲ λήθη πάντων ἡμῖν τούτων ἔστω.

ΗΛ. Ὦ δύστυνε σύγ' Ὀρέστα, τῆς σῆς ἕνεκα ἡλικίας καὶ τοῦ ἀώρου θανάτου· ἐχρῆν γάρ σε ζῆν, ὅτε σοι τοῦτο οὐκέτι ἔσται.

ΟΡ. Ἔα ταῦτα πρὸς θεῶν· μνήμη γὰρ κακῶν, κινοῦσα εἰς δάκρυα, μεταβάλλει τῆς ψυχῆς τὸ γενναῖον.

ΗΛ. Ἀλλ' ἀπολούμεθ' αὐτίκα μάλα· πῶς οὖν οἷόν τε μὴ θρηνεῖν; συγγνωστὰ γὰρ πᾶσιν ἀνθρώποις φιλοψυχεῖν.

ΟΡ. Ἀνάγκη δυοῖν θάτερον ἤτοι ἀγχόνῃ, ἢ ξίφει ἡμᾶς τήμερον χρήσασθαι.

ΗΛ. Οὐκοῦν, ὅπως μήτις τῶν Ἀργείων εἰς τὴν θυγατέρα ἐξυβρίσῃ τοῦ Ἀγαμέμνονος, σὺ φθὰς, διέλασόν μοι τὸ ξίφος.

ΟΡ. Ἄπαγε. αὐτὴ δὲ σαυτῇ αἱροῦ θάνατον, ὃν ἂν βούλῃ. ἐμοὶ δ' ἅλις ἔχει τὸ τῆς μητρὸς αἷμα.

ΗΛ. Ἀλλάγε ἐγγὺς σοῦ μετὰ σοῦ χρήσομαι τῷ ξίφει· δὸς δ' οὖν μοι νῦν τὴν σὴν προσπτύξασθαι κεφαλήν.

ΟΡ. Ἀπόλαυε τὴν ἡδονὴν ταύτην, εἴγε ἡδονή ἐστι μέλλοντα ἀποθανεῖν περιπτύσσεσθαι.

ΗΛ. Ὦ φίλτατε· ὦ τό, τ' ὄνομα τοὐμὸν ἦν ἀεὶ ἥδιστόν τε καὶ ποθεινότατον, καὶ ἡ ψυχὴ ἀμφοῖν μία,

ΟΡ. Ἔκ τοι με τήξεις· καίσ' ἀμείψασθαι θέλω
Φιλότητι χειρῶν· τί γὰρ ἔτ' αἰδοῦμαι τάλας;
Ὦ στέρν' ἀδελφῆς, ὦ φίλον πρόσπτυγμ' ἐμὸν,
Τάδ' ἀντὶ παίδων καὶ γαμηλίου λέχους
Προσφθέγματ' ἀμφοῖν τοῖς ταλαιπώροις πάρα.
ΗΛ. (Φεῦ) πῶς ἂν ξίφος νῷ ταὐτὸν, εἰ θέμις, κτάνοι,
Καὶ μνῆμα δέξαιθ' ἓν, κέρδου τεχνάσματα!
ΟΡ. Ἥδιστ' ἂν εἴη ταῦθ'· ὁρᾷς δὲ δὴ φίλων
Ὡς ἐσπανίσμεθ', ὥστε κοινωνεῖν τάφου.
ΗΛ. Οὐδ' εἶφ' ὑπέρ σου, μὴ θανεῖν σπουδὴν ἔχων,
Μενέλαος ὁ κακὸς, ὁ προδότης τοὐμοῦ πατρός;
ΟΡ. Οὐδ' ὄμμ' ἔδειξεν, ἀλλ' ἐπὶ σκήπτροις ἔχων
Τὴν ἐλπίδ', εὐλαβεῖτο μὴ σώζειν φίλους.
Ἀλλ' εἶ', ὅπως γενναῖα κἀγαμέμνονος
δράσαντε κατθανούμεθ' ἀξιώτατα.
Κἀγὼ μὲν εὐγένειαν ἀποδείξω πόλει,
Παίσας πρὸς ἧπαρ φασγάνῳ· σὲ δ' αὖ χρεὼν
Ὅμοια πράσσειν τοῖς ἐμοῖς τολμήμασιν.
Πυλάδη, σὺ δ' ἡμῖν τοῦ φόνου γενοῦ βραβεὺς,
Καὶ κατθανόντοιν εὖ περίστειλον δέμας,
Θάψον τε κοινῇ πρὸς πατρὸς τύμβον φέρων,
Καὶ χαῖρ'· ἐπ' ἔργον δ', ὡς ὁρᾷς, πορεύομαι.
ΠΥ. Ἐπίσχες. ἓν μὲν πρῶτά σοι μομφὴν ἔχω,
Εἰ ζῆν με χρήζειν, σοῦ θανόντος, ἤλπισας.
ΟΡ· Τί γὰρ προσήκει κατθανεῖν σ' ἐμοῦ μέτα;
ΠΥ. Ἤρου; τί δὲ ζῆν σῆς ἑταιρείας ἄτερ;
ΟΡ. Οὐκ ἔκτανες σὴν μητέρ', ὡς ἐγὼ τάλας.
ΠΥ. Ξὺν σοίγε κοινῇ· ταὐτὰ καὶ πάσχειν με δεῖ.

ΟΡ· Καταπάξεις με τοῖς δάκρυσιν οὕτω, καὶ οὐκέτ' ἀνασχοίμην ἂν μὴ ἂν κἀυτὸς τοῖς αὐτοῖς προσπτύγμασιν ἀμείψασθαίσε· τί γὰρ ἔθ' οὕτω μᾶλλον αἰδοῦμαι τάλας; ὦ στέρν' ἥδιςα τῆς ἐμῆς ἀδελφῆς· ὦ φίλον πρόσπτυγμα. ταῦτ' ἔξεσθ' ἡμῖν νῦν ἀλλήλοις προσφωνεῖν, ἃ παῖδες καὶ γάμοι ὤφειλον ἡμῖν ἀποθνήσκουσιν ἀποδοῦναι.

ΗΔ. Φεῦ, φεῦ· πῶς ἂν εἴη ἡμῖν τῷ αὐτῷ ἅμα χρήσασθαι ξίφει; πῶς δ' ἂν κἂν τῷ αὐτῷ κεοίμεθα κεδρίνῳ τάφῳ;

ΟΡ. Ἥδιςον τοῦθ' ἡμῖν γένοιτ' ἄν· νῦν δὲ πῶς ἂν τύχοιμεν τούτου, ἔρημοι ὄντες φίλων;

ΗΛ. Μενέλαος δ' ὁ κάκιςος οὐ συνηγόρησέ σοι;

ΟΡ. Ἀλλ' οὔθ' ἑώρακέ τις αὐτὸν ἐν τῇ ἐκκλησίᾳ· μετέωρος γὰρ ὢν ταῖς ἐλπίσι προσποιήσεσθαι τὴν ἀρχὴν, δευτέραν ταύτης τὴν τῶν φίλων ἐποιήσατο σωτηρίαν· Ἀλλ' ἔα· ὅπως δὲ γενναίως καὶ ἀξίως τοῦ Ἀγαμέμνονος ἀποθανούμεθα, τοῦτο νῦν ἡμᾶς δεῖ σκοπεῖν· κἀγὼ μὲν ὤσας τὸ ξίφος ἐς τὸ ἧπαρ, δείξω πρὸς Ἀργείους, οἷός εἰμι τὸ γένος· χρὴ δὲ καὶ σὲ ταὐτά μοι τολμῆσαι εἰς σεαυτήν· σοὶ δ', ὦ φίλτατε Πυλάδη, μελήσει ἀποδοῦναι ἡμῖν τὰ τοῦ ἀγῶνος βραβεῖα, εὖ ἡμῖν τὰ σώματα περιςείλαντα, κοινῇ ἄμφω θάψαι πρὸς τῷ πατρῴῳ τάφῳ· καί μοι χαῖρε τὸ τελευταῖον· χωρῶ γὰρ, ὡς ὁρᾷς, εἰς τοὔργον, χαῖρε.

ΠΥ. Ἐπίσχες αὐτὸς, ἓν γὰρ πρῶτον μέμφομαί σε ἐκεῖνο· πῶς γὰρ ᾠήθης ἐθέλειν με ζῆν, καταςρέψας αὐτός;

ΟΡ. Τί γὰρ προσήκει σοι συνεκλιπεῖν τὸν βίον;

ΠΥ. Τοῦτ' ἐρωτᾷς; τί δὲ ζῆν, τῆς σῆς ἀποζυγεὶς φιλίας;

ΟΡ. Οὐ γὰρ σὺ μητραλοίας, ὥσπερ ἐγὼ ὁ τάλας.

ΠΥ· Ἀλλὰ συμπράξας, ὀφείλω καὶ συμπάσχειν.

ΟΡ. Ἀπόδος τὸ σῶμα πατρὶ, μὴ ξύνθνησκ' ἐμοί.
Σοὶ μὲν γάρ ἐστι πόλις, ἐμοὶ δ' οὐκ ἔστι δὴ,
Καὶ δῶμα πατρὸς καὶ μέγας πλούτου λιμήν.
Γάμων δὲ τῆς μὲν δυσπότμου τῆσδ' ἐσφάλης,
Ἥν σοι κατηγγύησ', ἑταιρείαν σέβων·
Σὺ δ' ἄλλο λέκτρον παιδοποίησαι λαβὼν,
Κῆδος δὲ τοὐμὸν καὶ σὸν οὐκέτ' ἐστὶ δή.
Ἀλλ' ὦ ποθεινὸν ὄνομ' ὁμιλίας ἐμῆς,
Χαῖρ'· οὐ γὰρ ἡμῖν ἐστι τοῦτο, σοί γε μήν.
Οἱ γὰρ θανόντες χαρμάτων τητώμεθα.
ΠΥ. Ἦ πολὺ λέλειψαι τῶν ἐμῶν βουλευμάτων.
Μήθ' αἷμά μου δέξαιτο κάρπιμον πέδον,
Μὴ λαμπρὸς αἰθὴρ, εἴ σ' ἐγὼ προδούς ποτε,
Ἐλευθερώσας τοὐμὸν, ἀπολίποιμί σε.
Καὶ ξυγκατέκτανον γὰρ, οὐκ ἀρνήσομαι,
Καὶ πάντ' ἐβούλευσ', ὧν σὺ νῦν τίνεις δίκας·
Καὶ ξυνθανεῖν οὖν δεῖ με σοὶ καὶ τῆδ' ὁμοῦ.
Ἐμὴν γὰρ αὐτὴν, ἧς λέχος γ' ἐπῄνεσα,
Κρίνω δάμαρτα· τί γὰρ ἐρῶ καλόν ποτε
Γῆν Δελφίδ' ἐλθὼν, Φωκέων ἀκρόπτολιν,
Ὃς, πρὶν μὲν ὑμᾶς δυστυχεῖν, φίλος παρῆν,
Νῦν δ' οὐκέτ' εἰμὶ δυστυχοῦντί σοι φίλος;
Οὐκ ἔστιν, ἀλλὰ ταῦτα μὲν κἀμοὶ μέλει.
Ἐπεὶ δὲ κατθανούμεθ', ἐς κοινοὺς λόγους
Ἔλθωμεν, ὡς ἂν Μενέλεως ξυνδυστυχῇ.
ΟΡ. Ὦ φίλτατ', εἰ γὰρ τοῦτο κατθάνοιμ' ἰδών!
ΠΥ. Πιθοῦ νυν, ἀνάμεινον δὲ φασγάνου τομάς.
ΟΡ. Μενῶ, τὸν ἐχθρὸν εἴ τι τιμωρήσομαι.
ΠΥ. Σίγα νυν· ὡς γυναιξὶ πιστεύω βραχύ.

ΟΡ. Μὴ σύγε· ἀλλὰ ζῶης τῷ πατρί· σοὶ μὲν γάρ ἐϛι πόλις, ἐμοὶ δ' οὐκέτι· καὶ οἶκος πατρῷος καὶ ὄλβος· γάμου γεμὴν τῆς δυϛήνου ταύτης, ἣν γέρας φιλίας σοι τυγχάνω προὐγγυήσας, ἥμαρτες· ἀλλὰ πρὸς ἄλλην ἐπιδὼν, ἐπαίρου ταῖς ἐλπίσι τέκνωσιν ἐξ ἐκείνης ποιήσεσθαι· τὸ γὰρ ἡμέτερον κῆδος, ὡς ὁρᾷς, ἀλάστωρ δαίμων διέλυσεν· Ἀλλ' ὦ ποθεινὸν ὄνομα τῆς ἐμῆς ὁμιλίας, χαῖρε· τοῦτ' οὐκέθ' ἡμῖν, σὸν δὲ ἐϛι· τοῖς γὰρ θανοῦσιν οὐκ ἔϛι χαίρειν.

ΠΥ. Ὡς πολὺ ἀπέχεις τῶν ἐμῶν βουλευμάτων· μὴ γὰρ τοὐμόν ποθ' αἷμα ἡ γῆ δέξαιτο, μήδ' ὁ λαμπρὸς αἰθὴρ τὴν ψυχὴν, εἴγ' ἕνεκα ἰδίας σωτηρίας ἐγώ σου ἀπολειφθείην· ὥσπερ γὰρ σύνοιδα συγκατακτανὼν, καὶ πάντα συμβουλεύσας, ὧν νῦν σοὶ δίδως δίκην, οὕτω με δεῖ σοί τε καὶ τῇ παρθένῳ τῇδε συγκαταστρέψαι· ἐμαυτοῦ γὰρ τήνδε, τὸν γάμον ἅπαξ συγκατανεύσας, καὶ πρὸ τοῦ γάμου ἡγοῦμαι γυναῖκα εἶναι· τὶ γὰρ ἐρῶ, ἡνίκ' ἂν ἀφίκωμαί ποτε εἰς Δελφοὺς, καὶ τὴν τῶν Φωκέων ἀκρόπολιν, εἴγε πρὶν μὲν ὑμᾶς εἰς τοῦτο δυϛυχίας ἐλθεῖν, φίλος ἦν, νῦν δὲ τοῦθ' ὅλως ἀποφύγοιμι ἀρνησάμενος; οὐκ ἔϛιν· ἀλλ' ὡς κἀμοῦ τῶν αὐτῶν ὑμῖν κοινωνοῦ ἐσομένου, οὕτω φρονεῖτε· νῦν δ' ἐκεῖνο λοιπὸν ἔθ' ἡμῖν ἐϛι βουλεύσασθαι περὶ τῶν παρόντων· ἐπειδὴ γὰρ τεθνηξόμεθα πάντως, κοὐκ ἄλλως ἔϛαι, τί μὴ πράττωμεν τοῦτο, δράσαντές τι πρότερον, ὃ τὴν τοῦ Μενελάου δήξει καρδίαν;

ΟΡ. Ἥδιϛον ἔμοιγε τοῦτ' ἰδεῖν πρὶν θανεῖν.

ΠΥ. Πείθου μοι τοίνυν, ἀναβαλὼν πρὸς βραχὺ τὴν σφαγήν.

ΟΡ. Τί δ' οὐχὶ, εἴγε μέλλω τὸν ἐχθρὸν τιμωρήσεσθαι;

ΠΥ. Σίγα τοίνυν· οὐ γαρ πάνυ πιϛεύω ταῖσδε.

ΟΡ. Μηδὲν τρέσῃς τάσδ'· ὡς πάρεισ' ἡμῖν φίλαι.
ΠΥ. Ἑλένην κτάνωμεν, Μενέλεῳ λύπην πικράν.
ΟΡ. Πῶς; τὸ γὰρ ἕτοιμόν ἐςιν, εἴγ' ἔςαι καλῶς.
ΠΥ. Σφάξαντες. ἐν δόμοισι κρύπτεται σέθεν.
ΟΡ. Μάλιςα· καὶ δὴ πάντ' ἀποσφραγίζεται.
ΠΥ. Ἀλλ' οὐκέθ', ῞Αδην νυμφίον κεκτημένη.
ΟΡ. Καὶ πῶς; ἔχει γὰρ βαρβάρους ὀπάονας.
ΠΥ. Τίνας; Φρυγῶν γὰρ οὐδέν' ἂν τρέσαιμ' ἐγώ.
ΟΡ. Οἵους ἐνόπτρων καὶ μύρων ἐπιςάτας.
ΠΥ. Τρυφὰς γὰρ ἥκει δεῦρ' ἔχουσα Τρωϊκάς;
ΟΡ. Ὥσθ' Ἑλλὰς αὐτῇ σμικρὸν οἰκητήριον.
ΠΥ. Οὐδὲν τὸ δοῦλον πρὸς τὸ μὴ δοῦλον γένος.
ΟΡ. Καὶ μὴν τόδ' ἔρξας, δὶς θανεῖν οὐ χάζομαι.
ΠΥ. Ἀλλ' οὐδ' ἐγὼ μὴν, σοί γε τιμωρούμενος.
ΟΡ Τὸ πρᾶγμα δήλου καὶ πέραιν', ὅπως λέγεις.
ΠΥ. Εἴσιμεν ἐς οἴκους δῆθεν, ὡς θανούμενοι.
ΟΡ. Ἔχω τοσοῦτον, τἀπίλοιπα δ' οὐκ ἔχω.
ΠΥ. Γόους πρὸς αὐτὴν θυσόμεσθ', ἃ πάσχομεν.
ΟΡ. Ὥστ' ἐκδακρῦσαί γ', ἔνδοθεν κεχαρμένην.
ΠΥ. Καὶ νῷν παρέσται ταῦθ', ἅπερ κείνῃ τότε.
ΟΡ. ἔπειτ' ἀγῶνα πῶς ἀγωνιούμεθα;
ΠΥ. Κρύπτ' ἐν πέπλοισι τοῖσιδ' ἕξομεν ξίφη.
ΟΡ. Πρόσθεν δ' ὀπαδῶν τις ὄλεθρος γενήσεται;

---

1097. Εἴγ' ἔσται καλῶς] εἰ μετὰ δόξης καλῆς ἡμῖν ἐξείη τοῦτο δρᾶσαι· τὶς δὲ ἡ δόξα παρακατιὼν (στίχ. 1125.) αὐτὸς ἐξηγεῖται. 1099. Ἀποσφραγίζεται.] Ἑλένη ὁρῶσα προῦπτον δῆθεν τὸν θάνατον τοῦ Ὀρέστου, αἵρεται ταῖς ἐλπίσι κρατήσειν τῶν πραγμάτων καὶ τοῦ κλήρου Μενέλαον· διὸ ἀποσφραγίζεται ἔνδον πάντα· ὅ ἐστι κατακλείει

ΟΡ. Μὴ φοβοῦ· φίλαι γὰρ ἡμῖν αὗται πάντως.
ΠΥ. Ἀποκτανόντες τὴν Ἑλένην, πικρὸν ἐκείνῳ πέμψωμεν βέλος.
ΟΡ. Τῷ τρόπῳ; οὐδὲν γὰρ κωλύει, εἴγε καλῶς τοῦτο μέλλοιμεν δρᾷν.
ΠΥ. Ξίφει· ἔνδον γὰρ ἐν τῷ σῷ κεῖται οἴκῳ.
ΟΡ. Ὧδε, ἑαυτῆς ἤδη πάντα λογιζομένη.
ΠΥ. Ἀλλ' οὐκέτ' ἂν κερδάναι τοῦτο, νυμφευθεῖσα τῷ Ἅδῃ.
ΟΡ. Πῶς δ' ἔςαι τοῦτο, πολλῇ χειρὶ αὐτῆς περισοιχιζομένης;
ΠΥ. Τίνα φὴς χεῖρα; Φρυγῶν γὰρ ἐλάχιςον φροντίζω.
ΟΡ. Οἵαν ἐνόπτρων αὐτῇ καὶ μύρων προμηθεῖσθαι.
ΠΥ. Τί φής; τοιαύτην τρυφὴν ἐκόμισεν ἐκ Τροίας;
ΟΡ. Ὥςε μηδὲ πᾶσαν αὐτὴν χωρεῖν τὴν Ἑλλάδα.
ΠΥ. Ὡς οὐδὲν τὸ δοῦλον ἀνταίρειν πρὸς ἐλευθέρους χεῖρα·
ΟΡ. Οὐκοῦν τολμητέον, κἂν δέῃ δὶς ἀποθανεῖν.
ΠΥ. Κἀμὲ τρὶς, εἴγε σοι τιμωρήσαιμι μόνον.
ΟΡ. Δέδοκται ἤδη· σὺ δὲ λέγε τὸν τρόπον.
ΠΥ. Εἰσέλθωμεν ἔνδον, ὡς δῆθεν θανούμενοι.
ΟΡ. Συνῆκα τοῦτο· τὸ δ' ἀκόλουθον λέγε.
ΠΥ. Ὀλοφυρούμεθα πρὸς αὐτὴν τὰ παρόντα.
ΟΡ. Ἀλλ' ἐπιδακρύσει ὧδε, ἐφηδομένη τἄνδον.
ΠΥ. Χ' ἡμῖν ἐπ' ἐκείνῃ ταὐτὰ ἐξέςαι πράττειν.
ΟΡ. Τίνα δὲ ἀγωνιούμεθα τρόπον;
ΠΥ. Ἕτοιμα τὰ ξίφη ἔχοντες ὑπὸ μάλης.
ΟΡ. Πῶς δ' ἂν πρῶτον χρησοίμεθα τοῖς δούλοις;

ἑαυτῇ, ἴδια ποιουμένη· ἀλλ' οὐκ ἂν τύχοι τούτου ὡς, αὐτίκα μάλα τὸν ᾅδην ἀντὶ Μενελάου ἕξουσα ἄνδρα. 1113. Τἄνδον κεχαρμένην] προσποιήσεται μὲν δακρύειν. χαίρει δ' ἐν τῷ κρυπτῷ· ὃ καὶ ἡμῖν αὐτοῖς ἐξέςαι ποιεῖν ἐπ' ἐκεί-

ΠΥ. Ἐκκλήσομεν σφᾶς ἄλλον ἄλλοσε στέγης.
ΟΡ. Καὶ τόν γε μὴ σιγῶντ' ἀποκτείνειν χρεών.
ΠΥ. Εἶτ' αὐτὸ δηλοῖ τοὔργον, ᾗ τείνειν χρεών.
ΟΡ. Ἑλένην φονεύειν· μανθάνω τὸ σύμβολον.
ΠΥ. Ἔγνως· ἄκουσον δ', ὡς καλῶς βουλεύομαι.
Εἰ μὲν γὰρ ἐς γυναῖκα σωφρονεστέραν
Ξίφος μεθεῖμεν, δυσκλεὴς ἂν ἦν φόνος.
Νῦν δ' ὑπὲρ ἁπάσης Ἑλλάδος δώσει δίκην,
Ὧν πατέρας ἔκτειν', ὧν τ' ἀπώλεσεν τέκνα,
Νύμφας τ' ἔθηκεν ὀρφανὰς ξυναόρων.
Ὀλολυγμὸς ἔσται, πῦρ τ' ἀνάψουσιν θεοῖς,
Σοὶ πολλὰ κἀμοὶ κέδν' ἀρώμενοι τυχεῖν,
Κακῆς γυναικὸς οὕνεχ' αἷμ' ἐπράξαμεν.
Ὁ μητροφόντης δ' οὐ καλῇ, ταύτην κτανὼν,
'Αλλ' ἀπολιπὼν τοῦτ', ἐπὶ τὸ βέλτιον πεσῇ,
Ἑλένης λεγόμενος τῆς πολυκτόνου φονεύς.
Οὐ δεῖ ποτ', οὐ δεῖ, Μενέλεων μὲν εὐτυχεῖν,
Τὸν σὸν δὲ πατέρα καὶ σὲ κἀδελφὴν θανεῖν
Μητέρα τ'· (ἐῶ τοῦτ'· οὐ γὰρ εὐπρεπὲς λέγειν)
Δόμους τ' ἔχειν σοὺς, δὶ 'Αγαμέμνονος δόρυ
Λαβόντα νύμφην· μὴ γὰρ οὖν ζώην ἔτι,
Εἰ μὴ 'π' ἐκείνῃ φάσγανον σπάσω μέλαν.
Ἢν δ' οὖν τὸν Ἑλένης μὴ κατάσχωμεν φόνον,
Πρήσαντες οἴκους τούσδε κατθανούμεθα.
Ἑνὸς γὰρ οὐ σφαλέντες, ἕξομεν κλέος,
Καλῶς θανόντες, ἢ καλῶς σεσωσμένοι.

---

τῃ παθούσῃ. 1121. Μανθάνω τὸ σύμβουλον] ἐννοῶ ὃ λέγεις· φῂς γὰρ ἀνελεῖν τὴν Ἑλένην. 1128. Ὀλολυγμὸς] εὐχὴ καὶ ἔπαινος ἔςαι ἡμῖν παρὰ πάντων· τὸ

ΠΥ. Ἐκκλείσομεν αὐτοὺς ἄλλον ἄλλοσε ὅτῳ τρόπῳ.

ΟΡ. Τὸν δὲ μὴ σιγῶντα καὶ ἀναιρετέον ἂν εἴη.

ΠΥ. Τὸ δὲ λοιπὸν τὰ πράγματα διδάξῃ.

ΟΡ. Μανθάνω τὸ αἴνιγμα, ἀνελεῖν φὴς τὴν Ἑλένην.

ΠΥ. Μάλιςά γε· νῦν δ' ἄκουσον καὶ ὅπως καλῶς ἡμῖν τὸ βούλευμα τοῦθ' ἕξει· εἰ μὲν γὰρ εἰς σώφρονά τινα τῶν γυναικῶν ἀπετολμῶμεν ταῦτα, αἰσχρὸν ἂν ἦν ἡμῖν τοιαύτην γε ἀδικεῖν· νῦν δ' ὑπὲρ ἁπάσης τῆς Ἑλλάδος τίσει δίκην· καὶ πάντες, ὧν τοὺς πατέρας, ἢ τὰ τέκνα ἀπώλεσεν αὕτη, αἵτε γυναῖκες, ὅσαι γε δι' ἐκείνην εἰσὶ νῦν ἐν χηρείᾳ, ἅπαντες ὁμοθυμαδὸν ἀναβοήσαντες, καὶ θεοῖς προσενεγκόντες θυμίαμα, εὔξονται ἡμῖν πολλλὰ κἀγαθὰ γενέσθαι τῷ τοιαύτην κατασφάξαι γυναῖκα· οὐκέτι γὰρ μητραλοίας ἀκούσῃ τήνδ' ἀνελών· ἀλλὰ τὸ πρῶτον αἰσχρὸν τῷ δευτέρῳ ἀποσμήξας καλῷ, φονεὺς Ἑλένης ἐς τοὐπιὸν τῆς πολυκτόνου γ' ἀκούσεις· οὐ γὰρ δεῖ, οὐ δεῖ Μενέλαον μὲν ἐντρυφᾶν εὐτυχοῦντα· τὸν δ' Ἀγαμέμνονα καὶ τοὺς παῖδας αὐτοῦ ἐν νεκροῖς ἀριθμεῖσθαι (περὶ δὲ τῆς μητρὸς οὐκ ἂν εἴποιμι εὐπρεπῶς). τὸν δὲ, Ἑλένην ἀνασωσάμενον δι' ἐκεῖνον, τὴν ἐκείνου ἔχειν οἰκίαν; μηκέτ' οὖν τὸ φῶς τοῦθ' ἡδέως ἴδοιμι τοῦ ἡλίου, εἰ μὴ τὸ ξίφος δι' ἥπατος ὤσαιμι ταύτης· εἰ δ' οὖν σφαλείημεν τούτου, ἀλλά γε τὴν οἰκίαν ἐμπρήσαντες τήνδε, οὕτω δὴ τῷ βίῳ δώσομεν τέλος· δυοῖν γὰρ θατέρου τυχόντες, ἢ καλῶς ἀποθανεῖν, ἢ καλῶς σωθῆναι, κλέος ἂν ἀραίμεθα μέγα.

---

δὲ πῦρ, ἀντὶ τοῦ, θυσίαν προσοίσουσι τοῖς θεοῖς πάντες. 1131. Ὁ μητροφόντης] ἀντὶ μητροφόντου κληθήσῃ φονεὺς Ἑλένης τῆς πολυκτόνου, ἔνδοξον ἀντὶ

ΧΟ. Πάσαις γυναιξὶν ἀξία στυγεῖν ἔφυ
Ἡ Τυνδαρὶς παῖς, ἣ κατῄσχυνεν γένος.
ΟΡ. (Φεῦ) οὐκ ἔστιν οὐδὲν κρεῖσσον, ἢ φίλος σαφὴς,
Οὐ πλοῦτος, οὐ τυραννίς· ἀλόγιστον δέ τι
Τὸ πλῆθος ἀντάλλαγμα γενναίου φίλου.
Σὺ γὰρ τάτ' εἰς Αἴγισθον ἐξεῦρες κακὰ,
Καὶ πλησίον παρῆσθα κινδύνων ἐμοὶ,
Νῦν τ' αὖ δίδως μοι πολεμίων τιμωρίαν,
Κοὐκ ἐκποδὼν εἶ· παύσομαί σ' αἰνῶν, ἐπεὶ
Βάρος τι κἀν τῷδ' ἐστὶν αἰνεῖσθαι λίαν.
Ἐγὼ δὲ πάντως ἐκπνέων ψυχὴν ἐμὴν,
Δράσας τι χρῄζω τοὺς ἐμοὺς ἐχθροὺς θανεῖν,
Ἵν' ἀνταναλώσωμεν, οἵ με προὔδοσαν,
Στένωσι δ', οἵπερ κἄμ' ἔθηκαν ἄθλιον.
Ἀγαμέμνονός τοι παῖς πέφυχ', ὃς Ἑλλάδος
Ἦρξ', ἀξιωθεὶς, οὐ τύραννος, ἀλλ' ὅμως
Ῥώμην θεοῦ τιν' ἔσχ'· ὃν οὐ καταισχυνῶ
Δοῦλον παρασχὼν θάνατον, ἀλλ' ἐλευθέρως
Ψυχὴν ἀφήσω, Μενέλεων δὲ τίσομαι.
Ἑνὸς γὰρ εἰ λαβοίμεθ', εὐτυχοῖμεν ἂν,
Εἴ ποθεν ἄελπτος παραπέσοι σωτηρία
Κτανοῦσι, μὴ θανοῦσιν· εὔχομαι τάδε.
Ὃ βούλομαι γὰρ ἡδὺ καὶ διὰ στόμα
Πτηνοῖσι μύθοις ἀδαπάνως τέρψαι φρένα.

---

αἰσχίστου μεταβαλὼν ὄνομα 1146. Φεῦ] τοῦτο παρέλκει ἐν τῷ μέτρῳ. 112. Παύσομαι δ' αἰνῶν σε· ἐν γὰρ τῷ λίαν ἐπαινεῖν τίκτεται βάρος τι, καὶ δυσχέρεια. Ὅμοιον δὲ τούτῳ καὶ τὸ ἐν Ἰφιγ. Αὐλ. στίχ. 968.

» Αἰνούμενοι γὰρ οἱ 'γαθοὶ, τρόπον τινὰ
» Μισοῦσι τοὺς αἰνοῦντας, ἢν αἰνῶσ' ἄγαν.

ΧΟ. Ἡ Τυνδαρὶς, τὸ ἑαυτῆς καταισχύνασα γένος, στυγητὴ ἐςὶ παρὰ πάσαις.

ΟΡ. Φεῦ· οὐκ ἔςιν οὔτε πλοῦτος, οὔτε βασιλεία κρείσσων τοιούτου φίλου· ἀνόητον ὅλως τὸ πλῆθος ἐθέλειν αἱρεῖσθαι μᾶλλον, ἢ τοῦτον· σὺ γὰρ, ἅθ' ἡμῖν πρὸς Αἴγισθον πρώην πέπρακται, πάντ' ἐξεῦρες· καὶ νῦν ὅπως με δεῖ τοὺς ἐμαυτοῦ ἐχθροὺς τιμωρήσασθαι, τὸν τρόπον διδάσκων, ἐμοῦ οὐκ ἀφίςασαι. Ἀλλὰ παύσομαι ταῦτα τείνων· ἔπαινος γὰρ ἔν γε τῷ παρόντι, πολλάκις ἐπαναλαμβανόμενος, ὄχλον φέρει· τὸ δ' ἐμὸν νῦν μέλλοντος ἀποθανεῖσθαι οὐδὲν, ἢ τοὺς ἐμοὺς ἐχθροὺς ποιῆσαι ταὐτὰ παθεῖν, ὥστ' ἰδεῖν αὐτοὺς ἀνταναλωθέντας μὲν, ὡς προδόντας ἡμᾶς· ἐπιςένοντας δὲ, ὡς κἀμὲ ποιήσαντας ἄθλιον. Ἀγαμέμνονος γὰρ πέφυκα παῖς, ὃς ἦρξέ ποτε τῆς Ἑλλάδος, καίτοι βασιλεὺς μὲν αὐτῆς μὴ προσαγορευθεὶς, θεῷ δ' ὅμως ἴσα δυνάμενος· ὃν οὐκ ἄξιον ἔμοιγε καταισχύναι, φοβούμενον ὡς δοῦλον ἀποθανεῖν· ἀλλ' ἐλευθέρως δέξασθαι τοῦτο· παρὰ δὲ Μενελάου προδοθεὶς, δίκην λήψομαι· εἰ δὲ ἔλθοι ἡμῖν ποθεν ἀνέλπιςος σωτηρία, ὥς' ἀνελόντας, μηδὲν παθεῖν, πλήρη τοῦθ' ἡμῖν εὐτυχηθὲν παρέξει εὐτυχίαν· καὶ εὔχομαι ἔγωγε ταῦτα· ὧν γὰρ ἂν ἡ ψυχὴ ἔχῃ πόθον, ταῦθ' ἡδὺ καὶ ἐν λόγοις προφέρειν κενοῖς, τέρψιν οἱανοῦν ἀδάπανον καρπουμένους.

---

1155. Δράσας τὶ χρήζω] ἡ συνθήκη οὕτω· Δράσας τὶ τοὺς ἐμοὺς ἐχθροὺς, χρήζω θανεῖν. 1163. Ἑνὸς εἰ λαβοίμεθα] τοῦ κτανόντας μὴ κτανθῆναι. ἄρχεται ἐντεῦθεν ἐλπίζειν σωτηρίαν, τὴν τοῦ δράματος δέσιν εἰς τὸ ἱλαρώτερον ἐκ περιπετείας οἰκονομοῦντος τοῦ ποιητοῦ. 1167. Πτηνοῖς μύθοις] λόγοις κενοῖς καὶ ὡς ἂν εἴποι Ὅμηρος, πτερόεσσιν ἔπεσι· τὶ γὰρ χρὴ φείδεσθαι λόγων,

ΗΛ. Ἐγὼ, κασίγνητ', αὐτὸ τοῦτ' ἔχειν δοκῶ,
Σωτηρίαν σοι, τῷ δέ τ', ἐκ τρίτων τ' ἐμοί.
ΟΡ. Θεοῦ λέγεις πρόνοιαν· ἀλλὰ ποῦ τόδε;
Ἐπεὶ τὸ συνετόν γ' οἶδα σῇ ψυχῇ παρόν.
ΗΛ. Ἄκουε δή νυν· καὶ σὺ δεῦρο νοῦν ἔχε.
ΟΡ. Λέγ'· ὡς τὸ μέλλειν ἀγάθ' ἔχει τίν' ἡδονήν.
ΗΛ. Ἑλένης κάτοισθα θυγατέρ'; εἰδότ' ἠρόμην.
ΟΡ. Οἶδ', ἣν ἔθρεψεν Ἑρμιόνην μήτηρ ἐμή.
ΗΛ. Αὕτη βέβηκε πρὸς Κλυταιμνήστρας τάφον.
ΟΡ. Τί χρῆμα δράσουσ; ὑποτίθης τίν' ἐλπίδα;
ΗΛ. Χοὰς κατασπείσουσ' ὑπὲρ μητρὸς τάφῳ.
ΟΡ. Καὶ δὴ τί μοι τοῦτ' εἶπας ἐς σωτηρίαν;
ΗΛ. Ξυλλάβεθ' ὅμηρον τήνδ', ὅταν στείχῃ πάλιν.
ΟΡ. Τίνος τόδ' εἶπας φάρμακον τρισσοῖς φίλοις;
ΗΛ. Ἑλένης θανούσης, ἤν τι Μενέλαώς σε δρᾷ,
Ἢ τόνδε, κἀμὲ, (πᾶν γὰρ ἓν φίλον τόδε,)
Λεγ', ὡς φονεύσεις Ἑρμιόνην· ξίφος δὲ χρὴ
Δέρῃ πρὸς αὐτῇ παρθένου σπάσαντ' ἔχειν.
Κἂν μέν σε σώζῃ, μὴ θανεῖν χρήζων κόρην,
Μενέλαος, Ἑλένης πτῶμ' ἰδὼν ἐν αἵματι,
Μέθες πεπᾶσθαι πατρὶ παρθένου δέμας·
Ἢν δ', ὀξυθύμου μὴ κρατῶν φρονήματος,
Κτείνῃ σε, καὶ σὺ σφάζε παρθένου δέρην.
Καί νιν δοκῶ, τὸ πρῶτον ἢν πολὺς παρῇ,
Χρόνῳ μαλάξειν σπλάχνον, οὔτε γὰρ θρασὺς,
Οὔτ' ἄλκιμος πέφυκε. τήνδ' ἡμῖν ἔχω

---

ἄνευ δαπάνης μέλλοντας εὐθυμήσειν. 1173. Τὸ μέλλειν ἀγαθὰ] λέγειν, ἢ μέλ-

ΗΛ. Κἀμὲ, ὦ φίλτατε ἀδελφὲ, ἡ αὐτὴ ἐλπὶς ἔχει, σωτηρίαν σοί τε, τούτῳ τε, καὶ ἐμοὶ τρίτῃ ἔσεσθαι.

ΟΡ. Θεὸν ἡμῖν λέγεις πρόνοιαν· ἀλλὰ πόθεν σοι τοῦτο; οἶδα γὰρ, πείρᾳ παρηκολουθηκὼς, μηδέν σε μηδέπω εἰποῦσαν ἀσύνετον.

ΗΛ. Συντείνατέ μοι ἄμφω τὸ οὖς πρὸς ὀλίγον.

ΟΡ. Λέγε· τὸ γὰρ μέλλειν ἀγαθὰ ἀκούειν ἐςὶν ἡδύ.

ΗΛ. Οἶδά σε εἰδότα τὴν θυγατέρ' Ἑλένης.

ΟΡ. Τὴν Ἑρμιόνην λέγεις, ἣν ἔθρεψεν ἡ μήτηρ.

ΗΛ. Αὕτη γε νῦν πρὸς τῷ τῆς μητρὸς ἡμῶν ἐςι τάφῳ.

ΟΡ. Τί ποτε δρῶσα; καὶ τίς ἐλπὶς ἐντεῦθεν;

ΗΛ. Χοὰς κατασπένδει τῇ Κλυταιμνήςρᾳ.

ΟΡ. Καὶ τί πρὸς ἡμᾶς τοῦτο πρὸς σωτηρίαν;

ΗΛ. Εἴγε ἐλθοῦσαν συλλάβοιθ' ὑμεῖς γ' ὡς ὅμηρον.

ΟΡ. Πρὸς τί τοῦθ' ἡμῖν δοκεῖς ξυμβαλεῖσθαι;

ΗΛ. Ἑλένη γὰρ εἰ καταςρέψειε, Μενελάου ἐπιβαλλομένῳ σε, ἢ τόνδε, ἢ ἐμὲ αὐτὴν, οὓς σύντρεις ἡ φιλία εἰς ἕνα συνδεῖ, κακῶς ἀντιδράσαι, ἐρεῖς αὐτῷ ἡσυχίαν ἄγειν, εἰ ζῶσαν τὴν παρθένον βούλεται ἔχειν· δεῖ δ' οὖν σπασάμενόν σε τὸ ξίφος, πρὸς αὐτῷ τῷ τῆς κόρης λαιμῷ ἐπίφοβον ἔχειν. ἢν οὖν Μενέλαος, ἅμ' ἰδὼν Ἑλένην ἐγκαλινδουμένην τῷ λύθρῳ, φοβηθεὶς καὶ περὶ τῇ θυγατρὶ, μὴ ταὐτὸν πάθῃ, ὑπόσχηται σώσειν σε, μέθες αὐτὴν τῷ πατρὶ ἀπολαύειν· ἢν δὲ, ἡττηθεὶς τοῦ πάθους, μαίνηται ἐπὶ σὲ, ὥσον καὶ αὐτὸς φθὰς ἐς ἐκείνην τὸ ξίφος· δοκεῖ δέ μοι, κἂν ἐν τῷ παραυτίκα ἐξαφθῇ τῷ λίαν παραλόγῳ, ἀλλὰ τῷ γε χρόνῳ ἐνδώσειν, γενόμενον ἠπιώτερον πρὸς τὸ πάθος· ἔστι δὲ καὶ ἄλλως μήτε θρασὺς, μήτ' ἀνδρεῖος. Ἐπὶ τούτοις

Σωτηρίας ἔπαλξιν· εἴρηται λόγος.
ΟΡ. Ὦ τὰς φρένας μὲν ἄρσενας κεκτημένη,
Τὸ σῶμα δ' ἐν γυναιξὶ θηλείαις πρέπον,
Ὡς ἀξία ζῆν μᾶλλον, ἢ θανεῖν ἔφυς.
Πυλάδη, τοιαύτης ἆρ ἁμαρτήσῃ, τάλας,
Γυναικὸς, ἢ ζῶν μακάριον κτήσῃ λέχος;
ΠΥ. Εἰ γὰρ γένοιτο, Φωκέων δ' ἔλθοι πόλιν,
Καλοῖσιν ὑμεναίοισιν ἀξιουμένη!
ΟΡ. Ἥξει δ' ἐς οἴκους Ἑρμιόνη τίνος χρόνου;
Ὡς τἄλλα γ' εἶπας, εἴπερ εὐτυχήσομεν,
Κάλλισθ', ἑλόντες σκύμνον ἀνοσίου πατρός.
ΗΛ. Καὶ δὴ πέλας νιν δωμάτων εἶναι δοκῶ·
Τοῦ γὰρ χρόνου τὸ μῆκος αὐτὸ συντρέχει.
ΟΡ. Καλῶς· σὺ μὲν νυν, ξύγγον' Ἠλέκτρα, δόμων
Πάρος μένουσα, παρθένου δέχου πόδα·
Φύλασσε δ', ἤν τις, πρὶν τελευτηθῇ φόνος,
Ἢ ξύμμαχός τις, ἢ κασίγνητος πατρὸς
Ἐλθὼν ἐς οἴκους φθῇ, γέγωνέ τ' ἐς δόμους,
Ἢ σανίδα παίσασ', ἢ λόγους πέμψασ' ἔσω.
Ἡμεῖς δ' ἔσω στείχοντες ἐπὶ τὸν ἔσχατον
Ἀγῶν' ὁπλιζώμεσθα φασγάνῳ χέρας,
Πυλάδη· σὺ γὰρ δὴ ξυμπονεῖς ἐμοὶ πόνους.
Ὦ δῶμα ναίων νυκτὸς ὀρφναίας πάτερ,
Καλεῖ σ' Ὀρέστης παῖς σὸς ἐπίκουρον μολεῖν

---

λον ἀκούειν. 1219. ἢ ζῶν] ἐν ἄλλοις δὲ, ἧς ζῶν, οὐ καλῶς. 1201. Καλοῖσιν ὑμεναίοισιν ἀξιουμένη] οὐχ ἵν' ἀξιωθῇ τῶν ὑμεναίων· τοῦτο γὰρ γενικὴν ἀπαιτεῖ· ἀλλ' ἵν' ἀξίως ὑψωθῇ καὶ ὑμνηθῇ, διὰ τῶν ὑμεναίων καὶ ὕμνων τοῦ γά-

οὖν ἔμοιγε σαλεύεται ἡ τῆς σωτηρίας ἡμῶν ἐλπίς· εἴρηται.

ΟΡ. Ὦ φιλτάτη μοι ἀδελφὴ, ἥτις ἐν σώματι γυναικείῳ σύνεσιν ἀνδρὸς ὑποθάλπεις, ὡς ἀξία εἶ ζῆν, ἢ θανεῖν· σοὶ δ', ὦ Πυλάδη, τὶ δοκεῖ, πότερον ἀποτεύξεσθαι τοιαύτης γυναικὸς, ἢ ζῶν μετ' αὐτῆς μακάριον διάξεις αἰῶνα;

ΠΥ. Γένοιθ' ἡμῖν, εἰς Φωκίδα ἐλθόντας, ἀξίοις ὕμνοις ἑορτάσαι τὸν γάμον!

ΟΡ. Εἶεν· Ἑρμιόνη δὲ πότ' ἀφίξεται δεῦρο; τὰ γὰρ ἄλλα καλῶς σοι εἴρηται πάντα, εἴγε τὸν τοῦ ἀνοσίου πατρὸς συλλάβοιμεν σκύμνον.

ΗΛ. Καὶ μὴν ἐγγύς που ἔγωγ' ἡγοῦμαι ἤδη βαδίζειν ἐκείνην δεῦρο, ὅσον γ' ἐκ τοῦ χρόνου ἐςιν εἰκάσαι.

ΟΡ. Εὖ ἔχει· σὺ μὲν οὖν, ὦ Ἠλέκτρα, μένουσα ὧδε, ὑποδέχου τὴν παρθένον· μέμνησο δὲ, εἴτις βοηθός ποθεν, ἢ αὐτὸς Μενέλαος φθάσῃ ἐλθὼν πρὶν ἡμᾶς τέλος τῷ σκοπῷ ἐπιθεῖναι, ἀπαγγεῖλαι τοῦθ' ἡμῖν, ἢ φωνήσασα, ἢ σανίδα παίσασά τινα, ἢ ὅπως ἄλλως πέμψασα ὡς ἡμᾶς ἔνδον· ἡμεῖς δ', ὦ Πυλάδη, εἰσιόντες σὺν ξίφεσιν, ἐπὶ τὸν ἔσχατον τῶν ἀγώνων ἀποδυσώμεθα· αὐτὸς γὰρ αὐτόθεν εἵλου τοὐμὸν συμμερίσασθαι πάθος. Ὦ πάτερ, ὁ κατοικῶν ὑπὸ σκότον, Ὀρέςης ὁ παῖς καλεῖ σε ἀνελθεῖν

---

μου· 1206. Συντρέχει] τὸ μῆκος τοῦ χρόνου σύμμετρόν ἐστιν ἤδη τῷ μήκει τοῦ τόπου, ὥστε ἐγγύς που ἡμῶν εἶναι βαδίζουσαν ὧδε. 1208. Παρθένου δέχου πόδα] ἀντὶ τοῦ παρθένον ἐρχομένην· τὸ μέρος ἀντὶ τοῦ ὅλου· ἐδύνατο δ' εἰπεῖν καὶ παρθένου κάρα ὡς καὶ ἀνωτέρω στίχ. 107. Τί δ' οὐχὶ θυγατρὸς Ἑρμιόνης πέμψεις δέμας; 1211. Γέγωνέ τε] προΐου μεγάλην φωνήν· ἐν ἄλλοις δὲ ἀντὶ τοῦ Τε κεῖται Δέ. 1216. Νυκτὸς ὀρφναίας] τὸ τῆς νυκτὸς δῶμά ἐςιν

Τοῖς δεομένοισι· διὰ σὲ γὰρ πάσχω τάλας
Ἀδίκως· προδέδομαι δ' ὑπὸ κασιγνήτου σέθεν,
Δίκαια πράξας· οὗ θέλω δάμαρθ' ἑλὼν
Κτεῖναι· σὺ δ' ἡμῖν τοῦδε συλλήπτωρ γενοῦ.
ΗΛ. Ὦ πάτερ, ἵκου δῆτ', εἰ κλύεις ἔσω χθονὸς
Τέκνων καλούντων, οἳ σέθεν θνήσκουσ' ὕπερ·
ΠΥ. Ὦ ξυγγένεια πατρὸς ἐμοῦ, κἀμὰς λιτὰς,
Ἀγάμεμνον, εἰσάκουσον, ἔκσωσον τέκνα.
ΟΡ. Ἔκτεινα μητέρ' —
ΠΥ. Ἡψάμην δ' ἐγὼ ξίφους.
ΗΛ. Ἐγὼ δέ γ' ἐπεκέλευσα κἀπέλυσ' ὄκνου.
ΟΡ. Σοὶ, πάτερ, ἀρήγων·
ΗΛ. Οὐδ' ἐγὼ προὔδωκά σε,
ΠΥ. Οὐκοῦν ὀνείδη τάδε κλύων, ῥῦσαι τέκνα
ΟΡ Δακρύοις κατασπένδω σ'.
ΗΛ. Ἐγὼ δ' οἴκτοισίγε.
ΠΥ. Παύσασθε, καὶ πρὸς ἔργον ἐξορμώμεθα.
Εἴπερ γὰρ εἴσω γῆς ἀκοντίζονσ' ἀραὶ,
Κλύει. σὺ δ', ὦ Ζεῦ πρόγονε, καὶ Δίκης σέβας,
Δότ' εὐτυχῆσαι τῷδ', ἐμοί τε, τῇδέ τε·
Τρισσοῖς φίλοις γὰρ εἷς ἀγὼν, δίκη μία,
Ἢ ζῆν ἅπασιν, ἢ θανεῖν ὀφείλεται.
ΗΛ. Μυκηνίδες ὦ φίλαι, τὰ πρῶτα κατὰ Πελασγὸν (Στρ' ά.)
Ἕδος Ἀργείων.

---

ὁ τάφος, ἢ ὁ Ἅδης. 1224. Ὦ ξυγγένεια] Στρόφιος γὰρ Κυνδραγόραν ἀδελφὴν Ἀγαμέμνονος ἔσχε γυναῖκα· 1229. Οὐκοῦν ὀνείδη] ὀνείδη τὴν ἀξίωσιν, καὶ ἃ ἔχουσι παρέχεσθαι δίκαια, καὶ ὡς ἂν ἡ συνήθεια εἴποι, παράπονα, λέγει ἐν-

ἀρωγὸν αὐτῷ γενησόμενον· σοῦ γὰρ ἕνεκα πάσχω ἀδίκως ταῦτα· δίκαια γὰρ πράξας, προδέδομαι αὐτὸς ὑπὸ τοῦ σοῦ ἀδελφοῦ· οὗ νῦν ὥρμημαι τὴν γυναῖκ' ἀνελεῖν· συναντιλαβοῦ μοι τοίνυν, ὦ πάτερ, καὶ αὐτὸς τοῦ ἀγῶνος.

ΗΛ. Σπεῦσον, ὦ πάτερ, εἴγ' ἀκούεις κάτωθεν τῆς τῶν σαυτοῦ παίδων φωνῆς· οἵγ' ὑπὲρ σοῦ τὴν ἐπὶ θάνατον ἤδη τρέχουσιν.

ΠΥ. Ὦ Ἀγάμεμνον τῷ ἐμῷ πατρὶ σύγγενες, ἐπάκουσον κἀμοῦ δεομένου, διάσωσον τοὺς σαυτοῦ παῖδας.

ΟΡ. Ἐγὼ ἀπέκτεινα τὴν μητέρα.

ΠΥ. Κἀγὼ τὸ ξίφος εἰμὶ προτείνας.

ΗΛ. Ἐγὼ δ' ἐξώρμησα πρὸς τὸ ἔργον, ἀφελοῦσα τὸν ὄκνον.

ΟΡ. Σοὶ, πάτερ, τιμωρῶν.

ΗΛ. Οὐδ' ἐγὼ προὔδωκά σε.

ΠΥ. Οὔκουν ἐπακούσειας αὐτῶν δεομένων;

ΟΡ. Δακρύων ῥοαῖς κατασπένδω σοι, πάτερ.

ΗΛ. Κἀγὼ, ὦ πάτερ, οἴκτοις τε καὶ θρήνοις ὁμοίως.

ΠΥ. Ἅλις τῶν ὀλοφυρμῶν, παυώμεθα ἤδη· ὥρα γὰρ χωρεῖν πρὸς τοὔργον· εἰ γὰρ αἱ εὐχαὶ δύναιντο διήκειν ἐς τὴν γῆν, ἀκούει πάντως ἐκεῖνος. Σοὶ δ', ὦ Ζεῦ πρόγονε, καὶ Δίκη σεβασμία, δότε ἡμῖν τοῖς φιλίᾳ συνεζευγμένοις νικᾷν, ὧν εἷς ἀγὼν, μία δίκη, ἢ ζῆν, ἢ πάντας ἀποθανεῖν·

ΗΛ. Ὦ φίλαι ὑμεῖς Μυκηνίδες αἱ τὰ πρῶτα ἐν Ἄργει φέρουσαι.

---

ταῦθα. 1237. Τὰ πρῶτα] αἱ τὰ πρωτεῖα ἔχουσαι ἐν Ἀργείαις· τιμὴν δ' ἐκείναις ἀποδιδοῦσα τούτῳ, ἀντακούει καὶ αὐτὴ Πότνια, ὅ ἐστιν σεβαστὴ, εὐγενὴς, ἢ μᾶλλον ἡγεμονὶς, Πριγκιπέσσα· διὸ ἐπιφέρει, παραμένει γάρ σοι τόδε

ΧΟ. Τίνα θροεῖς αὐδὰν, Πότνια; παραμένει
Γάρ ἔτι σοι τόδ' ἐν Δαναΐδῶν πόλει.
ΗΛ. Στῆθ' αἱ μὲν ὑμῶν τόνδ' ἁμαξήρη τρίβον,
Αἱ δ' ἐνθάδ' ἄλλον οἶμον ἐς φρουρὰν δόμων.
ΧΟ. Τί δέ με τόδε χρέος ἀπύεις; (Στρ. β'.)
Ἔνεπέ μοι, φίλα.
ΗΛ. Φόβος ἔχει με, μή τις ἐπὶ δώμασι
Σταθεὶς ἐπὶ φόνιον αἷμα πήματα
Πήμασιν ἐξεύρῃ.
Η.Α. Χωρεῖτ', ἐπειγώμεσθ'. ἐγὼ μὲν οὖν τρίβον
Τόνδ' ἐκφυλάξω, τὸν πρὸς ἡλίου βολάς.
Η.Β. Καὶ μὴν ἐγὼ τόνδ', ὃς πρὸς ἑσπέραν φέρει.
ΗΛ. Δόχμια νῦν κόραις διάφερ' ὀμμάτων (Στρ. γ'.)
Ἐκεῖθεν ἐνθάδ', εἶτα πάλιν σκοπιάν.
ΧΟ. Ἔχομεν, ὡς θροεῖς.
ΗΛ. Ἑλίσσετε νῦν βλέφαρα, κόραισι δίδοτε πάν-
Τα διὰ βοστρύχων.
ΗΜ. Ὅδε τίς ἐν τρίβῳ φαντάζεται; τίς ὅδ' ἄρ' ἀμ-
Φὶ μέλαθρον πολεῖ σὸν ἀγρότας ἀνήρ;
ΗΛ. Ἀπολόμεσθ' ἄρ', ὦ φίλαι, κεκρυμμένους
Θῆρας ξιφήρεις αὐτίκ' ἐχθροῖς εἰ φανεῖ.
ΗΜ. Ἄφοβος ἔχε· κενὸς, ὦ φίλα, (Ἀντ. β'.)
Στίβος, ὃν οὐ δοκεῖς.
ΗΛ. Τί δέ; τὸ σὸν βέβαιον ἔτι μοι μένει;
Δὸς ἀγγελίαν ἀγαθάν τιν', εἰ τάδ' ἔ-
Ρημα τὰ πρόσθ' αὐλᾶς.
Η.Α. Καλῶς τά γ' ἐνθένδ'· ἀλλὰ τἀπὶ σοῦ σκόπει·
Ὡς οὔτις ἡμῖν Δαναΐδων πελάζεται.

ΧΟ. Τί βουλομένη καλεῖς με, ὦ Πότνια; προσήκει γάρ σοι τοῦτο καλεῖσθαι ἐν Ἀργείαις.

ΗΛ. Στῆτε αἱ μὲν κατὰ ταύτην τὴν ἁμαξωτόν· αἱ δὲ ταυτηνὶ τὴν τρίβον ἐγρηγοροῦσαι, φυλάσσετε.

ΧΟ. Πρὸς τὶ ταῦτα κελεύεις; εἰπὲ τὴν αἰτίαν.

ΗΛ. Δέδοικα, μή τις ἐλθὼν ἐπὶ τὸν φόνον, ἄλλ' ἐπ' ἄλλοις ἡμῖν ἐξεύρῃ κακά.

Η.Α. Χωρεῖτε, σπεύσωμεν· ἐγὼ μὲν τήνδε φυλάξω τρίβον πρὸς ἀνίσχοντα ἥλιον.

Η.Β. Ἐγὼ δ' ὁμοίως τήνδε τὴν πρὸς ἑσπέραν.

ΗΛ. Γοργὸν δὲ πανταχόσε ςρέφετε βλέμμα —

ΧΟ. Ἔςαι σοι πάνθ', ὡς κελεύεις, ἀλλ' ἔχ' ἀτρέμας.

ΗΛ. Κινοῦσαι πάντῃ διὰ τῶν βοςρύχων τὰ βλέ[illegible].

ΗΜ. Καὶ μὴν ὧδέ τις ἐν ὁδῷ· τίς ἔσθ' οὗτος ἀνὴρ [illegible]; περὶ τὴν σὴν περιπολῶν οἰκίαν;

ΗΛ. Ἀπωλόμεθ', ὦ φίλαι, ἤνγ' οὗτος ἐκφήνῃ τοῖς ἐχθροῖς ἔξω τοὺς ἔνδον κεκρυμμένους λέοντας σὺν τοῖς ξίφεσι.

ΗΜ. Μὴ φοβοῦ, ὦ φίλη· ἡ γὰρ ὁδὸς ἀνθρώπων ἐςὶ κενή.

ΗΛ. Τὸ δ' αὖ ἐντεῦθεν πῶς ἔχει; τί μοι βέβαιον ἔχεθ' ὑμεῖς εἰπεῖν; μή τις ἐνταῦθα πρὸ τῆς αὐλῆς;

Η.Λ. Ἔρημα πάντ' ἀνθρώπων, καὶ πολλὴ ἡσυχία· οὐδεὶς γάρ που φαίνεται προσιὼν, ἀλλὰ σύγε τὸ κατὰ σαυτὴν μέρος σκόπει.

---

τὸ Πότνια λέγεσθαι. 1243. Τί χρέος ἀπύεις] πρὸς τίμε εἰς τόδε τὸ χρέος καλεῖς; 1251. Δόχμια] πλαγίως πρὸς τὰ πλάγια περιστρόμβει ἀεὶ τὰς κόρας τῶν ὀμμάτων. ταῦτα δὲ μέχρι τετάρτου ςίχου ἑξῆς πολὺ παρηλλαγμένα ἐςὶν ἐν ἄλλοις. 1261. φανεῖ.] οὗτος ἐκφανεῖ τοὺς ἔνδον τοῖς ἐχθροῖς. 1259. Ὃν σὺ

Η.Β Ἐς ταὐτὸν ἥκεις· καὶ γὰρ οὐδὲ τῆδ' ὄχλος.
ΗΛ. Φέρε νυν ἐν πύλαισιν ἀκοὰν βάλω· (Ἀντ'·γ'.)
Τί μέλλεθ' οἱ κατ' οἶκον ἐν ἡσυχίᾳ
Σφάγια φοινίσσειν;
Οὐκ εἰσακούουσ'· ὦ τάλαιν' ἐγὼ κακῶν!
Ἆρ' ἐς τὸ κάλλος ἐκκεκώφηται ξίφη;
Τάχα τις Ἀργείων ἔνοπλος ὁρμήσας
Ποδὶ βοηδρόμῳ μέλαθρα προσμίξει.
Σκέψασθε νῦν ἄμεινον· οὐχ ἕδρας ἀγών·
Ἀλλ' αἱ μὲν ἐνθάδ', αἱ δ' ἐκεῖσ' ἑλίσσετε.
ΧΟ. Ἀμείβω κέλευθον
Σκοποῦσα πάντα.
ΕΛ. Ἰὼ Πελασγὸν Ἄργος, ὄλλυμαι κακῶς.
ΗΛ. Ἠκούσατ'; ἄνδρες χεῖρ' ἔχουσιν ἐν φόνῳ·
Ἑλένης τὸ κώκυμ' ἐστὶν, ὡς ἀπεικάσαι.
ΧΟ. Ὦ Διὸς, ὦ ἀέναον κράτος,
Ἔλθ' ἐπίκουρον ἐμοῖς φίλοισι πάντως.
ΕΛ Μενέλαε, θνήσκω· σὺ δὲ παρὼν μ' οὐκ ὠφελεῖς.
ΗΛ. Φονεύετε, καίνετε, θείνετ', ὄλλυτε,
Δίπτυχα δίστομα φάσγανα πέμπετε,
Ἐκ χειρὸς ἱέμενοι,
Τὰν λιποπάτορα λιπόγαμόν θ', ἃ πλείστους
Ἔκανεν Ἑλλάνων
Δορὶ παρὰ ποταμὸν ὀλομένους,
Ὅθι δάκρυα δάκρυσι
Συνέπεσεν σιδαρέοισι
Βέλεσιν ἀμφὶ τὰς Σκαμάνδρου δίνας.
ΧΟ. Σιγᾶτε, σιγᾶτ'· ᾐσθόμην κτύπου τινὸς
Κέλευθον ἐσπεσόντος ἀμφὶ δώματα.

ΗΛ.Β. Κἀνταῦθα πολλὴ ἐρημία ἐςὶν ἀνθρώπων.

ΗΛ. Φέρε δῆτα φωνήσω τὶ διὰ τῶν θυρῶν πρὸς τοὺς ἔνδον. Τί μέλλεθ' ὑμεῖς οἱ ἐντός; οὐ κεντεῖτε νῦν ἐν ἡσυχίᾳ; οὐ σφάζετε; οὐδεὶς ἀκούει· ὢ δυστυχὴς ἐγὼ τῶν κακῶν· ἆρα πρὸς τὸ κάλλος νενέκρωται τὰ ξίφη; φόβος δὲ μή τις τῶν Ἀργείων φθάσῃ προσμήξας τῷ δώματι ἔνοπλος· ἀλλ' ὑμεῖςγ', ὦ φίλαι, τί ποθ' ἵςασθε οὕτω παρακαίρως; σκοπεῖτε αἱ μὲν ὧδε, αἱ δὲ ὧδε.

ΧΟ. Εἶμι ἐπ' ἄλλην ὁδὸν σκοπήσουσα πάντα.

ΕΛ. Ἰὼ Ἄργος, ἀπώλυμαι ἡ ταλαίπωρος!

ΗΛ. Ἠκούσατ', ὦ φίλαι; φονεύουσιν ἔνδον· ὡς γὰρ εἰκάσαι Ἑλένης δοκῶ μοι κωκυσάσης ἀκοῦσαι.

ΧΟ. Ὦ Ζεῦ παντοκράτορ, ἐλθὲ ἐπίκουρος φίλοις.

ΕΛ. Μενέλαε, θνήσκω· σὺ δὲ παρὼν οὐδὲν ὠφελεῖς.

ΗΛ. Φονεύετε, κρεουργεῖτε, κεντεῖτε, ὠθεῖτε τὰ ξίφη ἄμφω δίςομα εἰς τὸ ἧπαρ· ὀλέσατε τὴν τὸν ἑαυτῆς πατέρα καὶ τὸν ἄνδρα προδοῦσαν, καὶ πολλοῖς τῶν Ἑλλήνων παρὰ τῷ Σκαμάνδρῳ ἀπολεσθῆναι γενομένην αἰτίαν, ἔνθα τὸ τόξον καὶ τὸ ξίφος δάκρυα ἐπήνεγκε δάκρυσι.

ΧΟ. Σῖγ' ἔχετε, σῖγα πᾶς ἔςω· βαδίζοντος γὰρ ὡς ἡμᾶς ὧδε ἠσθόμην· τίς ἄρ' ἐςιν;

---

δοκεῖς] ὃγ στίβον οὐ δοκεῖς κενὸν εἶναι. 1268. Ἐν Πύλαισι] πρὸς τῇ θύρᾳ παραβαλοῦσα τὸ σῶμα βοᾷ πρὸς τοὺς ἔνδον· ἀκοὴν, ὅ ἐστι, βοὴν διεγείρουσαν ἀκοήν. 1272. Ἆρ' ἐς τὸ κάλλος] ὑπόνοια ὑπέδραμεν αὐτὴν, μήπως οἱ ἔνδον ἰδόντες τὸ τῆς Ἑλένης κάλλος, ἀπέβαλον τὸν θυμόν· πολλὴν δ' οὖν τὴν τῆς Ἠλέκτρας ἀγωνίαν τὸ χωρίον τοῦτο ἐμφαίνει. 1285. Φονεύετε] ἐν ἄλλοις δὲ κεῖται.

» Φονεύετε καίνετ', ὄλλυτε.

» Δίπτυχα, δίςομα φάσγανα.

ΗΛ. Ὦ φίλταται γυναῖκες, ἐς μέσον φόνον
Ἥδ' Ἑρμιόνη πάρεστι· παύσωμεν βοήν.
Στείχει γὰρ ἐσπεσοῦσα δικτύων βρόχους.
Καλὸν τὸ θήραμ', ἣν ἁλῷ, γενήσεται.
Πάλιν κατάστηθ' ἡσύχῳ μὲν ὄμματι,
Χρόᾳ δ' ἀδήλῳ τῶν δεδραμένων πέρι·
Κἀγὼ σκυθρωποὺς ὀμμάτων ἕξω κόρας,
Ὡς δῆθεν οὐκ εἰδυῖα τἀξειργασμένα.
Ὦ παρθέν', ἥκεις τὸν Κλυταιμνήστρας τάφον
Στέψασα, καὶ σπείσασα νερτέρων χοάς;
ΕΡ. Ἥκω, λαβοῦσα πρευμένειαν· ἀλλά μοι
Φόβος τις εἰσελήλυθ', ἥντιν' ἐν δόμοις
Τηλωρὸς οὖσα δωμάτων κλύω βοήν.
ΗΛ. Τί δ'; ἄξι' ἡμῖν τυγχάνει στεναγμάτων.
ΕΡ. Εὔφημος ἴσθι· τί δὲ νεώτερον λέγεις;
ΗΛ. Θανεῖν Ὀρέστην κἄμ' ἔδοξε τῇδε γῇ.
ΕΡ. Μὴ δῆτ', ἐμούς γε συγγενεῖς πεφυκότας.
ΗΛ. Ἄραρ'· ἀνάγκης δ' ἐς ζυγὸν καθέσταμεν.
ΕΡ. Ἦ τοῦδ' ἕκατι καὶ βοὴ κατὰ στέγας;
ΗΛ. Ἱκέτης γὰρ Ἑλένης γόνασι προσπεσὼν βοᾷ.
ΕΡ. Τίς; οὐδὲν οἶδα μᾶλλον, ἢν σὺ μὴ λέγῃς.
ΗΛ. Τλήμων Ὀρέστης μὴ θανεῖν, ἐμοῦ θ' ὕπερ.
ΕΡ Ἐπ' ἀξίοισι τἄρ' ἀνευφημεῖ δόμος.
ΗΛ. Περὶ τοῦ γὰρ ἄλλου μᾶλλον ἂν φθέγξαιτό τις;
Ἀλλ' ἐλθὲ καὶ μετάσχες ἱκεσίας φίλοις,
Σῇ μητρὶ προσπεσοῦσα τῇ μέγ' ὀλβίᾳ,
Μενέλαον ἡμᾶς μὴ θανόντας εἰσιδεῖν.
Ἀλλ' ὦ τραφεῖσα μητρὸς ἐν χεροῖν ἐμῆς,
Οἴκτειρον ἡμᾶς κἀποκούφισον κακῶν.

ΗΛ. Ὦ φίλταται, Ἑρμιόνη ἥδε ἐν μέσῳ πάρεςι φόνῳ· σιγῶμεν· σπεύδει γὰρ εἰσπεσουμένη δικτύοις· ὡς καλὸν τὸ θήραμα, ἣν συλληφθῇ, ἡμῖν ἔςαι· ὑμεῖς δὲ ἡσυχῇ ἔχετε, τάτ' ὄμματα καὶ τὸ χρῶμα ἐς τὸ φύσει ἀποκαθιςῶσαι, μηδεμίαν παρέχουσαι τῶν πεπραγμένων ὑπόνοιαν· κἀγὼ δὲ σκυθρωπάσω ὡς ἐν ἀγνοίᾳ τῶν δρωμένων τελείᾳ. Ἧκες, ὦ παρθένε, ἧκες πάλιν ὡς ἡμᾶς, τὸν Κλυταιμνήστρας ςέψασα τάφον, καὶ χοὰς σπείσασα τοῖς νεκροῖς; ὡς εὖ καὶ ἐν καιρῷ παρέςης ἡμῖν.

ΕΡ. Ἥκω, εὐμένειαν εὑραμένη παρὰ τῆς μητρός· ἀλλὰ μεταξὺ προσιούσῃ μοι πόῤῥωθεν ἔτι, φωνή τις διήξασα ὡς ἐντεῦθεν, ἐξέπληξέ με.

ΗΛ. Τί δ' οὐχί; ἀξίως γὰρ ἡμῖν τὰ πράγματα ἔχει θρήνων.

ΕΡ. Εὐφήμει· μήτι νεώτερον ἔχεις λέγειν;

ΗΛ. Ἀργεῖοι ψήφῳ ἐμοῦτε καὶ Ὀρέςου κατέγνων φόνον.

ΕΡ. Μὴ δῆτα τοῦτο, συγγενῶν ἐμοὶ ὄντων.

ΗΛ. Οὐκ ἄλλως ἔχει· ἀνάγκης γὰρ ζυγῷ ἐσμὲν ὑποδύντες.

ΕΡ. Ἐκ τούτου ἆρα ἡ βοὴ κατηκούετο ὧδε;

ΗΛ. Ἑλένην γὰρ ἔνδον καθικετεύει.

ΕΡ. Τίνα φὴς τοῦτον; οὐ γὰρ ἔχω ξυμβαλεῖν.

ΗΛ. Ὁ δύστηνος Ὀρέςης, ὑπὲρ τῆς ἀμφοῖν ἡμῶν σωτηρίας.

ΕΡ. Οὐκ ἐπὶ μικροῖς ἄρ' ὁ θόρυβος ἦν ὧδε.

ΗΛ. Περὶ τίνος γὰρ ἄλλου; ἀλλὰ σύγ' εἰσελθοῦσα, συνικέτευε φίλοις, τὴν ὀλβιωτάτην ἐκλιπαροῦσα μητέρα, ὥστε μὴ παριδεῖν ἡμᾶς Μενέλαον θανόντας· ἀλλ' ὦ πρὸς τῆς ἐμῆς ἀνατραφεῖσα μητρὸς, οἴκτειρον, καὶ ἀπάλλαξον ἡμᾶς τοῦ προκειμένου κινδύνου· εἴσελθε δεῦρο εἰς τὸν ἀγῶνα,

Ἴθ' εἰς ἀγῶνα δεῦρ', ἐγὼ δ' ἡγήσομαι·
Σωτηρίας γὰρ τέρμ' ἔχεις ἡμῖν μόνη.
ΕΡ. Ἰδοὺ, διώκω τὸν ἐμὸν ἐς δόμους πόδα.
Σώθηθ', ὅσον γε τοὐπ' ἐμ'.
ΗΛ. Ὦ κατὰ ϛέγας
Φίλοι ξιφήρεις, οὐχὶ συλλήψεσθ' ἄγραν;
ΕΡ. Οἲ 'γώ. τίνας τούσδ' εἰσορῶ;
ΟΡ. Σιγᾶν χρεών·
Ἡμῖν γὰρ ἥκεις, οὐχί σοι, σωτηρία.
ΗΛ. Ἔχεσθ', ἔχεσθε· φάσγανον δὲ πρὸς δέρῃ
Βαλόντες, ἡσυχάζεθ', ὡς εἰδῇ τόδε
Μενέλαος, οὕνεκ' ἄνδρας, οὐ Φρύγας κακοὺς,
Εὑρὼν ἔπραξεν, οἷα χρὴ πράσσειν κακούς.
Ἰὼ, ἰὼ, φίλαι κτύπον ἐγείρετε. (Στρ.)
Κτύπον καὶ βοὰν
Πρὸ μελάθρων, ὅπως ὁ πραχθεὶς φόνος
Μὴ δεινὸν Ἀργείοισιν ἐμβάλῃ φόβον,
Βοηδρομῆσαι πρὸς δόμους τυραννικοὺς,
Πρὶν ἐτύμως ἴδω τὸν Ἑλένας φόνον
Καθαιμακτὸν ἐν δόμοις κείμενον,
Ἢ καὶ λόγον του προσπόλων πυθώμεθα.
Τὰς μὲν γὰρ οἶδα συμφορὰς, τὰς δ' οὐ σαφῶς.
ΧΟ. Διὰ δίκας ἔβα
Θεῶν νέμεσις ἐς Ἑλέναν.
Δακρύοισι γὰρ Ἑλλάδ' ἅπασαν ἔπλησε,
Διὰ τὸν ὀλόμενον, ὀλόμενον Ἰδαῖον
Πάριν, ὃς ἄγαγ' Ἑλλάδα εἰς Ἴλιον.

ἐμοῦ ἡγουμένης· ἐκ σοῦ γὰρ μόνης ἡμῖν ἔςαι σωτηρία·

**ΕΡ.** Ἰδοὺ εἰσέρχομαι σώσουσα ὑμᾶς τόγ' ἐπ' ἐμοί.

**ΗΛ.** Ὑμεῖς δὲ νῦν οἱ ἐντὸς τί μέλλετε; ποῦ ἐστέ; οὐ ξυλλήψεσθε εἰσιοῦσαν τὴν ἄγραν;

**ΕΡ.** Φεῦ, τί τοῦθ' ὁρῶ, ἄνδρας τούςδε ξιφήρεις;

**ΗΛ.** Σῖγ' ἔχε· ἥκες γὰρ σώσουσα ἡμᾶς, οὐχὶ σεαυτήν.

**ΕΡ.** Ξυλλαμβάνετε, λαμβάνετε· ἠρκότες δὲ τὸ ξίφος πρόκωπον πρὸς τῇ δέρῃ, οὕτως ἔχεθ' ἡσύχως, ὡς μάθῃ Μενέλαος οὐ Φρύγας κακοὺς, ἀλλ' ἄνδρας εὑρὼν, πάσχει, οἷα δεῖ πάσχειν τοὺς κακοὺς γιγνομένους· Ὑμεῖς δ', ὦ φίλαι, θορυβεῖτε ἐνταῦθα πρὸ τῶν δόμων· δέος γὰρ μή τις ὑπόνοια τοῦ φόνου ἐξορμήσῃ ἐφ' ἡμᾶς τοὺς Ἀργείους, πρὶν ἂν ἴδω αὐτοψεὶ τὸν τῆς Ἑλένης νεκρὸν ἐγκαλινδούμενον τῷ λύθρῳ, ἢ γοῦν παρά τινος τῶν ἱκετῶν βεβαίως τοῦτο μάθω· οὔπω γὰρ σαφῶς οἶδα τἄνδον, εἰ τέλος ἔχοι πάντα.

**ΧΟ.** Ἐνέσκηψε τελευτῶσα ἡ τῶν θεῶν νέμεσις σὺν δίκῃ ἐπὶ τὴν Ἑλένην· ἥτις πολλῶν δακρύων ἐνέπλησε πᾶσαν τὴν Ἑλλάδα τοῦ ἐξωλεστάτου ἕνεκα Πάριδος, ὃς αἴτιος ἐγένετο τοῦ

---

1326. Σωτηρίας γὰρ τέρμ' ἔχεις ἡμῖν μόνη.] τοῦθ' ἑτέρως ἑκατέρα αὐτῶν ἀκούει, ἡ μὲν εἰποῦσα, ὡς σωθησομένη τῷ κινδύνῳ ἐκείνης· ἡ δ' ἀκούουσα, ὡς σώσουσα τῇ τῆς μητρὸς ἱκεσίᾳ. 1332. Οὐχί σοι σωτηρία] καὶ τοῦτο διπλοῦν· εἰ γὰρ, φησὶ, σώσεις πρῶτον ἡμᾶς, οὕτως ἔσται καί σοι σωτηρία. 1335. Οὕνεκα] ὅτι· τὸ δὲ Ἔπραξεν ὁμοιόσημόν ἐστιν ἐνταῦθα τῷ ἔπαθεν· ὥσπερ καὶ τὸ πάσχειν πολλάκις ἀντὶ τοῦ πράττειν λαμβάνεται. οἷον τί πάθω; καὶ τὸ παρὰ Λουκιανῷ συχνὸν, τί γὰρ ἂν καί πάθοιμι, ὁπότε φίλος τις ὢν βιάζοιτο; 1346. Διὰ δίκας ἔβα] δικαίως ἐπέσκηψε τῇ Ἑλένῃ ἡ τῶν θεῶν νέμεσις

Ἀλλὰ, (κτυπεῖ γὰρ κλῇθρα βασιλείων δόμων,)
Σιγήσατ'· ἔξω γάρ τις ἐκβαίνει Φρυγῶν,
Οὗ πευσόμεσθα τἀν δόμοις ὅπως ἔχει.

ΦΡ. Ἀργεῖον ξίφος ἐκ θανάτου πέφευγα
Βαρβάροις ἐν εὐμαρίσιν,
Κεδρωτὰ παςάδων ὑπὲρ τέρεμνα
Δωρικάς τε τριγλύφους.
Φροῦδα, φροῦδα, γᾶ, γᾶ,
Βαρβάροισι δρασμοῖς.
Αἶ, αἶ· τᾷ φύγω, ξέναι, πολιὸν αἰ-
θέρ' ἀμπτάμενος, ἢ πόντον, Ὠκεανὸς ὃν
Ταυρόκρανος ἀγκάλαις
Ἑλίσσων, κυκλοῖ χθόνα;

ΧΟ. Τί δ' ἔςιν, Ἑλένης πρόσπολλ', Ἰδαῖον κάρα;

ΦΡ. Ἴλιον, Ἴλιον, ὤμοί μοι,
Φρύγιον ἄστυ καλλίβωλον, Ἴ-
δας ὄρος ἱερὸν, ὥς σ' ὀλόμενον στένω,
Ἁρμάτειον, ἁρμάτειον
Μέλος βαρβάρῳ βοᾷ,

---

Ἔστι δὲ νέμεσις θεία ὀργὴ, ἐφ' οἷς τις ἀναξίως εὖ πράττοι. 1351. Κτυπεῖ κλῇθρα] καὶ μὴν ὁ Φρὺξ οὐ διὰ κλείθρων καὶ θυρῶν ἔξεισιν· ἀλλ' ὑπερβὰς ἄνωθεν τὰ τῶν παςάδων τέρεμνα· ἔδοξεν οὖν, ὡς ἔοικε, τῷ Χορῷ κλείθρων τὸν κτύπον εἶναι. 1357. Τριγλύφους] ἔστι δὲ τέρεμνα μὲν ἄνωθεν στεγάσματ' ἄττα, ἢ μεσότοιχα ξύλινα· τρίγλυφοι δὲ αἱ ἐπὶ τῶν κεφαλῶν τῶν κιόνων, ἢ καὶ αὐτῶν τῶν μεσοτοίχων ποικίλαι ἀναγλυφαί· φρούδην δὲ καλεῖ τὴν γῆν τῶν Ἀργείων, ὡς ἀνεπιτήδειον οὖσαν αὐτῷ εἰς δρασμόν· μεταξὺ γὰρ οὔρεά τε σκιόεντα, θάλασσά τε ἠχήεσσα. Τὸ δὲ ταυρόκρανος τὸ, ὥσπερ Ταῦρος κέρασι μεγάλοις ἀγκαλίζεσθαι πᾶσαν τὴν γῆν δηλοῖ· οὕτω δὲ καὶ ζωγραφῶ-

ἐκςρατεῦσαι τοὺς Ἕλληνας ἐπὶ Τροίαν. Ἀλλὰ νῦν γ' ἔχετ' ἀτρέμας· Φρυγῶν γάρ τις ἔνδοθεν δοκεῖ ἐξέρχεσθαι, ὅσον ἐκ τῶν ψόφων τῶν κλείθρων ἐστὶν εἰκάσαι· ὃς ἡμῖν ἀγγελεῖ τὰ ἐντὸς, ὅπως ἔχει.

ΦΡ. Ἐκπέφευγ', ἐκπέφευγα μόλις Ἀργείων ξίφος βαρβάροις ταυταισὶν εὐμαρίσι, τάτε τῶν κοιτόνων παραπετάσματα καὶ τὰς ἐν αὐτοῖς Δωρικὰς τριγλύφους ὑπερβαλών· ὦ γῆ, γῆ ματαία καὶ ἄχρηςος βαρβάροις φεύγειν· ποῦ γὰρ φύγω, ὦ ξέναι; πότερον εἰς τὸν λευκὸν ἀναπτῆναι με δεῖ αἰθέρα, ἢ καταδῦναι εἰς τὴν τοῦ ταυροκράνου ὠκεανοῦ ἄβυσσον, ὃς κυκλεῖ πᾶσαν τὴν γῆν;

ΧΟ. Τί ἐςιν, ὦ Φρὺξ, Τρωϊκὸν Ἑλένης ἀνδράποδον;

ΦΡ. Ὦ Ἴλιον, Ἴλιον, οἴμοι τῷ δυστήνῳ, καρποφόρον ἄστυ Φρυγίας, ὄρος τε ἱερὸν τῆς Ἴδης, ὡς λίαν θρηνῶ σε ἀπολωλὸς, ἁρμάτειον ἁρμάτειον μέλος βαρβάρῳ θρηνῶ φωνῇ

τοὺς ποταμοὺς ταυροκάρηνας. 1368. Ἁρμάτειον, ἁρμάτειον] μέλος; Ἔθος ἐπὶ τῶν γάμων ἐκεῖνο ἐκράτει παρὰ τοῖς Ἕλλησιν· ὃ ἔτι καὶ νῦν παρὰ πολλοῖς κατὰ τὴν Ἑλλάδα γίγνεται· ὁ νυμφίος ἐλθὼν παρὰ τοὺς συγγενεῖς τῆς νύμφης, ἐλάμβανεν αὐτὴν παρ' αὐτῶν, καὶ ἀναβιβάσας εἰς ἄμαξαν, ἦγεν εἰς τὸν ἑαυτοῦ οἶκον αὐτός τε καὶ ὁ πάροχος, ὅς ἐςιν ὁ νῦν Κομπάρος λεγόμενος· εἵποντο δ' αὐτοῖς καὶ ἄλλοι πολλοὶ τῶν τε συγγενῶν καὶ φίλων ἀνδρῶν τε καὶ γυναικῶν, νυμφαγωγῶν τε καὶ παρανυμφίων, λαμπάδας ἡμμένας ἐν χερσὶ φερόντων ἁπάντων, ἀοιδῶν καὶ ὑμνῳδῶν παρακολουθούντων μετὰ μουσικῶν ὀργάνων· καὶ τοῦτ' ἐλέγετο παρ' αὐτοῖς, Ἁρμάτειον μέλος· Ἀλλὰ τοῦτ' ἐπ' εὐτυχίας λαμβανόμενον, οὐκ ἐφαρμόζει τῷ περὶ οὗ ἡμῖν ὁ λόγος· διὸ μέλος ἐνταῦθα ἁρμάτιον εἴη ἂν μᾶλλον ὁ τοῦ Πριάμου τῆς θ' Ἑκάβης καὶ τῆς Ἀνδρομάχης θρῆνος ἀπὸ τῶν τειχῶν ἐφ' Ἕκτορι ἑλκομένῳ νεκρῷ ὑπ' Ἀχιλέως ἀπὸ τῆς ἁμάξης· Πλούταρχος δὲ (περὶ τύχης Ἀλεξάνδρου) ἁρμάτειον νόμον εἰρηκὼς, τὸν

Διὰ [τὸ τᾶς] ὀρνιθόγονον ὄμμα κυκνοπτέρου
Καλλοσύνας Λήδας σκύμνου, δυσελένας,
Ξεστῶν περγάμων Ἀπολλωνίων
Ἐριννύν· ὀτοτοί·
Ἰαλέμων, ἰαλέμων,
Δαρδανία τλάμων, Γανυμήδεος
Ἱπποσύνα, Διὸς εὐνέτα.

ΧΟ. Σαφῶς λέγ' ἡμῖν αὔθ' ἕκαστα τἀν δόμοις·
Τὰ γὰρ πρὶν οὐκ εὔγνωστα συμβαλοῦσ' ἔχω.

ΦΡ. Αἴλινον, αἴλινον ἀρχὰν θανάτου
Βάρβαροι λέγουσιν, αἶ αἶ,
Ἀσιάδι φωνᾷ, βασιλέων
Ὅταν αἷμα χυθῇ κατὰ γᾶν ξίφεσιν
Σιδαρέοισιν Ἀΐδα.
Ἦλθον ἐς δόμους, ἵν' αὔθ' ἕκαστά σοι λέγω,
Λέοντες Ἕλλανες δύο διδύμω.
Τῷ μὲν ὁ στρατηλάτας πατὴρ ἐκλῄζετο·
Ὁ δὲ παῖς Στροφίου, κακομήτας,
Οἷος Ὀδυσσεύς, σιγᾷ δόλιος,
Πιστὸς δὲ φίλοις, θρασὺς εἰς ἀλκὰν,
Ξυνετὸς πολέμου, φόνιός τε δράκων·
Ἔρροι τὰς ἡσύχου προνοίας,
Κακοῦργος ὤν!
Οἱ δὲ πρὸς θρόνους ἔσω μολόντες

εἰς τὰς μάχας ἐνθουσιασμὸν ἐννοεῖ. 1370. Ὀρνιθόγονον ὄμμα] ὁ Ζεὺς κύκνος γενόμενος, ὡμίλησε τῇ Λήδᾳ, ἐξ οὗ ἡ Ἑλένη ἐκ κυκνείου ᾠοῦ· ἐκ τούτου τοίνυν ὀρνιθόγονον καὶ κυκνόπτερον καλεῖ τὴν Ἑλένην· ἡ δὲ συνθήκη ὧδε· θρη

διὰ τὸ ὀρνιθογέννητον ὄμμα τῆς δυσωνύμου Ἑλένης, αὐτῆς δὴ τῆς καλλίςης κυκνοπτέρου θυγατρὸς τῆς Λήδας, τὴν θεοςυγῆ φημι Ἐριννὺν τῆς ὑπὸ τοῦ Ἀπόλλωνος κτισθείσης Περγάμου· φεῦ, φεῦ, Δαρδανία τλήμων, ἱππασία Γανυμίδους, ὃς Διὸς ἐγένετο παιδικά.

ΧΟ. Λέγ' ἡμῖν, ὤνθρωπε, ὅ,τι συνέβη ἔνδον· ἐξ ὧν γὰρ εἶπας, οὐκ ἂν ἔχοιμι ξυμβαλεῖν οὐδέν.

ΦΡ. Θρηνητικὸν ὕμνον τὴν τοῦ θανάτου ἀρχὴν οἱ βάρβαροι βαρβάρῳ φωνῇ καλοῦσιν, (αἶ, αἶ·) ἡνίχ' αἷμα βασιλέως ἐκχυθείη τῷ ᾍδῃ. Ἀλλ' ἐπειδὴ αὐτὴ βούλει καθ' ἕκαςά γε μαθεῖν τὰ ἐντὸς πεπραγμένα, ἄκουσον. Ἕλληνες δύο, ὥσπερ λέοντες εἰσέπεσον εἴσω· ὧν ὁ μὲν, Ἀγαμέμνονος ἐκλεΐζετο εἶναι· ὁ δὲ Στροφίου, ἀνὴρ οὗτος μηχανοπλόκος, ἄλλος Ὀδυσσεὺς, σιγηλὸς μὲν σὺν δόλῳ, πιςότατος δὲ τοῖς φίλοις, θρασὺς εἰς ἀλκὴν, εἰδήμων πολέμου, φονικὸς ὅλως δράκων. Ἐκφθαρείη δὲ τῆς μεμελετημένης ἡσυχίας ἐκεῖνος, κακονούστατος ἄλλως ὢν ὅλως· Οὗτοι δὴ τῷ θρόνῳ τῆς, ἣν Πάρις ἔγημε, γυναικὸς προσιόντες,

---

νῶσε, ὦ Ἴλιον διὰ τὴν δυσώνυμον Ἑλένην (ὡς αἰτίαν τῆς σῆς ἀπωλείας) τὴν καλὴν σκύμνον τῆς Λήδας, τὴν ὀρνιθόγονον καὶ κυκνόπτερον· τὸ δὲ ὄμμα, τὸ τιμιώτερον μέρος ἀντὶ τοῦ ὅλου· 1372. Ἀπολλωνίων] κτίσμα γὰρ ἡ Πέργαμος, ἥτις ἐστὶν ἡ ἀκρόπολις τῆς Τροίας, ἐστὶν Ἀπόλλωνος· διὸ καὶ πολιοῦχος καὶ πρόμαχος Ἀπόλλων Τρῴων πανταχοῦ εἰσάγεται παρ' Ὁμήρου 1374. Ἰαλέμων] ὢ τῶν ἰαλέμων· θρῆνος οὗτος ὁ Ἰάλεμος. 1376. Ἱποσύνα] ἢ ὅτι ἵππους ἔτρεφεν ἐν αὐτῇ· ἢ ὅτι ἤσκει τὴν ἱππικὴν ὁ συνευνέτης τοῦ Διὸς Γανυμήδης. 1379. Αἴλινον] θρηνητικὸν μοιρολόγημα ἐπὶ θανάτου βασιλέως τοῦθ' ὑμεῖς οἱ βάρβαροι Ἀσιάδι φωνῇ λέγομεν, ὃ κἀγὼ νῦν προσάδω τῇ Ἑλένῃ ὡς δεσποτίδι μου γενομένῃ. 1384. Ἵν' αὔθ' ἕκαστα] ἵνα αὐτὰ καθ' ἕκαστα· οὕτω δὲ κἀν τῷ Χορῷ μικρὸν ἀνωτέρω. 1391. Ἔῤῥοι] κατάρα τοῦτο, ἐῤῥέτω ἕνεκα

Ἃς ἔγημ' ὁ τοξότας Πάρις γυναικὸς,
Ὄμμα δακρύοις πεφυρμένοι, ταπεινοὶ
Ἕζονθ', ὁ μὲν τὸ κεῖθεν, ὁ δὲ τὸ κεῖθεν, ἄλ-
Λος ἄλλοθεν πεφραγμένοι.
Περὶ δὲ γόνυ χέρας ἱκεσίους
Ἔβαλον, ἔβαλον Ἑλένας ἄμφω.
Ἀνὰ δὲ δρομάδες ἔθορον, ἔθορον
Ἀμφίπολοι Φρύγες.
Προσεῖπε δ' ἄλλος ἄλλον πεσὼν ἐν φόβῳ,
Μή τις εἴη δόλος· κἀδόκει τοῖς μὲν οὔ·
Τοῖς δὲ ἐς ἀρκυστάταν μηχανὰν ἐμπλέκειν
Παῖδα τὴν Τυνδαρίδ' ὁ μητροφόντας δράκων.
ΧΟ. Σὺ δ' ἦσθα ποῦ τότ', ἢ πάλαι φεύγεις φόβῳ;
ΦΡ. Φρυγίοις ἔτυχον Φρυγίοισι νόμοις
Παρὰ βόστρυχον αὔραν, αὔραν
Ἑλένας Ἑλένας εὐπαγεῖ κύκλῳ
Πτερίνῳ πρὸς παρηΐδος αἴσσων
Βαρβάροις νόμοισιν.
Ἃ δὲ λίνον ἠλακάτᾳ
Δακτύλοις ἕλισσε,
Νήματά θ' ἵετο πέδῳ,
Σκύλων Φρυγίων ἐπὶ τύμβον ἀγάλ-
Ματα συστολίσαι χρήζουσα λίνῳ,
Φάρεα πορφύρεα, δῶρα Κλυταιμνήστρᾳ.
Προσεῖπεν δ' Ὀρέστας Λάκαιναν κόραν.
Ὦ Διὸς παῖ, θὲς ἴχνος πέδῳ δεῦρ' ἀπο-
Στᾶσα κλισμοῦ, Πέλοπος
Ἐπὶ προπάτορος ἕδραν παλαιᾶς ἑστίας,
Ἵν' εἰδῇς λόγους ἐμούς·
Ἄγει δ', ἄγει νιν· ἁ δ' ἐφεί-

καὶ τῶν γονάτων αὐτῆς ἕτερος ἑτέρωθεν ἁψάμενοι, ἐκαθέσθησαν οὐκ ἐπισφαλῶς ἑκατέρωθεν. Φρύγες δὲ οἰκέται ἄλλος ἄλλοθεν θέοντες, καὶ ἐν ὑπονοίᾳ γενόμενοι, ἐπυνθάνοντ᾽ ἀλλήλων, μή τις δόλος ὑποκρύπτεται τοῖς δρωμένοις· καὶ οἱ μὲν ἀπέφασκον ὅλως· τοῖς δὲ εἰς δολίαν παγίδα τὴν Τυνδαρίδα ὁ μητραλοίας δράκων ἐμπλέξειν ἐδόκει.

ΧΟ. Σὺ δὲ ποῦ ἦσθα τότε, ἢ ἐπεφεύγεις φόβῳ;

ΦΡ. Ἔτυχον, ᾗ νόμος ἐςὶν παρ᾽ ἡμῖν, ἱςάμενος παρὰ τῇ δεσποίνῃ, αὔραν κατὰ τοῦ προσώπου αὐτῆς ῥιπίδι ἐκ πτερῶν κυκλωτερεῖ νόμοις ὑποκινῶν Φρυγίοις· ἡ δὲ νήθουσα, ἔςρεφε τοῖς δακτύλοις ἐξ ἠλακάτης τὸν ἄτρακτον, πρὸς τοὔδαφος τὰ νήματα κατατείνουσα, φάρος πορφυροῦν ἐκ σκύλων Τρωϊκῶν, δῶρον Κλυταιμνήςρᾳ, τῷ τάφῳ ἄγαλμα λινόπλοκον βουλομένη ὑφᾶναι. Ἐν δὲ τούτῳ προσεῖπεν αὐτὴν Ὀρέςης, ὦ κόρη τοῦ Διός, καταβᾶσα ἀπὸ τοῦ θρόνου ἐντεῦθεν, εἴσελθε εἰς τὴν ἀρχαίαν ἑςίαν, ἔνθ᾽ ὁ Πέλοπός ἐςι θρόνος· βούλομαι γάρ σοι τῶν ἐμαυτοῦ τ᾽ ἰδίᾳ κοινώσασθαι· Οὕτως ἄγει αὐτήν, μηδὲν, ὧν ἤμελλε

τῆς προσποιητοῦ ἡσυχίας ὁ δόλιος καὶ κακοῦργος. 1404. Ἀρκυστάτων] οὐχ ὑπερθετικὸν τοῦτ᾽ ἐστιν· πῶς γὰρ ἀπὸ οὐσιαστικοῦ; ἀλλ᾽ ἐς μηχανὴν βούλεται λέγειν, ἐξ ἄρκεων, εἴτ᾽ οὖν δικτύων συνισταμένην· ἢ ἁπλῶς μηχανὴν ἄρκεων 1409. Εὐπαγεῖ κύκλῳ πτερίνῳ] τοῦτο δέ ἐστιν, ἡ ῥιπὶς ὃ ἡ συνήθεια ἀέρα καλεῖ, ἔκτε πτερῶν ταῶν, καὶ ἄλλων ὀρνίθων, οὐ μὴν ἀλλὰ καὶ ἐκ χάρτου πολλαχῶς εἰς δίσκου συμπηγνύμενον σχῆμα· ᾧ τὸν ἀέρα ῥιπίζοντες, ὑποκινοῦμεν αὐτὸν ἐφ᾽ ἡμᾶς, αὐτοὺς ἐν ταῖς τοῦ ἡλίου ἀναψύχοντες θέρμαις. 1419. Θὲς ἴχνος πέδῳ] κατάβηθι ἀπὸ τοῦ θρόνου.

Πετ' οὗ πρόμαντις, ὧν ἔμελ-
λεν· ὁ δὲ συνεργὸς ἄλλ' ἔπρασσ'
Ἰὼν κακὸς φωκεύς·
Οὐκ ἐκποδὼν ἴτ', ἀλλ' ἀεὶ κακοὶ Φρύγες;
Ἔκλῃσε δ' ἄλλον ἄλλοσε στέγης.
Τοὺς μὲν ἐν σταθμοῖσιν ἱππικοῖσι,
Τοὺς δ' ἐν ἐξέδραισι, τοὺς δ' ἐκεῖσ' ἐκεῖθεν, ἄλλον ἄλ-
λοσε διαρμόσας ἀπόπρο δεσποίνας.

ΧΟ. Τί τοὐπὶ τῷδε συμφορᾶς ἐγίγνετο;

ΦΡ. Ἰδαία μᾶτερ, μᾶτερ
Ὀβρίμα, ὀβρίμα, αἶ, αἶ,
Φονίων παθέων, ἀνόμων τε κακῶν.
Ἅπερ ἔδρακον, ἔδρακον
Ἐν δόμοις τυράννων.
Ἀμφὶ πορφυρέων πέπλων ὑπὸ σκότου
Ξίφη σπάσαντες ἐν χεροῖν,
Ἄλλος ἄλλοσε
Δίνασεν ὄμμα, μή τις παρὼν τύχοι.
Ὡς κάπροι δ' ὀρέστεροι,
Γυναικὸς ἀντίοι σταθέντες,
Ἐννέπουσι· Κατθανῇ,
Κατθανῇ, κακός σ' ἀποκτείνει πόσις,
Τοῦ κασιγνήτου προδοὺς
Ἐν Ἄργει θανεῖν γόνον.
Ἁ δ' ἴαχεν, ἴαχεν, ᾤ μοί μοι·
Λευκὸν δ' ἐμβαλοῦσα πῆχυν στέρνοις,
Κτύπησε κρᾶτα μέλεον πλαγάν.
Φυγάδι δὲ ποδὶ τὸ χρυσεοσάνδαλον ἴ-
χνος ἔφερεν, ἔφερεν·
Ἐς κόμας δὲ δακτύλους δικὼν Ὀρέστας,
Μυκηνίδ' ἀρβύλαν προβὰς,

πείσεσθαι προειδυῖαν· ὁ δ' αὖ δόλιος ἐκεῖνος Φωκεὺς ἔπραττεν ἄλλα· εἰπὼν γὰρ, ἴτ' ἐκποδὼν, χωρεῖτ' ἐντεῦθεν, ἀεὶ κακοὶ καὶ ἀναίσχυντοι Φρύγες, ἀπέκλεισεν ἡμᾶς ἄλλους ἄλλῃ, οὓς μὲν ἐν ἱπποστασίοις, οὓς δ' ἐν ἐξέδραις, καὶ ἄλλους ἄλλοσε τῆς οἰκίας, ἀποσχοινίσας πάντας ὡς ποῤῥωτάτω που τῆς δεσποίνης.

ΧΟ. Ἐκ δὲ τούτου τί ποτε συνέβη γενέσθαι;

ΦΡ. Ὦ θεὰ Ἰδαία, μῆτερ τῶν θεῶν ἰσχυρά· φεῦ, φεῦ τῶν φονίων παθῶν, καὶ τῶν παρανόμων κακῶν, ἃ ἑώραχ' ὁ δείλαιος ἐγὼ ἐν οἴκοις τῶν βασιλέων! Οὗτοι φόνον ἀμφότεροι πνέοντες, αἴφνης τὰ ξίφη σπασάμενοι, ἃ ἦσαν κεκρυφότες ὑπὸ τῷ χιτῶνι, καὶ περιβλεψάμενοι ἑτέρωσε ἕτερος, μή τις παρὼν κωλύσῃ, παραστάντες τε τῇ γυναικὶ ὡς ὀρεσίτροφοι κάπροι, εἶπον ταῦτα· Ἀποθανῇ σύγ', ὦ γύναι, ἀποθανῇ· ὁ δ' ἀποκτείνας ὁ σὸς κακὸς ἐστ' ἀνήρ· ὃς προήκατο τὸν παῖδα τοῦ ἀδελφοῦ Ἀργείοις φονεύειν· ἡ δὲ πληγεῖσα, ὡς εἰκὸς, πρὸς τὴν ἀκοὴν, ἀνωλόλυξε μέγα· τύψασα δὲ τὸ στῆθος καὶ τὴν κεφαλὴν, ὥρμησεν ἐκφυγεῖν ὁπηδήποτε· ἀλλ' Ὀρέστης προλαβὼν, ἐλάβετο

1427. Ἐκ ποδῶν ἴτε] ἐλέγχει αὐτοὺς ὡς ἀναισχύντως μὴ μεθισταμένους τῶν μυσικῶν, ὡς δι' αὐτοὺς δῆθεν εἰς τὸ ἐνδότερον ἀναγκασθέντες τοὺς περὶ τὸν Ὀρέστην εἰσιέναι. 1433. Ἰδαία μᾶτερ] Ἴδη μὲν ὄρος ἐν Τροίᾳ· θεὰ δὲ, φασὶν, ἡ Ῥέα, ὡς ἐκεῖ τιμωμένη. 1449. Ἀρβύλαν προβὰς] ὅ ἐστι, προθεὶς τὸν πόδα, ἀπὸ τοῦ ὑποδήματος τὸ ἐν τὸ ποδήματι· τὸ δὲ ἔμελλεν κατωτέρω, τὴν ἀναβολὴν

Ὤμοις ἀριστεροῖσιν ἀνακλάσας δέρην,
Παίειν λαιμῶν ἔμελλεν
Ἔσω μέλαν ξίφος·
ΧΟ. Ποῦ δῆτ' ἀμύνειν οἱ κατὰ στέγας Φρύγες;
ΦΡ. Ἰαχᾷ δόμων θύρετρα καὶ σταθμοὺς
Μοχλοῖσιν ἐκβαλόντες, ἔνθ' ἐμίμνομεν,
Βοηδρομοῦμεν ἄλλος ἄλλοθεν στέγης,
Ὁ μὲν πέτρους, ὁ δὲ ἀγκύλας,
Ὁ δὲ ξίφος πρόκωπον ἐν χεροῖν ἔχων.
Ἔναντα δ' ἦλθεν
Πυλάδης ἀλίαστος, οἷος, οἷος
Ἕκτωρ ὁ Φρύγιος, ἢ τρυκόρυθος Αἴας,
Ὃν εἶδον ἐν πύλαισι Πριαμίσιν·
Φασγάνων δ' ἀκμὰς ξυνήψαμεν·
Τότε δή, τότε διαπρεπεῖς
Ἐγένοντο Φρύγες, ὅσον Ἄρεως ἀλκὰν
Ἥσσονες Ἑλλάδος ἐγενόμεθ' αἰχμᾶς.
Ὁ μὲν οἰχόμενος φυγὰς, ὁ δὲ νέκυς ὤν,
Ὁ δὲ τραῦμα φέρων, ὁ δὲ λισσόμενος,
Θανάτου προβολάν·
Ὑπὸ σκότον δ' ἐφεύγομεν·
Νεκροὶ δ' ἔπιπτον, οἱ δ' ἔμελλον, οἱ δ' ἔκειντ'.
Ἔμολε δ' ἁ τάλαιν' Ἑρμιόνα δόμους
Ἐπὶ φόνῳ χαμαιπετεῖ ματρὸς, ἅ
Νιν ἔτεκεν τλάμων.
Ἄθυρσοι δ' οἷά νιν δραμόντε Βάκχαι
Σκύμνον ἐν χεροῖν ὀρείαν
Ξυνήρπασαν· πάλιν δὲ τὰν Διὸς κόραν
Ἐπὶ σφαγὰν ἔτεινον·

τῆς κόμης αὐτῆς, καὶ περικλάσας τὸν τράχηλον ἐπὶ τὸν εὐώνυμον τῶν ἑαυτοῦ βραχιόνων, ἐπίφοβον ἦρκε τὸ ξίφος, ὡς αὐτίκα μάλ' ἀναιρήσων.

ΧΟ. Οἱ δὲ Φρύγες ποῦ ἦσαν, ὥςε συςραφέντες ἀμύνειν;

ΦΡ. Ἐκπλαγέντες πρὸς τὴν τῆς δεσποίνης ὀλολυγὴν, παραχρῆμα ἐκμοχλεύσαντες τὰς θύρας τῶν δωμάτων, ἐν οἷς ἐτυγχάνομεν καθειργμένοι, αὐτοῖς παρας άταις, ἐπεξήεμεν πρὸς ἐπικουρίαν, ἄλλος ἄλλοθεν ὑπερβαλὼν, ὁ μὲν λίθῳ, ὁ δὲ βέλει, ὁ δὲ ξίφει προκώπῳ ὁμόσε ἰόντες· ἀντεπεξήει δ' ἡμῖν ἐν μέσῳ Πυλάδης, ἀνὴρ ἀνυπόςατος, οἷον ἦν Ἕκτωρ ἐν Τρωσὶν, ἢ ὁ τρικόρυθος Αἴας, ὃν ἑωράκειν ποτὲ ἐν πύλαις τῆς Τροίας μαχόμενον, ὥσπερ λέοντα· ἔνθα συμμίξαντες μάχῃ, ἐδείξαμεν σαφῶς, ὅσον οἱ Φρύγες ἀρετῇ λειπόμεθα τῶν Ἑλλήνων, ὁ μὲν φυγὼν, ὁ δὲ πεσὼν, ὁ δὲ τρωθεὶς, ὁ δὲ ἱκετηρίᾳ θηρώμενος ἔλεον· ὥσθ' οἱ μὲν ἐφεύγομεν ὑπὸ σκότῳ, ἄλλος ἄλλοσε ἕκαςος, ὅποι προχωρείη· οἱ δ' αὖ ἔπιπτον, οἱ δ' ἔμελλον τοῦτο πείσεσθαι· ἐν δὲ τούτῳ ἀφίκετο ἡ ταλαίπωρος Ἑρμιόνη μεταξὺ τῆς μητρὸς φονευομένης· οἱ δὲ, οἷον Βάκχαι, ἄνευ θύρσων μαινόμενοι, συνήρπασαν αὐτὴν ὥσπερ ὀρεσίτροφον σκύμνον· κᾀκ τούτου αὖ ἐπεπήδησαν πάλιν ἐπὶ τὴν τοῦ Διὸς ὡς κατασφάξοντες· ἡ δὲ (ὦ Ζεῦ, καὶ γῆ, καὶ

---

τοῦ ἔργου δηλοῖ, ἵνα μὴ φανῇ ἔτι τοῦ δράματος ἡ λύσις. 1462. Ὃν εἶδον] ἐντεῦθεν μέχρι τοῦ 1475. ςίχου, αἰνίττεται μᾶλλον τὰ ἐν Τροίᾳ γενόμενα, ἢ γοῦν ἐκείνοις ταῦτα ἐφαρμόζει. 1469. Θανάτου προβολὰν] ἱκετηρίαν μὴ ἀποθανεῖν. 1473. Φόνῳ χαμαιτυπεῖ] ἐπὶ μητρὶ πεσούσῃ κάτω νεκρᾷ; καί τοι τέλειον φόνον οὐδ' αὐτὸς ὁ Φρὺξ λέγει· ἀλλ' ὡς ἐσομένου τὸν λόγον ποιεῖται. 1478. Ἐπὶ σφαγὰν] ἐπὶ τὴν κόραν ἔτεινον τὴν σφαγὴν, τὸ ξίφος

Ἁ δ' ἐκ θαλάμων ἐγένετο
Διαπρὸ δωμάτων ἄφαντος,
Ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς καὶ νὺξ,
Ἤτοι φαρμάκοισιν,
Ἢ μάγων τέχναισιν, ἢ θεῶν κλοπαῖς.
Τὰ δ' ὕστερ' οὐκέτ' οἶδα·
Δραπέτην γὰρ ἐξέκλεπτον ἐκ δόμων πόδα.
Πολύπονα δὲ, πολύπονα πάθεα
Μενέλαος ἀνασχόμενος
Ἀνόνητον ἀπὸ Τροίας
Ἔλαβε τὸν Ἑλένας γάμον.
ΧΟ. Καὶ μὴν ἀμείβει καινὸν ἐκ καινῶν τόδε·
Ξιφηφόρον γὰρ εἰσορῶ πρὸ δωμάτων
Βαίνοντ' Ὀρέστην ἐπτοημένῳ ποδί.

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΟΡΕΣΤΗΣ, ΦΡΥΞ, ΗΛΕΚΤΡΑ, ΜΕΝΕΛΑΟΣ, ΑΠΟΛΛΩΝ.

ΟΡ. Ποῦ 'στὶν οὗτος, ὃς πέφευγε τοὐμὸν ἐκ δόμων ξίφος;
ΦΡ. Προσκυνῶ σ', ἄναξ, νόμοισι βαρβάροισι προσπιτνῶν.
ΟΡ. Οὐκ ἐν Ἰλίῳ τάδ' ἐστὶν, ἀλλ' ἐν Ἀργείᾳ χθονί.
ΦΡ. Πανταχοῦ ζῆν ἡδὺ μᾶλλον, ἢ θανεῖν τοῖς σώφροσιν.
ΟΡ. Οὔ τί που κραυγὴν ἔθηκας Μενέλεῳ βοηδρομεῖν;
ΦΡ. Σοὶ μὲν οὖν ἔγωγ' ἀμύνειν. ἀξιώτερος γὰρ εἶ.
ΟΡ. Ἐνδίκως ἡ Τυνδάρειος ἆρα παῖς διώλετο;

φῶς, καὶ νὺξ) οὐκ οἶδ' ὅπως ἐκ θαλάμων διὰ τῶν δωμάτων φαρμάκοις ἴσως, ἢ μάγων τέχνῃ, ἢ θεῶν ἁρπαγῇ, ἐγένετο ἄφαντος· τὰ δ' ἐπὶ τούτοις οὐκέτ' οἶδα ὅ,τι ποτὲ ἀπέβη· ἔφθην γὰρ ὑποκλέψας ἐμαυτὸν εἰς φυγήν. Τέως δ' οὖν Μενέλαος ὁ τλήμων μάτην ἄρα ἐνέτλη τοσαῦτα κατὰ τὴν Τροίαν κακὰ, μηδὲν ἀπονάμενος τῆς Ἑλένης·

ΧΟ. Τί τοῦθ' ὁρῶ; ἄλλο ἄλλου κακὸν νεώτερον διάδοχον ἥκει· Ὀρέστης γὰρ ὅδε ξιφήρης ἐπτοημένῳ βαδίσματι ἔξεισι.

# ΠΡΑΞΙΣ ΠΕΜΠΤΗ.

ΟΡΕΣΤΗΣ, ΦΡΥΞ, ΗΛΕΚΤΡΑ, ΜΕΝΕΛΑΟΣ, ΑΠΟΛΛΩΝ.

ΟΡ. Ποῦ ποτ' ἐστιν ὁ τοὐμὸν ξίφος ἔνδοθεν διαφυγών;

ΦΡ. Προσκυνῶ σε Δέσποτα, βαρβάρων προσπεσὼν νόμῳ.

ΟΡ. Οὐκ ἐν Τροίᾳ αὐτῇ νῦν τυγχάνεις ὢν, ἀλλ' ἐν Ἄργει.

ΦΡ. Τὸ ζῆν τοῦ θανεῖν ἥδιον πανταχῇ τοῖς φρονοῦσι.

ΟΡ. Μή τι ἀπήγγειλας Μενελάῳ ἐπικουρῆσαι;

ΦΡ. Σοὶ μέντοι πάντως, ἀξιωτέρῳ ὄντι ἐπικουρίας.

ΟΡ. Πόθεν τοῦτο; ἢ δικαίως ἀπόλωλεν Ἑλένη;

---

1481. Ὦ Ζεῦ] ὑπὸ τοῦ θαύματος ἀγόμενος καθ' ἑαυτὸν ἐκφωνεῖ ταῦτα. 1492. Ἐπτοημένῳ ποδὶ] προσεκτικῷ καὶ περιέργῳ βαδίσματι. 1494. Προσκυνῶ] βαρβάρων ἴδιον τὸ προσκυνεῖν· μιμεῖται δ' ἐν τοῖς ἑξῆς καταλλήλως τὸν τῶν Φρυγῶν χαρακτῆρα πάνυ κομψῶς· μετέβαλε μέντοι ὁ λόγος εἰς τὸ κωμικώτερον οὐκ εὐκαίρως. 1498. Σοὶ μὲν οὖν ἔγωγε] κραυγὴν ἔθηκα ὥστ' ἀμύνειν.

ΦΡ. Ἐνδικώτατ', εἴγε λαιμοὺς εἶχε τρυπτύχους θανεῖν.
ΟΡ. Δειλίᾳ γλώσσῃ χαρίζει, τἄνδον οὐχ οὕτω φρονῶν.
ΦΡ. Οὐ γὰρ, ἥτις Ἑλλάδ' αὐτοῖς Φρυξὶ διελυμήνατο;
ΟΡ. Ὄμοσον, (εἰ δὲ μὴ, κτενῶ σε,) μὴ λέγειν ἐμὴν χάριν.
ΦΡ. Τὴν ἐμὴν ψυχὴν κατώμοσ', ἣν ἂν εὐορκοῖμ' ἐγώ.
ΟΡ. Ὧδε κᾀν Τροίᾳ σίδηρος πᾶσι Φρυξὶν ἦν φόβος;
ΦΡ. Ἄπεχε φάσγανον· πέλας γὰρ δεινὸν ἀνταυγεῖ φόνον.
ΟΡ. Μὴ πέτρος γένῃ δέδοικας, ὥστε Γοργόν' εἰσιδών;
ΦΡ. Μὴ μὲν οὖν νεκρός· τὸ Γοργοῦς δ' οὐ κάτοιδ' ἐγὼ κάρα.
ΟΡ. Δοῦλος ὢν φοβεῖ τὸν Ἅιδην, ὅς σ' ἀπαλλάξει κακῶν;
ΦΡ. Πᾶς ἀνὴρ, κᾂν δοῦλος ᾖ τις, ἥδεται τὸ φῶς ὁρῶν.
ΟΡ. Εὖ λέγεις· σώζει σε σύνεσις· ἀλλὰ βαῖν' εἴσω δόμων.
ΦΡ. Οὐκ ἄρα κτενεῖς μ';
ΟΡ. Ἀφεῖσαι.
ΦΡ. Καλὸν ἔπος λέγεις τόδε.
ΟΡ. Ἀλλὰ μεταβουλευσόμεσθα.
ΦΡ. Τοῦτο δ' οὐ καλῶς λέγεις.
ΟΡ. Μῶρος, εἰ δοκεῖς με τλῆναι σὴν καθαιμάξαι δέρην·
Οὔτε γὰρ γυνὴ πέφυκας, οὔτ' ἐν ἀνδράσιν σύ γ' εἶ.
Τοῦ δὲ μὴ στῆσαί σε κραυγὴν οὕνεκ' ἐξῆλθον δόμων·
Ὀξὺ γὰρ βοῆς ἀκοῦσαν Ἄργος ἐξεγείρεται.
Μενέλεων δ' οὐ τάρβος ἡμῖν ἀναλαβεῖν εἴσω ξίφους.

---

1502. Οὐ γάρ;] ἐνδίκως διώλετο, ἥτις κ.τ. 1507. Γοργόνη] καὶ γὰρ οἱ βλέποντες τὸ τέρας ἐκεῖνο, ἀπελιθοῦντο. 1509. Ὃς ἀπαλλάξει κακῶν] τίνων; τῶν ἐκ τῆς δουλείας. Οὐκοῦν καὶ οἱ νῦν Ἕλληνες προσηκόντως ἔγνωσαν νῦν, ἢ ζεῖν ἐλευθέρως, ἢ θανεῖν καλῶς, τῆς δουλείας ἀπαλλαγέντες· τοιοῦτον γὰρ ἦν τὸ φρό-

ΦΡ. Δικαιότερον ἂν, εἴγε τρὶς ἀποθάνοι, καρατομαθεῖσα.

ΟΡ. Λόγῳ μὲν ἐκ δειλίας χαρίζῃ· ἔνδον δὲ κρύπτεις ἄλλο.

ΦΡ. Πῶς γὰρ, ἣ συναπώλεσε τοῖς Τρωσὶ καὶ τοὺς Ἕλληνας;

ΟΡ. Ὅμοσον, εἰ βούλει ζῆν, μηδὲν πρὸς χάριν λέγειν.

ΦΡ. Τὴν ἐμὴν, ὦ δέσποτα, ψυχήν· ὃς μέγιςος ἔμοιγ᾽ ὅρκος.

ΟΡ. Οὕτω κἀν Τροίᾳ ἐδεδίεθ᾽ ὑμεῖς τὸ ξίφος;

ΦΡ. Ἆ, ἆ· μή μοι πρόσαγε τοῦτο· δεινὸν γὰρ ἀςράπτει φόνον.

ΟΡ· Μὴ Γοργών ἐςι τοῦτο, ὥστε ἀπολιθοῦν σε;

ΦΡ. Νεκρὸν μὲν ποιεῖ τοῦτο· τὸ δὲ τῆς Γοργοῦς οὐκ οἶδα.

ΟΡ. Καὶ μὴν δοῦλος ὢν, τί ποθ᾽ οὕτως ἀποδειλιᾷς πρὸς τὸν θάνατον, ὃς ἀπαλλάξει σε τῆς δουλείας;

ΦΡ. Ἐξ ἴσου καὶ δούλῳ ἥδιστον τὸ φῶς ὁρᾷν τοῦ ἡλίου.

ΟΡ. Εὖγε· εἴσελθε εἴσω, φρονήσει διασωθείς.

ΦΡ Οὐκ ἄρ᾽ ἀποκτενεῖς με;

ΟΡ. Πώμαλα.

ΦΡ. Ὡς ἥδιςος λόγος οὗτος.

ΟΡ. Ἀλλὰ μεταβαλοῦμαι.

ΦΡ. Πικρότατον τοῦτο πάντως.

ΟΡ. Ὦ μῶρε· πῶς γὰρ οἴημε καταδέξασθαι τὴν σὴν τεμεῖν κεφαλὴν, ὃς οὔτ᾽ ἀνὴρ, οὔτε γυνὴ ὅλως εἶ; ἡ δ᾽ ἐμὴ σπουδὴ δεῦρο ἦν, μὴ ἐξενεγκεῖν σε ἔξω τὰ τεπραγμένα· τὸ γὰρ ὀξὺ τῆς φωνῆς πᾶσαν τὴν πόλιν διήγειρεν ἂν ἐφ᾽ ἡμᾶς· ὅσον δ᾽ ἕνεκα Μενελάου οὐδεὶς ἡμῖν ἀγών· οὐ γὰρ πολλῆς ἡμῖν δεήσει σπουδῆς αὐτοῦ κρατῆσαι· ἐλ-

---

νημα τῶν προγόνων ἡμῶν. τί οὖν ἄν τις μέμψαιτο; 1516. Οὔτε γὰρ γυνὴ] ἐντεῦθεν συνάγεται εὐνοῦχον εἶναι τὸν Φρύγα, εἰ μήτι διὰ δειλίαν αὐτοῦ κα-

Ἀλλ' ἴτω ξανθοῖς ἐπ' ὤμων βοστρύχοις γαυρούμενος·
Εἰ γὰρ Ἀργείους ἐπάξει τοῖσδε δώμασιν λαβὼν,
Τὸν Ἑλένης φόνον διώκων, κἀμὲ μὴ σώζειν θέλει,
Ξύγγονόν τ' ἐμὴν, Πυλάδην τε τὸν τάδε ξυνδρῶντά μοι,
Παρθένον τε καὶ δάμαρτα δύο νεκρὼ κατόψεται.
ΧΟ. Ἰὼ ἰὼ τύχα, ἕτερον εἰς ἀγῶν' (Ἀντ.)
Ἕτερον αὖ δόμος
Φοβερὸν ἀμφὶ τοὺς Ἀτρείδας πιτνεῖ.
ΗΜ. Τί δρῶμεν; ἀγέλλωμεν ἐς πόλιν τάδε;
Ἢ σῖγ' ἔχωμεν;
ΗΜ. Ἀσφαλέστερον, φίλαι.
ΗΜ. Ἴδε πρὸ δωμάτων, ἴδε προκηρύσσει
Θοάζων ὅδ' αἰθέρος ἄνω καπνός.
ΗΜ. Ἅπτουσι πεύκας, ὡς πυρώσοντες δόμους
Τοὺς Ταντα λίους, οὐδ' ἀφίστανται φόνου.
ΗΜ. Τέλος ἔχει δαίμων
Βροτοῖς, τέλος ὅπα θέλει.
Μεγάλα δέ τις ἁ δύναμις δὶ ἀλάστορ'
Ἔπαισ' ἔπαισε μέλαθρα τάδε δ' αἱμάτων
Διὰ τὸ Μυρτίλου πέσημ' ἐκ δίφρου.
ΧΟ. Ἀλλὰ μὴν καὶ τόνδε λεύσσω Μενέλεων δόμων πέλας
Ὀξύπουν, ᾐσθόμενον που τὴν τύχην, ἣ νῦν πάρα·
Οὐκέτ' ἂν φθάνοιτε κλῇθρα συμπεραίνοντες μοχλοῖς,
Ὦ κατὰ στέγας Ἀτρεῖδαι; δεινὸν εὐτυχῶν ἀνὴρ
Πρὸς κακῶς πράσσοντας, ὡς σὺ νῦν, Ὀρέστα, δυστυχεῖς·
ΜΕ. Ἥκω κλύων τὰ δεινὰ καὶ δραστήρια
Δισσοῖν λεόντοιν· οὐ γὰρ ἄνδρ' αὐτὼ καλῶ.
Ἤκουσα γὰρ δὴ τὴν ἐμὴν ξυνάορον,
Ὡς οὐ τέθνηκεν, ἀλλ' ἄφαντος οἴχεται,
Κενὴν ἀκούσας βάξιν, ἣν φόβῳ σφαλεὶς
Ἤγγειλέ μοί τις· ἀλλὰ τοῦ μητροκτόνου

θέτω, ὡς πολὺν ἐπὶ τῶν ὤμων καθειμένος τὸν βόςρυχον· εἰ δὲ καὶ Ἀργείους ἐλθὼν ἀπάξει, τῷ τῆς Ἑλένης ἐπεξιὼν φόνῳ, καὶ μὴ ἐθελήσει ἡμᾶς διασῶσαι, δύο ἅμα νεκροὺς ἐπαλλήλους κατόψεται, ἐπὶ τῆς Ἑλένης καὶ τὴν Ἑρμιόνην.

ΧΟ. Ἰὼ, ἰώ· ἀγὼν ἀγώνων διάδοχος αὖθις φοβερώτερος οὗτος Ἀτρείδαις ἐπαπειλεῖται.

ΗΜ. Τί οὖν ἡμῖν πρακτέον; πότερον, ἀπαγγέλλωμεν ταῦτ' ἐς τὴν πόλιν, ἢ μένωμεν ἡσυχῇ;

ΗΜ. Ἀσφαλέστερον ἔμοιγε δοκεῖ ἡσυχάζειν.

ΗΜ. Ἀλλ' ἴδε πρὸ τῶν δωμάτων καπνὸς ἐκεῖνος ἀποθρώσκει ἄνω πρὸς τὸν αἰθέρα.

ΗΜ. Δᾶδας ἐοίκασιν ἅπτειν, ὡς τήνδε τὴν οἰκίαν ἐμπρῆσαι. ἀλλ' οὐδὲ τοῦ φονεύειν ἀφίςανται.

ΗΜ. Ἡ τύχη ἄρα διακυβερνᾷ τὰ ἀνθρώπινα, τελευτῶσα, ὅπῃ γε θέλῃ· δαίμων δέ τις ἀλάςωρ τῷ Ταντάλιδῶν ἰσχυρῶς προσέβαλεν οἴκῳ, τῷ τοῦ Μυρτίλου ἐπεξιὼν θανάτῳ.

ΧΟ Ἀλλ' ἴδ' ἐκεῖνος Μενέλαος σπουδῇ πρόσεισιν· ἤσθεθ', ὡς ἔοικε, τὰ πραττόμενα· ἀλλ' ὑμεῖς οἱ ἔνδον ὄντες Ἀτρεῖδαι οὐκ ἂν φθάνοιτε ἐπιζυγώσαντες αὐτῷ κατὰ τοῦ προσώπου τὰς πύλας; ἀνὴρ γὰρ εὐτυχῶν ἰσχυρὸς πρὸς ὑμᾶς, κακῶς ἤδη πράσσοντας.

ΜΕ. Μεγάλα καὶ δεινὰ ἀκούσας τοῖν δυοῖν τούτοιν πεπρᾶχθαι λεόντοιν ὧδε (οὐ γὰρ ἀνθρώπους τούτους ἂν εἴποιμι ἔγωγε), ἥκω· φασὶ γὰρ τὴν ἐμὴν γυναῖκα οὐ τεθνηκέναι, ἀλλ' ἄφαντον οἴχεσθαι· ψευδῆ γε μὴν ταῦθ' ὁ ἀπαγγείλας εἶπε, σφαλεὶς ἐκ φόβου τῆς ἀληθείας· τέχνη δ' ἐςὶ μᾶλλον

Τεχνάσματ' ἐστὶ ταῦτα καὶ πολὺς γέλως.
Ἀνοιγέτω τις δῶμα, προσπόλοις λέγω
Ὠθεῖν πύλας τάσδ', ὡς ἂν ἀλλὰ παῖδ' ἐμὴν
Λάβωμεν, ἣ δεῖ ξυνθανεῖν ἐμῇ χερὶ
Τοὺς διολέσαντας τὴν ἐμὴν ξυνάορον.
ΟΡ. Οὗτος σὺ, κλήθρων τῶνδε μὴ ψαύσῃς χερὶ,
Μενέλαον εἶπον, ὃς πεπύργωσαι θράσει·
Ἢ τῷδε θριγκῷ κρᾶτα συνθραύσω σέθεν,
Ῥήξας παλαιὰ γεῖσα, τεκτόνων πόνον.
Μοχλοῖς δ' ἄραρε κλῆθρα, σῆς βοηδρόμου
Σπουδῆς ἅ σ' εἴρξει, μὴ δόμων ἔσω περᾷν.
ΜΕ· Ἔα, τί χρῆμα; λαμπάδων ὁρῶ σέλας,
Δόμων δ' ἐπ' ἄκρων τούσδε πυργηρουμένους,
Ξίφος δ' ἐμῆς θυγατρὸς ἐπίφρουρον δέρῃ.
ΟΡ. Πότερον ἐρωτᾷν, ἢ κλύειν ἐμοῦ θέλεις;
ΜΕ· Οὐδέτερ'· ἀνάγκη δ', ὡς ἔοικε, σοῦ κλύειν.
ΟΡ. Μέλλω κτανεῖν σου θυγατέρ', εἰ βούλει μαθεῖν.
ΜΕ Ἑλένην φονεύσας, ἐπὶ φόνῳ πράσσεις φόνον;
ΟΡ. Εἰ γὰρ κατέσχον, μὴ θεῶν κλεφθεὶς ὕπο!
ΜΕ· Ἀρνῇ κατακτὰς, κἀφ' ὕβρει λέγεις τάδε;
ΟΡ. Λυπράν γε τὴν ἄρνησιν· εἰ γὰρ ὤφελον —

---

κατειρωνεύεται. 1550. Καὶ πολὺς γέλως] ἔξω πάσης πίστεως καὶ πολλὴ εἰρωνεία. 1552. Ὡς ἂν ἀλλὰ] ὁ Ἀλλὰ ἔστω μειωτικὸς ἐνταῦθα ἀντὶ τοῦ Γοῦν, ἢ Γέ. 1553. Ἣ δεῖ ξυνθανεῖν] τὸ Ἣ ἀναφερέσθω πρὸς τὴν Ἑλένην· ἢ καὶ τοπικῶς ἐκληφθήτω ἀντὶ τοῦ Ἔνθα. ἐπειδὴ ἕπεται τὸ ξυνάορος. 1557. Θριγκῷ] θριγκός ἐστιν ἡ ἀνωτάτω τοῦ τοίχου στεφάνη, οἷον ἐπικόσμημα ἐξέχουσα· συγκέχυται δὲ πρὸς τὸ Γεῖσα· δοκεῖ δὲ τὸ Γεῖσα γενικώτερον εἶναι, ὡς δὴ καὶ τὰ ἐπὶ τῶν θριγκῶν ξύλα σημαῖνον, ἐξ ὧν ὁ αὐτὸς λέγει παρακατιὼν

τὰ τοιαῦτα τοῦ μητραλοίου, καὶ γέλως πολύς. Ἀνοιγέτω τις, ὑμῖν λέγω τοῖς προσπόλοις, ὠθεῖτ', ἀράσσατε θύρας· ὡς ἂν τὴν μὲν παῖδα τὴν ἐμαυτοῦ διασώσαιμι χειρῶν μιαιφόνων· τὸν δὲ τῆς γυναικὸς νεκρὸν λάβοιμι· ἐφ' ἧς δεῖ πεσεῖν ὑπὸ τῷ ἐμῷ βραχίονι τουτωῒ τοὺς πεπραχότας ταῦτα.

**ΟΡ.** Οὗτος, μὴ ψαύσῃς σύγε τῶν κλείθρων τούτων· σέ φημι τὸν Μενέλαον· ὃς θράσει ῥαγδαίῳ ὥρμησας ἐφ' ἡμᾶς. εἰ δὲ μὴ, αὐτίκα μάλα τῷδε τῷ θριγκῷ, ἀποῤῥήξας τῶν γείσων, διαλύσω σου τὸ κρανίον· τὰ δὲ κλεῖθρα συνήρμοςαι τοῖς μοχλοῖς, ὥς' οὐκέτι σοι εἶναι εἰσιτητέα ὧδε·

**ΜΕ.** Ἔα· τί τοῦθ' ὁρῶ; λαμπάδας ἡμμένας, τουτουσὶ δ' αὖ ἐπ' ἄκρων τῶν δωμάτων ὡς ἐν πύργῳ φρουρουμένους· τὸ δὲ ξίφος ἐκεῖνο τῷ τῆς ἐμῆς θυγατρὸς λαιμῷ ἐπικείμενον· τί ταῦτα;

**ΟΡ.** Πότερον ἐρωτᾷν, ἢ ἀκούειν μᾶλλον ἐμοῦ ἐθέλεις;

**ΜΕ.** Οὐδέτερον· ἀλλ' ἀνάγκη ἐςὶν ἀκούειν.

**ΟΡ.** Ἴσθι τοίνυν τὴν σαυτοῦ θυγατέρα σφαγισομένην.

**ΜΕ.** Ἑλένῃ σφαγείσῃ καὶ τοῦτο αὐτὸς προσεπιδράσεις;

**ΟΡ.** Ἐκείνην μὲν οὒ, τῶν θεῶν ἐξαρπασάντων.

**ΜΕ.** Ψευδῆ ταῦτα· καὶ πρὸς εἰρωνείαν μοι προφέρεις.

**ΟΡ.** Ὡς ὤφελον οὕτως, ἀλλ' ἀνόνητον τὸ ψεῦδος.

---

(ςιχ. 1608.) Πυλάδη, κάταιθε γεῖσα τειχέων τάδε. 1565 Οὐδέτερο] συναρπαγεὶς τῷ θυμῷ, ἀρνεῖται· εἶτα συνεὶς τὴν ἀνάγκην, ὑποχαλᾷ τὸν τόνον· 1568. Εἰ γὰρ κατέσχον] εἰ ἐδυνάμην κατασχεῖν, ἀνεῖλον ἄν. νῦν δὲ τῶν θεῶν αὐτὴν ἐξαρπασάντων, ζῇ ἐκείνη γέ σοι· δύναται δὲ τὸ, Εἰ, ἐκληφθῆναι καὶ εὐχετικῶς. Εἴθε. 1570. Λυπράν γε τὴν ἄρνησιν] λυπεῖ με ἡ ἄρνησις αὕτη, ὅτι ἐστιν ψευδὴς ὁ λόγος· εἴθε δὲ ἦν ἀληθὴς, ἵνα ᾖ ἡ Ἑλένη ἀποθανοῦσα,

ΜΕ. Τί χρῆμα δρᾶσαι; παρακαλεῖς γὰρ ἐς φόβον.
ΟΡ. Τὴν Ἑλλάδος μιάστορ' εἰς ᾅδου βαλεῖν!
ΜΕ. Ἀπόδος δάμαρτος νέκυν, ὅπως χώσω τάφῳ.
ΟΡ. Θεοὺς ἀπαίτει· παῖδα δὲ κτενῶ σέθεν.
ΜΕ. Ὁ μητροφόντης ἐπὶ φόνῳ πράσσει φόνον.
ΟΡ. Ὁ πατρὸς ἀμύντωρ, ὃν σὺ προὔδωκας θανεῖν.
ΜΕ. Οὐκ ἤρκεσέν σοι τὸ παρὸν αἷμα μητέρος;
ΟΡ. Οὐκ ἂν κάμοιμι τὰς κακὰς κτείνων ἀεί.
ΜΕ. Ἦ καὶ σὺ Πυλάδη, τοῦδε κοινωνεῖς φόνου;
ΟΡ. Φησὶν σιωπῶν· ἀρκέσω δ' ἐγὼ λέγων.
ΜΕ. Ἀλλ' οὔτι χαίρων, ἤν γε μὴ φύγῃς πτεροῖς.
ΟΡ. Οὐ φευξόμεσθα· πυρὶ δ' ἀνάψομεν δόμους.
ΜΕ. Ἦ γὰρ πατρῷον δῶμα πορθήσεις τόδε;
ΟΡ. Ὡς μὴ γ' ἔχῃς σὺ, τήνδ' ἐπισφάξας πυρί.
ΜΕ. Κτεῖν'· ὡς κτανών γε, τῶνδέ μοι δώσεις δίκην.
ΟΡ. Ἔσται τάδ'.
ΜΕ. Ἆ, ἆ, μηδαμῶς δράσῃς τάδε.
ΟΡ. Σίγα νυν· ἀνέχου δ' ἐνδίκως πράσσων κακῶς.
ΜΕ. Ἦ γὰρ δίκαιον ζῆν σε;
ΟΡ. Καὶ κρατεῖν γε γῆς.
ΜΕ. Ποίας;
ΟΡ. Ἐν Ἄργει τῷδε τῷ Πελασγικῷ.
ΜΕ. Εὖ γ' οὖν θίγοις ἂν χερνίβων. —
ΟΡ. Τί δὴ γὰρ οὔ;
ΜΕ. Καὶ σφάγια πρὸ δορὸς καταβάλοις.

---

1584. Ὡς μήγ' ἔχῃς σὺ] ἐμπρήσω, φησὶν, ἵνα μὴ ἔχῃς σὺ, καὶ ἐπὶ τοῦ πυρὸς ἐπισφάξας τὴν σὴν Ἑρμιόνην, κατακαύσω· τὸ δὲ ἐπισφάξας ἀπόδος εἰς τὸ

ΜΕ. Τί ποτ' εὐχή; φόβον γάρ μοι ἐμβάλλει τοῦτο.
ΟΡ. Τὴν τῆς Ἑλλάδος Ἐριννὺν πρὸς τοὺς ἐν ᾅδου πέμψαι.
ΜΕ. Ἀπόδος μοι τὸν νεκρὸν, ὡς συγκαλύψω τάφῳ.
ΟΡ. Παρὰ θεῶν ἀπαίτει· τὴν δὲ Ἑρμιόνην σφάξω.
ΜΕ. Ὁ μητραλοίας φόνῳ ἐπιβουλεύει φόνον.
ΟΡ. Πατρὶ γὰρ τιμωρῶ, προδοθεὶς ὑπὸ σοῦ.
ΜΕ. Οὐχ ἅλις σοι τὸ τῆς μητρὸς αἷμα πρώην;
ΟΡ. Οὐ γὰρ δεῖ κάμνειν τὰς κακὰς ἀναιροῦντα.
ΜΕ. Καὶ σὺ, ὦ Πυλάδη, κοινωνὸς εἶ τοῦ φόνου;
ΟΡ. Νεύει σιωπῶν, κἂν ἐγὼ μόνος λέγω.
ΜΕ. Ἀλλ' οὐ χαιρήσεις, ἢν μὴ πτεροῖς που φύγῃς.
ΟΡ. Φυγῆς μὲν οὐ φροντίς· τὸν δ' οἶκον ἐμπρήσομεν.
ΜΕ. Τὸν πατρῷον σύγε τολμήσεις καταφλέξαι;
ΟΡ. Ἵνα μὴ σὺ ἔχῃς· ἐπὶ δὲ τοῦ πυρὸς σφάξω τὴν Ἑρμιόνην.
ΜΕ. Σφάξον· ἀλλ' αὐτίκα σὺ δώσεις δίκην.
ΟΡ. Κελεύεις; αὐτίκα δὴ μάλα κατόψει τοῦτο.
ΜΕ. Ἆ, ἆ, μὴ πρὸς θεοῦ δράσῃς τοῦτο.
ΟΡ. Οὐκοῦν φέρ' ἡσύχως, ἃ δίκαιόν σε φέρειν.
ΜΕ. Τί δέ; δίκαιόν ἐστι ζῆν σε οὕτω;
ΟΡ. Οὐχ ὅπως, ἀλλὰ πρὸς τούτῳ γε καὶ ἄρχειν.
ΜΕ. Πῶς; ποῦ δήποτε πράξεις τοῦτο;
ΟΡ. Ἐν Ἄργει τῷ Πελασγικῷ.
ΜΕ. Καλῶς οὖν ἅψῃ τῶν χερνίβων.
ΟΡ. Τί γὰρ οὐχί;
ΜΕ. Καλῶς δὲ καὶ σφαγιάσεις πρὸ τοῦ πολέμου.

---

ἐννοούμενον πορθήσω. 1596. Ἔσται τάδε] χωρεῖ Ὀρέστης εἰς τὴν σφαγήν· ὁ δὲ ἐκπληττόμενος κωλύει. 1590. Εὖγε θίγοις] ἐν ἤθει καὶ εἰρωνείᾳ τοῦτο

ΟΡ. Σὺ δ' ἂν καλῶς;
ΜΕ. Ἀγνὸς εἰ γράμι χεῖρας.
ΟΡ. Ἀλλ' οὐ τὰς φρένας.
ΜΕ. Τίς δ' ἂν προσείποι σ';
ΟΡ. Ὅστις ἐστὶ φιλοπάτωρ.
ΜΕ. Ὅστις δὲ τιμᾷ μητέρ';
ΟΡ. Εὐδαίμων ἔφυ.
ΜΕ. Οὔκουν σύ γ'.
ΟΡ. Οὐ γὰρ ἀνδάνουσιν αἱ κακαί.
ΜΕ. Ἄπαιρε θυγατρὸς φάσγανον.
ΟΡ. Ψευδὴς ἔφυς.
ΜΕ. Ἀλλὰ κτενεῖς μου θυγατέρ';
ΟΡ. Οὐ ψευδὴς ἔτ' εἶ.
ΜΕ. Οἴμοι, τί δράσω;
ΟΡ. Πεῖθ' ἐς Ἀργείους μολών.
ΜΕ. Πειθὼ τίν';
ΟΡ. Ἡμᾶς μὴ κτανεῖν αἰτοῦ πόλιν.
ΜΕ. Ἢ παῖδά μου φονεύσεσθ';
ΟΡ. Ὧδ' ἔχει τάδε.
ΜΕ. Ὦ τλῆμον Ἑλένη —
ΟΡ. Τἀμὰ δ' οὐχὶ τλήμονα;
ΜΕ. Σὲ σφάγιον ἐκόμισ' ἐκ Φρυγῶν —
ΟΡ. Εἰ γὰρ τόδ' ἦν!
ΜΕ. Πόνους πονήσας μυρίους.
ΟΡ. Πλὴν γ' εἰς ἐμέ.

---

ἐπειδὴ πρὸ τοῦ θύειν ἐνίβοντο οἱ βασιλεῖς. 1594. Εὐδαίμων ἔφυ] εὐτυχὴς μὲν οὗτος ἀγαθῆς μητρὸς παῖς ὤν· ἐγὼ δ' οὐκ εὐτύχησα τοῦτο· οὐ γὰρ ἀρέσκομαι

ΟΡ. Σὺ δ' αὐτὸς, καλῶς;

ΜΕ. Καθαρὸς γάρ εἰμι τὰς χεῖρας.

ΟΡ. Ἀλλ' οὐ και τὴν καρδίαν.

ΜΕ. Τίς ἄν σε τῶν πάντων προσείποι;

ΟΡ, Πᾶς φιλοπάτωρ.

ΜΕ. Ὁ δὲ φιλομήτωρ;

ΟΡ. Εὐτυχὴς ἔσθ' οὗτος.

ΜΕ. Σὺ δ' ὅμως οὔ.

ΟΡ. Μισῶ γὰρ τὰς κακάς.

ΜΕ. Ἄπαγε τὸ ξίφος ἀπὸ τῆς θυγατρός μου.

ΟΡ. Οὐκ ἂν τύχοις.

ΜΕ. Ἀλλ' ἀποκτενεῖς ταύτην;

ΟΡ. Οὕτως ἂν τύχοις.

ΜΕ. Οἴμοι τί δράσω;

ΟΡ. Ἀργείους ἐλθὼν πεῖθε.

ΜΕ. Τί δήποτε κελεύεις;

ΟΡ. Ἀποψηφίσασθαί μου.

ΜΕ. Εἰ δὲ μὴ, φονεύσετε τὴν παῖδα;

ΟΡ. Οὕτω, κοὐκ ἄλλως ἕξει τοῦτο.

ΜΕ. Ὦ τλῆμον Ἑλένη.

ΟΡ. Τἀμὰ δ' οὐχ οὕτως ἔχει;

ΜΕ. Ἣν ἤγαγον ἐκ Τροίας σφάγιον ἐσομένην —

ΟΡ. Ὡς ὤφειλον τοῦτο δρᾶσαι.

ΜΕ. Πόνους ἐκ πόνων μυρίους ὑπομείνας.

ΟΡ. Οὐδένα δὲ δι' ἐμέ γε.

---

ταῖς κακαῖς· 1608. Εἰ γὰρ τόδ' ἦν] εἴθε τοι τοῦτο ἦν· ἀλλ' οὐκ ἔστιν, ἐκείνης ἀναρπαγείσης. 1602. Πλὴν γ' εἰς ἐμὲ] περὶ ἐκείνης μὲν πολλὰ τυγχάνεις

ΜΕ. Πέπονθα δεινά.

ΟΡ. Τότε γὰρ ἦσθ' ἀνωφελής.

ΜΕ. Ἔχεις με.

ΟΡ. Σαυτὸν σύ γ' ἔλαβες, κακὸς γεγώς.

Ἀλλ' εἶ', ὕφαπτε δώματ', Ἠλέκτρα, τάδε·

Σύ τ', ὦ φίλων μοι τῶν ἐμῶν σαφέστατε,

Πυλάδη κάταιθε γεῖσα τειχέων τάδε.

ΜΕ. Ὦ γαῖα Δαναῶν, ἱππίου τ' Ἄργους κτίται,

Οὐκ εἶ' ἐνόπλῳ ποδὶ βοηδρομήσετε;

Πᾶσαν γὰρ ὑμῶν ὅδε βιάζεται πόλιν

Ζῆν, αἷμα μητρὸς μυσαρὸν ἐξειργασμένος.

ΑΠ. Μενέλαε, παῦσαι λῆμ' ἔχων τεθηγμένον,

Φοῖβός σ' ὁ Λητοῦς παῖς ὅδ' ἐγγὺς ὢν καλῶ,

Σύ θ', ὃς ξιφήρης τῇδ' ἐφεδρεύεις κόρῃ,

Ὀρέσθ', ἵν' εἰδῇς, οὓς φέρων ἥκω λόγους.

Ἑλένην μὲν ἣν σὺ διολέσαι πρόθυμος ὤν,

Ἥμαρτες, ὀργὴν Μενέλεῳ ποιούμενος,

Ἥδ' ἐστὶν, ἣν ὁρᾶτ' ἐν αἰθέρος πτυχαῖς,

Σεσωσμένη τε, κοὐ θανοῦσα πρὸς σέθεν.

Ἐγώ νιν ἐξέσωσα, κἀπὸ φασγάνου

Τοῦ σοῦ κελευσθεὶς ἥρπασ' ἐκ Διὸς πατρός.

Ζηνὸς γὰρ οὖσαν ζῆν νιν ἄφθιτον χρεὼν,

Κάστορί τε Πολυδεύκει τ' ἐν αἰθέρος πτυχαῖς

Ξύνθακος ἔσται, Ναυτίλοις σωτήριος.

---

ποιήσας· εἰς ἐμὲ δὲ οὐδέν· οὐκοῦν οἰστέον σοι τὰ παρόντα· 1614. Κάταιθε] κα-

ΜΕ. Δεινὰ δεινὰ πάσχω.

ΟΡ. Οὐ γὰρ ὠφέλησάς με.

ΜΕ. Νενίκηκάς με.

ΟΡ. Αὐτὸς σεαυτὸν, κακὸς ὤν. Ἀλλ᾽ ἄγ᾽, ὦ Ἠλέκτρα, σύγε, ὕφαπτε τὰ δώματα ταῦτα· καὶ σύγ᾽, ὦ Πυλάδη, πάντων τῶν ἐμῶν φίλων συνετώτατε, κατάκαυσον γεῖσα ταῦτα.

ΜΕ. Ὦ γῆ Δαναῶν, καὶ ὑμεῖς οἱ κατοικοῦντες Ἄργος, οὐ φθάσετε σὺν ὅπλοις; οὗτος γὰρ, τὴν ἑαυτοῦ μητέρ᾽ ἀνελὼν, βίᾳ πάντων ὑμῶν καὶ τῶν νόμων ἐθέλει ζῆν.

ΑΠ. Μενέλαε, πραΰνου, μηκέτι θυμῷ δουλεύων· Φοῖβος δ᾽ ἐγὼ ὅδ᾽ αὐτὸς ὁ Λητοῦς καλῶ σε· καὶ σύγ᾽ Ὀρέστα ὁ τὸ ξίφος ἐπὶ τὴν κόρην πρόκωπον ἐπηρκὼς, ἵν᾽ εἰδῆτε ἄμφω, ἃ ἥκω ἡμῖν ἐρῶν. Ἑλένην μὲν, ἣν σὺ, χαλεπήνας Μενελάῳ, σπουδάσας ἀνελεῖν, ἀπέτυχες, ὁρᾶτε δήπου σεσωσμένην μεταξὺ τοῦ αἰθέρος· ἐγὼ γὰρ Διὸς κελεύσαντος, ἀνήρπασ᾽ αὐτὴν τοῦ σοῦ ξίφους· δεῖν γὰρ αὐτὴν ἀθάνατον ζῆν, Ζηνὸς οὖσαν παῖδα, Κάστορι καὶ Πολυδεύκῃ τοῖς ἀδελφοῖς σύνεδρον ἐν οὐρανῷ ἐσομένην, πλωϊζομένοις

---

τάφλεγε, ἄναψον τὰ γεῖσα. ἄρα ἐνταῦθα τὰ ἐπὶ τῶν τοίχων μεγάλα ξύλα, οἷον δοκοί, ἀμείβοντες, συςάται· ἢ τὰ ἐξέχοντα μέρη τῆς στέγης πρὸς ἀπαλέξησιν τοῦ ὑετοῦ. 1610. Οὐκ εἶα] παροτρυντικὸν τοῦτο μόριον Εἶα μάλα, εἰς ὁρμήν· ἐν ἄλλοις δὲ κεῖται Οὔκουν. 1613. Λῆμα] φρόνημα ὠργισμένον· ἐνταῦθα γίγνεται ἡ λύσις τοῦ ὅλου δράματος ἔξωθεν ἐκ θείας δυνάμεως 1623. Ζηνος ζῆν] δοκεῖ δὲ ἐκ τῆς λέξεως Ζηνὸς ζῆν αὐτὴν προσήκειν λέγειν μᾶλλον, ἢ ὅτι θυγάτηρ ἦν αὐτοῦ· κομψεύεται γὰρ πολλαχῇ τοῖς

Ἄλλην δὲ νύμφην ἐς δόμους κτῆσαι λαβών;
Ἐπεὶ θεοὶ τῷ τῆσδε καλλιστεύματι
Ἕλληνας εἰς ἓν καὶ Φρύγας ξυνήγαγον,
Θανάτους τ' ἔθηκαν, ὡς ἀπαντλοῖεν χθονὸς
Ὕβρισμα θνητῶν, ἀφθόνου πληρώματος.
Τὰ μὲν καθ' Ἑλένην ὧδ' ἔχει· σὲ δ' αὖ χρεὼν,
Ὀρέστα, γαίας τῆσδ' ὑπερβαλόνθ' ὅρους,
Παῤῥάσιον οἰκεῖν δάπεδον κύκλον.
Κεκλήσεται δὲ σῆς φυγῆς ἐπώνυμον
Ἀζᾶσιν Ἀρκάσιν τ' Ὀρέστειον καλεῖν.
Ἐνθένδε τ' ἐλθὼν τὴν Ἀθηναίων πόλιν,
Δίκην ὑπόσχες αἵματος μητροκτόνου
Εὐμενίσι τρισσαῖς· θεοὶ δὲ σοι δίκης βραβεῖς
Πάγοισιν ἐν Ἀρείοισι εὐσεβεστάτην
Ψῆφον διοίσουσ', ἔνθα νικῆσαί σε χρή.
Ἐφ' ἧς δ' ἔχεις, Ὀρέστα, φάσγανον δέρῃ,
Γῆμαι πέπρωταί σ' Ἑρμιόνην· ὃς δ' οἴεται
Νεοπτόλεμος γαμεῖν νιν, οὐ γαμεῖ ποτέ.
Θανεῖν γὰρ αὐτῷ μοῖρα Δελφικῷ ξίφει,
Δίκας Ἀχιλλέως πατρὸς ἐξαιτοῦντί με.
Πυλάδῃ δ' ἀδελφῆς λέκτρον, ᾧ ποτ' ἤνεσας,
Δός· ὁ δ' ἐπιών νιν βίοτος εὐδαίμων μένει.
Ἄργους δ' Ὀρέστην, Μενέλεως, ἔα κρατεῖν,
Ἐλθὼν δ' ἄνασσε Σπαρτιάτιδος χθονὸς,

ὀνόμασιν Εὐριπίδης. 1627. Καλλιστεύματι] Ἡ γῆ ἀνήνεγκε, φασὶ, πρὸς τὸν Δία, μηκέτι δύνασθαι φέρειν τὸ πλῆθος τῶν ἀνθρώπων, καὶ τὰς παρανο-

πρὸς σωτηρίαν· σὺ δ' ἑτέραν σεαυτῷ μνηςεύσῃ γυναῖκα· θεοὶ γὰρ τῷ κάλλει ταύτης συνέβαλον πρὸς ἀλλήλους, Ἕλληνάς τε καὶ Φρύγας, ἵνα πολλοῦ τε ὄχλου τὴν γῆν ἀπαλλάξωσι, καὶ τῶν ἀμπλακημάτων αὐτῶν καὶ παρανομημάτων αὐτὴν ἐκκαθάρωσι· τὰ μὲν οὖν κατὰ τὴν Ἑλένην ὧδ' ἔχει. Σὺ δὲ, ὦ Ὀρέςα, τοὺς τῆς γῆς ταύτης ὅρους ὑπερβαλὼν, μένε εἰς Παῤῥάσιον ἐλθὼν ὅλον ἐνιαυτόν· ἐξ οὗ ἡ πόλις ἐκείνη σχήσει ἐπωνυμίαν, παρά τε Ἀζᾶσι καὶ Ἀρκάσιν Ὀρέςειον μετονομασθεῖσα. Ἐντεῦθεν δὲ ἐπανελθὼν Ἀθήναζε, δικάζου δίκην μητροκτονίας ἐν Ἀρείῳ πάγῳ πρὸς τὰς Εὐμενίδας παρὰ τοῖς θεοῖς· ὧν εὐσεβεςάτην ψῆφον διενεγκόντων, αἱρήσεις· Ἑρμιόνην δὲ, ἐφ' ἣν ἤδη πρὸς τῷ τραχήλῳ πρόκωπον φέρεις ξίφος, σοὶ πέπρωται ταύτην γῆμαι. Νεοπτόλεμος γὰρ, ὃς ἐλπίζει ἕξειν αὐτὴν, οὐκ ἂν τύχοι· εἵμαρται γὰρ αὐτῷ ξίφει ἀποθανεῖν ἐν Δελφοῖς, δίκας πατρῴου φόνου παρ' ἐμοῦ ἐξαιτοῦντα. Ἠλέκτραν δὲ τὴν ἀδελφὴν κατὰ τὴν ὑπόσχεσιν δὸς Πυλάδῃ· ὃς ἀεὶ ἐς τοὐπιὸν εὐδαιμονήσει· σὺ δ', ὦ Μενέλαε, ἔα Ὀρέστην Ἀργείων ἄρχειν, εἰς Σπάρτην τὸ

---

μίας αὐτῶν· καὶ διὰ τοῦτο ἱκέτευεν ἀνακούφισιν ἀπὸ τούτων εὑρέσθαι· ὃ οἱ θεοὶ δεξάμενοι, προὔβαλον εἰς μέσον τοιοῦτον κάλλος τὸ τῆς Ἑλένης, ἵνα πολέμου γενομένου, ἐξαλείψειαν ἀπὸ τῆς γῆς τὸ πολὺ ἄχθος τῶν τε σωμάτων καὶ ἀσεβημάτων. 1633. Παῤῥάσιον] οἱ μὲν χωρίον, οἱ δὲ πόλιν φασὶ τοῦτο εἶναι. 1643. Νεοπτόλεμος] καθ' Ὅμηρον (Ὀδυσ. Δ'. ςίχ. 4.) ἔλαβε ταύτην εἰς γυναῖκα, πέμψαντος αὐτὴν Μενελάου Φθίαζε. 1645 Δίκας] ἴδε ταῦτα ἐν

Φερνὰς ἔχων δάμαρτος, ἥ σε μυρίοις
Πόνοις διδοῦσα δεῦρ' ἀεὶ διήνυσεν.
Τὰ πρὸς πόλιν δὲ τῷδ' ἐγὼ θήσω καλῶς,
Ὅς νιν φονεῦσαι μητέρ' ἐξηνάγκασα.

ΟΡ. Ὦ Λοξία μαντεῖε, σῶν θεσπισμάτων
Οὐ ψευδόμαντις ἦσθ' ἄρ', ἀλλ' ἐτήτυμος.
Καίτοι μ' ἐσῄει δεῖμα, μή τινος κλύων
Ἀλαστόρων δόξαιμι σὴν κλύειν ὄπα.
Ἀλλ' εὖ τελεῖται, πείσομαι δὲ σοῖς λόγοις.
Ἰδοὺ μεθίημ' Ἑρμιόνην ἀπὸ σφαγῆς,
Καὶ λέκτρ' ἐπήνεσ', ἡνίκ' ἂν διδῷ πατήρ.

ΜΕ. Ὦ Ζηνὸς Ἑλένη χαῖρε παῖ· ζηλῶ δέ σε
Θεῶν κατοικήσασαν ὄλβιον δόμον.
Ὀρέστα, σοὶ δὲ παῖδ' ἐγὼ κατεγγυῶ,
Φοίβου λέγοντος· εὐγενὴς δ' ἀπ' εὐγενοῦς
Γήμας, ὄναιο καὶ σὺ χὡ διδοὺς ἐγώ.

ΑΠ. Χωρεῖτε νῦν ἕκαστος, οἷ προστάσσομεν,
Νείκους τε διαλύεσθε.

ΜΕ. Πείθεσθαι χρεών.

ΟΡ. Κἀγὼ τοιοῦτος· σπένδομαι δὲ συμφοραῖς,
Μενέλαε, καὶ σοῖς, Λοξία, θεσπίσμασιν.

ΑΠ. Ἴτε νῦν καθ' ὁδὸν, τὴν καλλίστην

---

Ἀνδρομάχη. 1651. Διήνυσε] διήνυσε διδοῦσα, ταυτοσήμαντος φράσις τῷ, διατέλεσε διδοῦσα· ἡ δὲ θέσις μᾶλλον ὧδε· Ἥ σοι μυρίους πόνους ἀεὶ ἐς

ἑαυτοῦ κράτος περιορίσας· ἔνθ' ἀπολαύσεις τῶν πολλῶν ἀγαθῶν τῆς σαυτοῦ γυναικὸς, ὑπὲρ ἧς ἔτλης πολλὰ παθὼν μέχρι δεῦρο· οὕτω δὴ ταῦτ' ἐχέτω. Ὀρέστην δ' ἐμοὶ μελήσει διαλλάξαι πρὸς τοὺς Ἀργείους· ἐμοὶ γὰρ τοῦτο προσήκει, ὡς καταναγκάσαντι αὐτὸν μητροκτόνον γενέσθαι.

ΟΡ. Ὦ φοῖβ' Ἄπολλον, οὐκ ἄρα ψευδόμαντις σύγε εἶ, ἀλλ' ἀληθέστατος ἐν θεοπροπίαις· καίτοι δέος εἶχέ με μεταξὺ, μή τινος ἀλάστορος ἀκούων φωνῆς, τῆς σῆς δοκῶ ἀκούειν. ἀλλ' ἀγαθὸν ἡμῖν νῦν πάντ' ἔχει τέλος· πείθομαι τοῖς σοῖς λόγοις· ἰδοὺ ἀπολύω τῆς σφαγῆς Ἑρμιόνην, καὶ τὸν γάμον αἰνῶ, ὁπόθ' ὁ πατὴρ ἐγκρίνοι.

ΜΕ. Ὦ Ἑλένη, Διὸς κόρη, χαῖρε· μακαρίζω σε εἰς τὸν εὐδαίμονα χῶρον τῶν θεῶν μεταστᾶσαν· σοὶ δ', ὦ Ὀρέστα, κατεγγυῶ τὴν ἐμαυτοῦ θυγατέρα, Ἀπόλλωνος κελεύσαντος τοῦτο· εὐγενὴς γὰρ ἐξ εὐγενοῦς γήμας κόρην, ὄναιο σύτε τῆς ἐμῆς θυγατρὸς, κἀγὼ ὁ διδοὺς ὁμοίως.

ΑΠ. Οὐκοῦν χωρεῖθ' ἕκαστος ὑμῶν νῦν, ᾗ προστέτακται, ἔριδος πάσης ἀπαλλαγέντες.

ΜΕ. Δεῖ γὰρ πείθεσθαι πάντα.

ΟΡ. Κἀμοὶ ταῦτα ξυνδοκεῖ· διαλλάττομαι τοίνυν πρός τε τὰς σὰς, ὦ Μενέλαε, συμφορὰς, καὶ τὰ σὰ, ὦ Φοῖβε, θεσπίσματα.

ΑΠ. Ἴτε, χωρεῖτε, τὴν ἀρίστην θεῶν καθ' ὁδὸν Εἰρήνην τιμῶν-

---

δεῦρο δῃήνυσε διδοῦσα. 1668. Σπένδομαι συμφοραῖς] διαλλάττομαι πρὸς ἀμφοτέρους ὑμᾶς, ἐφ' οἷς συνέβησαν μεταξὺ πρὸς ἀλλήλους, Μενελάου μὲν μὴ ὠφελήσαντός με, Φοίβου δὲ κινήσαντός με μητροκτονεῖν· ἐφ' ᾧ ἦν πολλὴ ἔμοιγε

Θεὸν Εἰρήνην τιμῶντες· ἐγὼ δ'
Ἑλένην Ζηνὸς μελάθροις πελάσω,
Λαμπρῶν ἄστρων πόλον ἐξανύσας,
Ἔνθα παρ' Ἥρᾳ, τῇ θ' Ἡρακλέους
Ἥβῃ πάρεδρος θεὸς ἀνθρώποις
Ἔσται σπονδαῖς ἔντιμος ἀεὶ,
Ξὺν Τυνδαρίδαις, τοῖς Διὸς υἱοῖς,
Ναύταις μεδέουσα θαλάσσης.

ΧΟ. Ὦ μέγα σεμνὰ Νίκα, τὸν ἐμὸν
Βίοτον κατέχοις,
Καὶ μὴ λήγοις στεφανοῦσα.

---

ἀκατάμεμψις μέχρι δεῦρο. 1673. Πόλον ἐξανύσας] διϊὼν τὸν πόλον, ἄξ[illegible]

## ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΤΟΜΟΥ.

τες· ἐγὼ δὲ διϊὼν τὸν μέγαν τοῦτον αἰθέρα, ἄξω τὴν Ἑλένην διὰ τῶν ἀςέρων εἰς τὰ δώματα τοῦ Διὸς, ἔνθα Ἥρᾳ καὶ Ἥβῃ τῇ Ἡρακλέους συμπάρεδρος ἔςαι, ὡς θεὸς ἐν σπονδαῖς τιμωμένη παρὰ τῶν ἀνθρώπων, καὶ τὴν τῶν ναυτιλλομένων φροντίδα τοῖς Διοσκούροις συμμεριζομένη.

ΧΟ. Ὦ σεμνὴ Νίκη, σὲ κυβερνήτριαν ἔχοιμι ἐν τῷ βίῳ, μηδὲ παύσαιό ποτε ςέφουσά με.

---

παρὰ τῇ Ἥρᾳ. 1676. Σπονδαῖς ἔντιμος ἀεὶ] δεῖ γὰρ δὴ ἀνθρώπους σπένδοντας τιμᾶν αὐτὴν ὡς θεὸν, ὡς τῶν ἐν θαλάσσῃ πλωϊζομένων κληρουμένην φροντίδα· 1679 Ὦ μέγα σεμνὰ Νίκα· ἴδε τὸ αὐτὸ τέλος κἀν ταῖς Φοινίσσαις. καὶ ἐν Ἴων. ςίχ. 473.

ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΤΟΜΟΥ.

# ΠΑΡΟΡΑΜΑΤΑ

## ΚΕΙΜΕΝΟΥ ΚΑΙ ΠΑΡΑΦΡΑΣΕΩΣ.

16. 21. Ναους — ναοὺς. 24. 14. κακύνη — κακύνῃ. 63. 1. τόλμᾶ — τόλμᾷ. 75. 17. οδ' ἀνὴρ — ὁδ' ἀνὴρ. 82. 4. φιλεῖ — φιλῇ. 88. 1. πᾶ — πᾷ. 88. 16. αισχρὰ — αἰσχρὰ. 92. 23. παρα — παρὰ. 117. 5. ὠδῖνον — ὠ- δῖνον· 131. 2. ὄντα — ὄντα. 133. 2. πότ ῶ ἐξοίσω, π τ' ἐξοίσω. 145. τρα- χυῖαν — τραχεῖαν. 169. 8. ἧττον — ἧττον. 172. 5. οἰκος — οἶκος. 175. 16. ἡδυσπνόους. — ἡδυπνόους. 186. 2. θήσει — θήσει 214. 7. καὐτή γε — καὐ- τή γε. 238. 19. ὄχλον — ὄχλον. 249. 19. ἀπολουσί με — ἀπολοῦσί με. 263. 7. ἡ μήτηρ — ἡ μήτηρ; 265. 25. ἀποκεκαρμένον — ἀποκεκαρμένος. 297. 24 πως — πῶς. 281. 17. αγῶνες — ἀγῶνες. 285. χρήζω — χρῄζω. 288. 1. τῶν φίλον — τῶν φίλων. 305. 10. ἐξυβρίζουσιν — ἐξυβρίζουσιν. αὐτόθεν. 16. ἡ — ἤ. αὐτόθεν. 17. ἡ — ἤ. 307. ἡ — ἤ. 321. 18. ἀριθμεῖσθμι — ἀριθμεῖσθαι.

## ΤΩΝ ΣΧΟΛΕΙΩΝ.

11. 10. ἤλυσιν — ἤλυσιν. καὶ παρακατιών. 12. 1. χερρόνησον — χερ- ῥόνησον. 13. 7. Ἕλενον — Ἕλενον. 21. 11. ὥς' — ὥς'. 51. 6. παντως — πάντως. αὐτόθεν. 7. τλεονεκτήματα — πλεονεκτήματα. 54. 3. ἅμιλλα — ἅμιλλα. 55. 12. τοὺ — τοῦ. 57. 2. τρεις — τρεῖς. 60. 1. ἀντὶ — ἀντί. 67. 2. τοῖς ζωγραφοις — τοῖς ζωγραφοῖς. 75. 2. τεχῶν — τειχῶν. 78. 1. ω — ῶ. 91. 2. ἠχῶ — ἠχώ. 93. 1. Ἠδονῆς. Ἠδωνῆς. 65. 1 σόλισμοι — σόλισμα. 96. 1. ἠκριβηκότες — ἠκριβωκότες. 100. 2. ἠνίκα — ἡνίκα. 111. 11. Ἰά- σωνος — Ἰάσονος. αὐτόσε. 12. ῥαδίως — ῥᾳδίως 112. 1. αὐτῆν — αὐτὴν 113. εἰ — εἰ. 119. 4. ἐπισπέρχει — ἐπισπέρχει. 125. ἑαυτῆς — ἑαυτῆς. 126. Ανιν — Ἄνιν. 129. 8. υπερβολῇ — ὑπερβολῇ. 130. 1. οὐχ — οὐχ. 175. 3. ῥαὰς — ῥεὰς. 249. 1. αὐτῶ — αὐτῷ. 269. 8. μᾶλλον — μᾶλλον.

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ